НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ

ΠΙΝΔΑΡΟΝ

ἐκ τῆς ἐκδόσεως τοῦ

AUGUSTUS BOECKHIUS

Νῦν τὸ πρῶτον ἐκδοθέντα πρὸς εὐκολίαν τῶν σπουδαζόντων καὶ ἐχόντων ἐκδόσεις τοῦ Πινδάρου, καὶ κυρίως τὴν στερεότυπον ἄνευ σχολίων,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

εἰς τόμους δύο

ΤΟΜΟΣ Α'.





НБ ОНУ імені І.І.Мечникова

ΕΝ ΑΘΗΝΑΙΣ.

1841.

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΚΩΝΣΤ. ΓΚΑΡΠΟΛΑ.
Ὁδὸς Θεάτρου, ἀριθ. 1.

НБ ОНУ імені І.І.Мечникова

Φίλοι ὁμογενεῖς!

Ἡ διὰ στερεοτυπίας ἐν Λειψίᾳ παρὰ τοῦ Τάουχνιτζ καὶ Σιέφερ ἔκδοσις τῶν κλασσικῶν Ἑλλήνων ποιητῶν καὶ λογογράφων, ὅτι μεγίστην εἰς τοὺς Ἕλληνας καὶ φιλέλληνας τὴν ὠφέλειαν ἔφερε καὶ φέρει διά τε τὸ εὔωνον αὐτῆς, καὶ διὰ τὴν τοῦ κειμένου διόρθωσιν, ὃς δὲ εἰπεῖν, καὶ διὰ τὸ ἐκ τῆς τῶν τόμων σμικρότητος εὔχρηστον, τοῦτο εἶναι πασίγνωστον, καὶ παρὰ πᾶσιν ὁμολογούμενον.

Ἀλλ' ὅτι καὶ μία μόνη ἡ ἔλλειψις τοῦ κοινωφελεστάτου τούτου ἔργου, ἡ ἔλλειψις, λέγω, τῆς πρός τε τὸν διδάσκοντα καὶ διδασκόμενον καὶ ἀναγνώστην βοηθείας, τῆς διὰ τῶν ἀναγκαιοτάτων ἐμβριθῶν καὶ εὐεπιβόλων εἰς ἕνα ἕκαστον συγγραφέα σημειώσεων, καὶ τοῦτο ἐπίσης πασιφανὲς καὶ ἐπαισθητόν.

Διὰ νὰ ἀναπληρώσω λοιπὸν τὴν οὐσιώδη ταύτην ἔλλειψιν, καὶ ν' ἀποκαταστήσω τὴν ἔκδοσιν ταύτην ἀπολύτως ἐπωφελῆ, καὶ ν' ἀπαλλάξω τοὺς ὁμογενεῖς μου τῆς πρὸς τὴν ἐντελῆ κατάληψιν τοῦ κειμένου ἀπαραιτήτου ἀνάγκης τῶν σπανίων καὶ ἐπομένως βαρυτίμων μετὰ σχολίων ἐκδόσεων, μ' ὅλον ὅτι τὸ ἔργον εἶναι πολυδάπανον καὶ πολύμοχθον, ἐνθουσιῶν ὅμως εἰς τὸ νὰ φανῶ ἐπωφελὴς εἰς τὸ ἔθνος μου, ἀνέλαβον καὶ τὸ ἔργον τοῦτο, τὸ ἐφ' ὅσον πολλαχῶς δυσχερές, ἐπὶ τοσοῦτον πολλαχῶς ὠφέλιμον.

Αἱ σημειώσεις διὰ πεπαιδευμένων ἀνδρῶν ἐκ τῶν ἐπισημοτέρων ὑπομνηματιστῶν Ἑλλήνων τε

καὶ Ἑλληνιστῶν, καὶ ἐκ τοῦ ἀοιδίμου Κοραῆ, ἐπεξεργάζονται μετ' ἀκριβείας οὐ τῆς τυχούσης, προσαρμοζόμεναι δὲ ἀριθμῶν εἰς τὰς σελίδας καὶ στίχους τῆς ῥηθείσης ἐκδόσεως.

Ἐκδοθήσονται δὲ ἅπαντες οἱ συγγραφεῖς οὗτοι, ἀνὰ ἓξ ἐν ταὐτῷ εἰς ἑκάστην ἑξαμηνιαίαν περίοδον, εἰς τόμους ἴσους τῷ μεγέθει τοῖς τοῦ κειμένου, πρὸς αὐτῷ αὐτῶν συσσωμάτωσιν.

Ἤδη δὲ πρῶτον ἐξέρχονται τῶν πιεστηρίων αἱ σημειώσεις εἰς τὴν Ὁμήρου Ἰλιάδα καὶ Ὀδύσσειαν, εἰς τὸν Ἡρόδοτον, Θουκυδίδην, Ξενοφῶντα, Πλάτωνα καὶ Πίνδαρον εἰς χάρτην καθαρὸν, καὶ μετὰ χαρακτήρων καλῶν, ἐπὶ τιμῇ τεσσάρων δραχμῶν δι' ἕκαστον τόμον διὰ τοὺς συνδρομητὰς, πληρωτέων μετὰ τὴν παραλαβὴν τῶν βιβλίων.

Τὰ σχόλια εἰς τὸν Πίνδαρον ἐτυπώθησαν ἤδη ἀπαραλλάκτως κατὰ τὴν ἔκδοσιν τοῦ Αὐγούστου Βαϊκκίου, ὡς ὄντα τὰ κάλλιστα.

Ἐν Ἀθήναις, τὴν 3. Ἰανουαρίου, 1841.

Ὁ Ἐκδότης

Κ. ΓΚΑΡΠΟΛΛΑΣ ΟΛΥΜΠΙΟΣ.

ΣΧΟΛΙΑ

ΕΙΣ

ΠΙΝΔΑΡΟΥ ΟΛΥΜΠΙΑ.

ΜΕΤΡΙΚΑ ΠΑΛΑΙΑ.

Ἰστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ· στροφὴ μέν, ὅτε ἀπὸ τῶν δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερά, ἥτινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά· δεξιὰ γὰρ καλεῖ Ὅμηρος τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικά· ἀντιστροφὴ δέ, ὅτι ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά, ἥτινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς· ἐπῳδὴ δέ, ὅτι ἵσταντο ἐν ἑνὶ τόπῳ καὶ ἔλεγον τὰς ᾠδάς, ἥτινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς· ἐχρῶντο δὲ καὶ δυάσι καὶ τριάσιν, ὡς οὗτος ὁ ποιητής, ἤγουν στροφῇ καὶ ἀντιστροφῇ καὶ ἐπῳδῷ, ἡ στροφὴ μόνη καὶ ἀντιστροφή· πολλοὶ δὲ καὶ τετράστιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ· πεντάσι δέ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, ἐπῳδῷ· ἄτινα ἐλέγετο προωδικά, ἐπῳδικά, μεσῳδικὰ καὶ παλινῳδικά.

Ἄλλως περὶ αὐτῶν. Ἐπειδὴ λυρικός ἐστιν ὁ Πινδαρος, καὶ πρὸς λύραν ᾄδονται τὰ ποιήματα αὐτοῦ, κατὰ τριάδας, στροφήν, ἀντίστροφον καὶ ἐπῳδόν, καὶ ἐκ κώλων τὰ μέλη συνίστανται· πλὴν ὅσων καὶ οἱοίων ἡ στροφὴ, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ ἀντίστροφος· ἡ δὲ ἐπῳδὸς ἀνόμοιόν ἐστι πρὸς αὐτὰς, καὶ εἰκότως· ἐπεὶ κινουμένοις εἰς τὰ δεξιὰ τοῖς χορευταῖς ᾖδετο ἡ στροφὴ, εἰς δὲ τὰ ἀριστερὰ ἐκ τῶν δεξιῶν ἡ ἀντίστροφος, ἡ δὲ ἐπῳδὸς ἱσταμένοις διεβιβάζετο· εἰς εἰκόνα τῆς τε τοῦ παντὸς κινήσεως ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, τῆς τε τῶν πλανήτων κινήσεως

ἀπὸ δύσεως εἰς ἀνατολὰς, καὶ τῆς γῆς ἀκινησίας· καὶ οὕτω μὲν ἡ τριαδικὴ μελοποιΐα κατὰ τὰς στροφὰς, τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς· ταῦτα δὲ ἐκ κώλων συνίστανται· τὰ δὲ κῶλα μέτρον διάφορον ἔχουσιν ἐκ ποδῶν συνιστάμενον.

Περὶ τῶν εἰκοσιοκτὼ ποδῶν.

Ἰστέον ὅτι οἱ πάντες πόδες εἰσὶν εἰκοσιοκτώ· τέσσαρες οἱ δισύλλαβοι· ὀκτὼ οἱ τρισύλλαβοι· ἑκκαίδεκα οἱ τετρασύλλαβοι, οἳ δὴ καὶ τέλειον μέτρον καὶ συζυγίαν ἀπαρτίζουσιν· οἱ δ' ἄλλοι πόδες πλὴν τοῦ καθαροῦ δακτύλου κατὰ διποδίαν εἰς συζυγίαν συνίστανται, καὶ μέτρα λέγονται· ὧντινων δὴ μέτρων καὶ αἱ καταλήξεις τέσσαρές εἰσιν· ἀκατάληκτον τὸ μὴ ἔχον ἔλλειμμα τυχόν· καταληκτικὸν τὸ κατὰ συλλαβὴν λεῖπον· βραχυκατάληκτον τὸ κατὰ πόδα δισύλλαβον ἢ τρισύλλαβον λεῖπον· καὶ ὑπερκατάληκτον τὸ ἔχον ἐπίκεινα συλλαβήν.

Περὶ δισυλλάβων ποδῶν.

Δισύλλαβοι πόδες εἰσὶ τέσσαρες· πυρρίχιος ἐκ δύο βραχειῶν, υ υ, οἷον, λόγος· ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς, υ -, οἷον, λέβης· τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας, - υ, οἷον, ἥτορ· σπονδεῖος ἐκ δύο μακρῶν, - -, οἷον, ἥρως.

Περὶ τρισυλλάβων.

Τρισύλλαβοι δὲ ὀκτὼ· χορεῖος ὁ καὶ τρίβραχυς, υ υ υ, οἷον ἄατος· δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν, - υ υ, οἷον, Πίνδαρος· ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, υ - υ, οἷον, ἄμητος· ἀνάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς, υ υ -, οἷον, ἀπάτωρ· βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν, υ - -, οἷον, δομήτωρ· ἀμφίμακρος ὁ καὶ Κρητικὸς ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, - υ -, οἷον, Καικίας· παλιμβάκχειος ἐκ δύο μακρῶν καὶ βραχείας, - - υ, οἷον, συγγνωστός· μολοττὸς ὁ ἐκ τριῶν μακρῶν, - - -, οἷον Πειραιεύς.

Περὶ τετρασυλλάβων.

Οἱ δὲ τετρασύλλαβοί εἰσιν ἑκκαίδεκα· προκελευσματικὸς ὁ ἐκ τεσσάρων βραχειῶν, υ υ υ υ, οἷον, ἀνιαρός· παίωκ πρῶτος ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν, - υ υ υ, οἷον ἡμίονος·

παίων β' ἐκ βραχείας καὶ μακρᾶς καὶ ἑτέρων δύο βραχειῶν, υ - υ υ, οἷον, ἀγενέος· παίων γ' ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, υ υ - υ, οἷον παράκοιτος· παίων τέταρτος ἐκ βραχειῶν τριῶν καὶ μακρᾶς, υ υ υ -, οἷον, παρακαλῶ· Ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ βραχειῶν, - - υ υ, οἷον, κλειτώνυμος· Ἰωνικὸς ἀπ' ἐλάττονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, υ υ - -, οἷον, κακοδαίμων· διτροχαῖος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, - υ - υ, οἷον, Κλειτόδημος· διάμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, υ - υ -, οἷον, Θεηγορῶ· ἀντίσπαστος ὁ ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, υ - - υ, ἐξ ἰάμβου καὶ τροχαίου τῶν ἀντεσπασμένων ὄντων καὶ ἐξ ἐναντίας, οἷον Θεόλητος· χορίαμβος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ βραχείας καὶ μακρᾶς, ἡ μακρὰ δὲ καὶ ἡ βραχεῖα ἀντὶ χορείου ἐστὶ τριβραχέος, - υ υ -, οἷον, χειρονομῶ.

Περὶ τῶν τεσσάρων ἐπιτρίτων. Οἱ τέσσαρες ἐπίτριτοι λέγονται κατὰ λόγους ἀριθμητικούς· ὁ τέταρτος γὰρ τοῦ τρίτου ἐπίτριτος· ἐπειδὴ τοίνυν ἐκ τετραχρόνου σπονδείου καὶ τριχρόνου ἰάμβου ἡ τροχαίου σύγκειται ὁ ἐπίτριτος, διὰ τοῦτο ἐπίτριτος λέγεται· καὶ πρῶτος ἐπίτριτός ἐστιν ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν, υ - - -, οἷον, Θεοῤῥήμων· β' ἐπίτριτος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, - υ - -, οἷον, τοιχορύλτης· τρίτος ἐπίτριτος ὁ ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, - - υ -, οἷον, αὐτοκράτωρ· τέταρτος ἐπίτριτος ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας, - - - υ, οἷον, εἰρήναρχος· διασπόνδειος ὁ ἐκ τεσσάρων μακρῶν, - - - -, οἷον, εἰρηναρχῶ.

Ἰστέον δὲ ὅτι ἀντιπαθεῖ τῷ τροχαίῳ ὁ ἴαμβος· διὰ τοῦτο καὶ ἀπὸ τῶν τετρασυλλάβων τινὲς μὲν τῷ τροχαίῳ πρόσκεινται καὶ πρὸς τὰς ἰαμβικὰς συζυγίας· ἀπάδοντές εἰσι· τινὲς δὲ τῷ ἰάμβῳ καὶ πρὸς τὰς τροχαϊκὰς συζυγίας οὐ συμφωνοῦσιν· ἦγουν πρὸς μὲν τὸν χορίαμβον καὶ πρὸς τὸν ἀντίσπαστον αἱ ἰαμβικαὶ συζυγίαι χρήσιμοι, πρὸς δὲ τοὺς Ἰωνικοὺς οὐκέτι· πρὸς δὲ τοὺς Ἰωνικοὺς πάλιν αἱ τροχαϊκαὶ συζυγίαι χρήσιμοι, πρὸς δὲ ἐκείνους οὐκέτι· εἰσὶ δὲ ἰαμβικαὶ συζυγίαι ἡ δύο ἴαμβοι ἢ σπονδεῖος καὶ ἴαμβος, καὶ πλέον οὐδέν· αἱ δὲ τροχαϊκαὶ συζυγίαι ἡ δύο τροχαῖοι ἢ τροχαῖος καὶ σπονδεῖος· πολλάκις δὲ κεῖνται καὶ ἀπὸ τῶν τρισυλλάβων· ἐπὶ γὰρ τοῦ ἰαμβικοῦ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τρίτῳ καὶ ἐν τῷ πέμπτῳ ἢ ἴαμβος ἢ σπονδεῖος ἢ χο-

ῥεῖος ἡ δάκτυλος ἡ ἀνάπαιστος· ἐπὶ δὲ τῶν ἀρτίων χωρῶν τῆς δευτέρας καὶ τετάρτης καὶ ἕκτης ἡ ἴαμβος ἡ χορεῖος ἡ ἀνάπαιστος, οὐδέποτε δὲ ὁ ἀπὸ μακροῦ ἀρχόμνος· ἐπὶ δέ γε τοῦ τροχαϊκοῦ ἐν τῇ δευτέρᾳ καὶ τετάρτῃ καὶ ἕκτῃ ἡ τροχαῖος ἡ σπονδεῖος ἡ δάκτυλος ἡ ἀνάπαιστος ἡ χορεῖος· ἐν δὲ τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ οἱ ἀπὸ μακροῦ ἀρχόμενοι καὶ μόνοι, ἡ τροχαῖος ἡ δάκτυλος, ἡ σπονδεῖος, οὐδέποτε δὲ ἀνάπαιστος ἡ χορεῖος· καὶ ταῦτα μὲν περὶ τῶν ποδῶν.

Δημητρίου Τρικλινίου.

Ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ κατὰ διποδίαν μετρεῖται, καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου· ἔστι δὴ μονόμετρον μὲν τὸ ἔχον πόδας δύο, δίμετρον τὸ ἔχον πόδας τέσσαρας, τρίμετρον τὸ ἔχον ἓξ, τετράμετρον τὸ ἔχον ὀκτώ, πεντάμετρον τὸ ἔχον δέκα, καὶ περαιτέρω οὐ πρόεισι· παντὸς δὲ μέτρου πλὴν τοῦ δακτυλικοῦ ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, κατειληκτικὸν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον· καὶ βραχυκατάληκτον μὲν ἔστι ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμὸν, οἷον τὸ φεῦ ῥεῦ, ἢ τὸ ἰώ, ἢ τὸ ἔα· ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι· καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμὸν, οἷον τὸ ἰὼ μοι, ἢ τὸ ὤμοι μοι· ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν ἤτοι ἥμισυ ποδὸς, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν· ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰού, ἢ τὸ ἰὼ ἰώ, ἢ τὸ φεῦ φεῦ ἰώ· ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς ὡς τὰ εἰρημένα· ὑπερκατάληκτον δὲ τὸ ἔχον μὲν ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα· εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται διὰ τὸ εἶναι τοὺς ποδας τρισυλλάβους· ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον· ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν, ὅτε δὲ δύο καταληκτικὸν εἰς δισύλλαβον· οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοὶ φασιν· ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου.

Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχομεν· συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται· ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα οὐδὲ μιᾶς τινος μετέχει δυνάμεως, συλλιφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχειν ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπά, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας, πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοῦτ-, τῆς δὲ βραχείας τουτί ν, τῆς δὲ κοινῆς οὐδαμῶς· ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο, ταύτης δὲ οὔ· καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν· ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην, καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν· ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν· ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ ῭· μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ῭ στοιχείου σημεῖον ἔχουσα· ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντιστραμμένον οὕτωσὶ ῭· μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ῭ σημεῖον ἔχουσα· βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν ποία ἐστὶν ἡ κοινὴ ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποιεῖν ἀμαθῶς, καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἑπόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ὑγρόν, ἀμεταβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν, ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν· ἄτοπον γὰρ οἶμαι τοῦτό γε· ταῦτά μοι πρὸς τοὺς συνετούς εἴρηται καὶ τῶν μέτρων ἔχοντας πεῖραν· εἰ δέ τινες εἶεν ὑπ' ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος· οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες, ὡς καί πού τις ἔφη·

Δ'εἰδὼ ξυνετοῖσι· θύρας δ' ἐπίθεσθε βέβηλοι.

ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετοὺς, ὃς ἂν ἐπινο-

ήσας σορόν τι τοῦτο λήθης βυθοῖς καρακρύψειε θεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν· ἵν' οὖν μὴ καὶ αὐτὸς δόξω ἀδικεῖν τοὺς συνετοὺς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προῦθηκα, οὗτοι δ' ἂν εἰδεῖεν εἰ καλῶς ἔχει ἢ μή· ἐπεὶ καὶ ἃ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θεία τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει πλεῖστα πονησαμένῳ, περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδοὺς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι· ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ πρώτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιβ'. τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, Γλυκώνειον καλούμενον, ἀπὸ τοῦ εὑρόντος αὐτὸ Γλύκωνος· ἔστι δὲ ἀντίσπαστος καὶ ἰαμβος· ἡ γὰρ ἰαμβικὴ συζυγία, ὡς ἐρρέθη, οἰκεία τῷ ἀντισπαστικῷ, ἡ δὲ τελευταία παντὸς κώλου ἀδιάφορος, υ--υυ-υ-. Τὸ δεύτερον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ λέγεται καὶ ἰθυφαλλικὸν, -υ-υυ-υ. Τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικὸν περαιούμενον εἰς ἰαμβικὴν ἡ βακχείαν κατακλεῖδα κατὰ τὴν παράδοσιν· ὁ δὲ δεύτερος διάμβος· οἰκεία γὰρ ἡ ἰαμβικὴ συζυγία τῷ χοριάμβῳ, λείπει δὲ συλλαβὴ, διὸ καταληκτικόν· ὅτε δὲ λείπει ποὺς, βραχυκατάληκτον λέγεται· καὶ ἔστι -υυ-υ-υ. Τὸ τέταρτον ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ὅπερ καὶ παροιμιακὸν λέγεται, υυ-υυ-υυ--. Τὸ πέμπτον ὅμοιον τῷ β', τοῦ τρίτου δακτύλου ὄντος -υ-υ-υυ. Τὸ ἕκτον ὅμοιον τούτῳ, πλὴν ὁ δεύτερος δάκτυλος, -υ-υυ-υ. Τὸ ἕβδομον τροχαϊκὸν δίμετρον καταληκτικὸν, ὃ καὶ Εὐριπίδειον καὶ ληκύθιον καλεῖται· ληκύθιον δὲ λέγεται ἢ διὰ τὸ τοῦ Ἀριστοφάνους σκῶμμα ἢ διὰ τὸν τοῦ τροχαϊκοῦ βόμβον, ὃν ἐκτελεῖ καὶ τὸ ληκύθιον, ἢ διὰ τὸ τῶν Ὀρήνων

βομβηκόν· ὅθεν καὶ Καλλίμαχος τὴν τραγῳδίαν ληκύθιον μοῖσαν φησίν, -υ-υ-υ-. Τὸ ὄγδοον τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ δευτέρου δακτύλου ὄντος, ·-υ-υυ-. Τὸ ἔννατον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, υ-υ-υ-υ-·. Τὸ δέκατον ἐπιωνικὸν ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τοῦ Ἰωνικοῦ ἀπὸ τροχαίου ἀρχομένου· οὐ λέγεται δὲ Ἰωνικὸν ἀλλ' ἐπιωνικόν· ὁ γὰρ ἀντίσπαστος πρὸς τὰς ἰαμβικὰς τὴν κοινωνίαν ἔχει, οἱ δὲ Ἰωνικοὶ πρὸς τὰς τροχαϊκάς· ὅθεν ἀσύμφωνοί εἰσιν οἱ ἀντίσπαστοι μετὰ τῶν Ἰωνικῶν καὶ τροχαϊκῶν, καὶ διὰ τοῦτο ἐπιωνικόν, υ--υ-υ-. Τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, -υ-υ-υ-υ. Τὸ δωδέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν, λειπούσης τῆς ἐσχάτης μακρᾶς, -υυ--υυ. Τὸ τρισκαιδέκατον προκελευσματικὸν δίμετρον καταληκτικόν, υυυυυυυυ· ἐν οἷς ὅρα καί τι θαυμάσιον· ὁ τοιόσδε ῥυθμὸς ταχυτῆτα ἁρμόττει, ὅθεν καὶ προκελευσματικός· βλέπε τοίνυν τὸν σοφώτατον Πίνδαρον πῶς ἦλθ ἐν οἷς τὸν τοιοῦτον ῥυθμὸν εὐσήμου διὰ τοῦ λόγου ἀποκαθίστησιν, ἐν τῇ ἐννοίᾳ ταχυτῆτα κατορθωκὼς ἐν οἷς λέγει· ὅθεν ὁ πολύφατος, διὰ τὸ τῆς φήμης ταχύ· καὶ, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ τοῦ νοὸς ὀξυκίνητον· καὶ, ὁπότ' ἐκάλεσε πατὴρ, διὰ τὸ τῆς κλήσεως ταχύ· καὶ, ὕδατος ὅτι τε πυρί, διὰ τὸ τῶν στοιχείων εὐκίνητον, τοῦ μὲν ἀνωφεροῦς ὄντος, τοῦ δὲ κατωφεροῦς· καὶ πάλιν, μετὰ τὸ ταχύποτμον· καὶ, ἐμὲ δ' ἐπὶ ταχυτάτων· καὶ, Ἥλιος ἵνα ταχυτῆς· καὶ ἐπὶ τούτοις τὸ, Θεὸς ἐπίτροπος ἐὼν, διὰ τὴν καὶ ὑπὲρ ῥιπὴν ὀφθαλμοῦ ὀξυκινησίαν τοῦ Θείου. Τὸ εὖ ὅμοιον τῷ ἑβδόμῳ, τροχαϊκὸν δίμετρον καταληκτικόν, -υ-υ-υ-. Τὸ εἰ ἀντισπαστικὸν δίμετρον κατ' ἀντιπάθειαν ὑπερκατάληκτον· ἀντίσπαστος γὰρ καὶ παίων πρῶτος καὶ συλλαβὴ ἀντιπαθεῖ δὲ, διότι ὁ ἀντίσπαστος μὲν συμφωνεῖ τῷ ἰάμβῳ, οἱ δὲ παίωνες τοῖς τροχαίοις· ἴαμβοι δὲ καὶ τροχαῖοι ἐναντίοι εἰσίν, υ--υ-υυυ-. Τὸ ιϛ' ἀντισπαστικὸν μετὰ τροχαϊκῆς συζυγίας τῆς δευτέρας κατ' ἀντιπάθειαν, καὶ ὁ ὕστερος ἀνάπαιστος καὶ αὐτὸς οἰκεῖος τῷ τροχαίῳ· ὥστε τρίμετρον βραχυκατάληκτόν ἐστιν, υ--υ-υ-υυυ-. Τὸ ιζ' Φαλαίκειον, ἀπὸ Φαλαίκου τοῦ εὑρόντος καὶ χρωμένου αὐτῷ, ὅταν ὁ πρῶτος μόνος ἐστὶν ἀντίσπαστος, οἱ δὲ ἑρεξῆς ἴαμβοι· ἔστι δὲ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, υ--υυ-υ-υ-. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς τε καὶ ἀντιστροφῆς μόνη παράγραφος —!· αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους

τῶν στροφῶν καὶ ἀντιστρόφων. Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ καὶ αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου ὁμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ· ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς, πλὴν τοῦ ιδ'. ἐκεῖνο γάρ, μονοστροφον ὄν, ἐνηλαγμένην ἔχει τὴν ἀντιστροφήν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς ἔχει κῶλα ιγ'. Τὸ α' ἐκ παίωνος δευτέρου καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς κατὰ ἀντιπάθειαν· ἔστι δὲ δίμετρον ὑπερκατάληκτον, υ-υυυ-υ--. Τὸ δεύτερον ἰαμβικὸν πενθημιμερές· πλὴν ὁ πρῶτος τρισύλλαβος, υυ-υ--. Τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ἔχει δὲ καὶ τρισυλλάβους πόδας, υ-υ-υ-υυυυ-. Τὸ δ' ἰαμβικὰ δύο πενθημιμερῆ καὶ συλλαβή· ἔστι δὲ ὁ πρῶτος τρίβραχυς χορεῖος, υυυυ υ--υ-υ-. Τὸ ε παιωνικὸν ἐκ παίωνος δευτέρου καὶ ἐξ ἐπιτρίτου τρίτου καὶ βραχείου, ὃς εἰδὸς ἐστι τοῦ παιωνικοῦ· εἰσὶ δὲ οἱ τοιοῦτοι πόδες οἰκεῖοι τοῖς παίωσιν, υ-υυ--υ-υ--. Τὸ ς' ἀντισπαστικὸν συνάμα ἰαμβικῆς συζυγίας οἰκείας τρίμετρον ἀκατάληκτον, υ--υυ-υ-υ-υ-. Τὸ ζ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον· ἔχει δὲ τὴν δευτέραν τροχαϊκὴν συζυγίαν οἰκείαν τοῖς Ἰωνικοῖς, --υυ-υ-υ-. Τὸ η ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, --υ-υ-. Τὸ θ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, --υυ--. Τὸ δέκατον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, λεγόμενον Ἀνακρεόντειον· ὅλα γὰρ ἄσματα αὐτῷ τούτῳ τῷ μέτρῳ συνετέθησαν, --υ-υ-υ-. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον παρατετηρημένον· ἄρχεται γὰρ ἀπὸ βραχείας, ὡς γίνεσθαι τὸ πρῶτον β' παίωνα, υ-υυ--υυ. Τὸ ιβ' ἐπιωνικὸν διὰ τὸν πρῶτον ἀντίσπαστον, οὐκ οἰκεῖον ὄντα τοῖς Ἰωνικοῖς καὶ τοῖς τροχαίοις, ἀλλὰ τοῖς ἰάμβοις· διὰ τοῦτο γὰρ καὶ οὐκ Ἰωνικόν, ἀλλ' ἐπιωνικὸν λέγεται· εἰ δὲ καὶ τροχαϊκὴν τὴν κατακλεῖδα ἔχει, οὐ ξένον· οἱ γὰρ τροχαῖοι οἰκεῖοι τῷ Ἰωνικῷ, υ--υ--υυ-υ-. Τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικόν· ἔχει γὰρ βακχεῖον τὴν κατακλεῖδα οἰκείαν ἰάμβοις καὶ χορίαμβοις, -υυ-υ--. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς Ϛ· ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ, ἤτοι ἐπὶ παντὸς τοῦ ᾄσματος μόνος ἀστερίσκος .⁂., ὃς δηλοῖ, ὡς τὸ ᾆσμα τετέλεσται.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ά. εἴδους τῶν Ὀλυμπίων Πινδάρου.

Τοῦ πρώτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιζ'. ὧν τὸ ά ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος Γλυκώνειον καλεῖται· τὸ β' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἰθυφαλλικὸν ἀπὸ τοῦ Ἰθυφάλλου τοῦ Διονύσου· τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικόν· τὸ τέταρτον ἀναπαιστικὸν δίμετρον κακαληκτικόν, ὃ καὶ παροιμιακόν, ὅτε αἱ παροιμίαι τῷ τοιούτῳ μέτρῳ ἐγράφοντο· τὸ ε ὅμοιον τῷ β', ἤγουν τροχαϊκὸν καὶ ἰθυφαλλικόν, πλὴν τὸν δάκτυλον ἐν τῇ τριτῃ ἔχει καὶ οὐκ ἐν τῇ β'· τὸ ἕκτον ὅμοιον· τὸ ζ' τροχαϊκὸν δίμετρον καταληκτικόν, ὃ καὶ Εὐριπίδειον καὶ ληκύθιον, ὡς ἐκ τοῦ ληκυθίου· τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος, οἷον καὶ τροχαῖος πούς· τὸ η τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον· τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικόν· τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. ... τὸ τρισκαιδέκατον προκελευσματικὸν δίμετρον καταληκτικόν· ἐχρήσατο δὲ προκελευσματικῷ διὰ τὸ ταχὺ τῆς φήμης· καὶ ἀλλαχοῦ γάρ, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νοῦ· καὶ ἄλλαχοῦ, ὀπάτ' ἐκάλεσε πατήρ, διὰ τὸ ταχὺ τῆς κλήσεως· τοιοῦτος γὰρ καὶ προκελευσματικὸς, ταχύς· τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ζ'. τὸ ιέ ἐξ ἀντισπάστου καὶ παίωνος ά δίμετρον ὑπερκατάληκτον· τὸ ἑκκαιδέκατον ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, πλὴν ἡ μίξις αὐτοῦ ἀντιπαθής· τὸ ἑπτακαιδέκατον ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καὶ Φαλαίκειον ἀπὸ Φαλαίκου.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιγ'. ὧν τὸ ά παιωνικὸν ὑπερκατάληκτον· τὸ β' ἰαμβικὸν πενθημιμερές· τὸ γ' ἀντισπαστικὸν, ἑκατέρωθεν δὲ ἔχει ἰάμβους· τὸ δ' ἰαμβικὸν πενθημιμερὲς, καὶ ἓξῆς πόδες ἴαμβοι τρεῖς, ὡς εἶναι τὸ πᾶν ἰαμβικὸν τρίμετρον καταληκτικόν· τὸ ε παιωνικὸν τρίμετρον· τὸ ἕκτον ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, συνεζευγμένον μετὰ ἰάμβων· τὸ ἕβδομον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον, τροχαίοις μεμιγμένον· τὸ ὄγδοον ἰαμβικὸν δί-

μετρον βραχυκατάληκτον· τὸ ἔννατον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον· τὸ δέκατον ἰαμβικὸν δίμετρον, ὃ καὶ Ἀνακρεόντειον· τὸ ἑνδέκατον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ἡ πρώτη ἀδιάφορος· τὸ δωδέκατον ἐπιωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν· ἡ κατακλεὶς τροχαῖος καὶ συλλαβή· τὸ τρισκαιδέκατον ὅμοιον τῷ τῆς στροφῆς τρίτῳ.

Παλαιόν.

Σύγκειται δὲ τὸ πρῶτον τουτὶ ᾆσμα καὶ τινα τῶν ἑξῆς ἐκ τριάδος ἐπῳδικῶν· ἔστι δὲ στροφῶν τεσσάρων, ἑκάστης δὲ στροφῆς καὶ ἀντιστροφῆς τὰ κῶλα ιζ· τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος τοῦ εὑρόντος αὐτὸ Γλυκώνειον καλεῖται. Τὸ β΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικὸν ἀπὸ Ἰθυφάλλου τοῦ Διονύσου, ἔχον τὸν δεύτερον πόδα δάκτυλον· ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ δίμετρον καταληκτικόν, ὃ καλεῖται Φερεκράτειον ἀπὸ τοῦ εὑρόντος Φερεκράτους, ἐκ τροχαϊκῆς συζυγίας καὶ βακχείου· οἰκεῖα γὰρ τῷ μέτρῳ. Τὸ γ΄ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον· ἐμοὶ δὲ καὶ τοῦτο ἰθυφαλλικὸν δοκεῖ τροχαϊκὸν, τοῦ πρώτου ποδὸς τριβράχεος ἤτοι χορείου· εἴη δ' ἂν καὶ παιωνικόν. Τὸ δ΄ ἀναπαιστικὸν δίμετρον καταληκτικὸν τὸ λεγόμενον παροιμιακόν. Τὸ ε΄ ὅμοιον θευτέρῳ. Τὸ ς΄ ὅμοιον τῷ αὐτῷ. Τὸ ζ΄ τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον καὶ ληκύθιον ὡς ἐκ τοῦ ληκυθίου· τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος οἷον ὁ τροχαῖος πούς. Τὸ η΄ τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον· ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ ἡμιόλιον ἐκ τροχαϊκῆς συζυγίας καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. Τὸ θ΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ι΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Φερεκράτειον, ὡς εἴρηται, ἐξ ἀντισπάστου καὶ δακτύλου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου. Τὸ ια΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ΄ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δακτύλου ἢ κρητικοῦ· ἐμοὶ δὲ καὶ δακτυλικὸν δοκεῖ πενθημιμερές. Τὸ ιγ΄ προκελευσματικὸν δίμετρον καταληκτικόν· ἐχρήσατο δὲ προκελευσματικῷ ἐνταῦθα, ὃς τετράβραχύς ἐστι,

διὰ τὸ ταχὺ τῆς φήμης· φησὶ γὰρ, ὅθεν ὁ πολύφατος, καὶ ἐν ἑτέρῳ, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νοῦ, καὶ ἐν ἑτέρῳ, ὁπόθ' ἑκάλεσε πατὴρ, διὰ τὸ ταχὺ τῆς κλήσεως· τοιοῦτος γὰρ καὶ ὁ προκελευσματικὸς, ταχὺς ὡς ἐκ βραχέων συγκείμενος· εὐκίνητα γὰρ τὰ βραχέα, τὰ δὲ μακρὰ τῶν σωμάτων δυσκίνητα. Τὸ ιδ' τροχαϊκὸν ὅμοιον τῷ ζ'. Τὸ ιέ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ παίωνος πρώτου καὶ συλλαβῆς· ἔν τισι δὲ τῶν κώλων καὶ πεντασυλλλαβός ἐστιν ὁ ἀντίσπαστος· ἐμοὶ δὲ δίμετρον δοκεῖ ἀκατάληκτον ἔχον καὶ τὸν β' ποδα ἐπίτριτον πενταςύλλαβον. Τὸ ις'· ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, δίτροχαίου καὶ ἀναπαίστου· καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὅτε τὴν μὲν πρώτην ἔχει ἀντισπαστικὴν, τὰς δὲ λοιπὰς ἰαμβικάς· ἐνταῦθα δὲ ἀντιπαθής ἐστιν ἡ μίξις αὐτοῦ. Τὸ ιζ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φαλαίκειον ἀπὸ Φαλαίκου, ὡς εἴρηται, ἐπὶ τῷ τέλει ἑνάστης στροφῆς τε καὶ ἀντιστροφῆς μόνη παράγραφος· αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους τῶν τε στροφῶν καὶ ἀντιστροφῶν. Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσομετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ· ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς πλὴν τοῦ ιδ' ἐκεῖνο γὰρ ἐνηλλαγμένας ἔχει τὰς στροφάς.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑνάστης ἐπῳδοῦ τὰ κῶλα δέκα τρία. Το πρῶτον παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος δευτέρου καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς· ἐγὼ δὲ ἀντισπαστικὸν τοῦτό φημι δίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς ἀντισπάστου πενταςυλλάβου, τοῦ δὲ δευτέρου ἐπιτρίτου δευτέρου. Τὸ β' ἰαμβικὸν πενθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου. Τὸ γ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου καὶ ἀναπαίστου ἢ βακχείου· καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν διὰ τὸ μέσον ἔχειν τὸν ἀντίσπαστον, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς. Τὸ δ' ὡς ἐμοὶ δοκεῖ, σύνθετον ἤτοι ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου, τὸν πρῶτον ἔχοντος πόδα τρίβραχυν ἤγουν χορεῖον, καὶ τροχαϊκοῦ πενθημιμεροῦς· εἴη δ' ἂν καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ γ', τὸν πρῶτον ἔχον πόδα πενταςύλλαβον διίαμβον, τὸν β' ἀντίσπαστον, τὸν δὲ γ' κρητικὸν ἤτοι ἀμφίμακρον. Τὸ έ παιωνικὸν τρίμετρον κατα-

ληκτικὸν ἐκ παίωνος δευτέρου, ἐπιτρίτου γ΄ καὶ βακχείου. Τὸ ς΄ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, διἰάμβου κτὶ αὖθις ἀντισπάστου ἢ διἰάμβου ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὡς τὴν πρώτην χώραν ἔχον ἀντισπαστικὸν, τὰς δὲ λοιπὰς ἰαμβικὰς, ὡς εἴρηται. Τὸ ζ΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. Τὸ ἡ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον καλεῖται ὡς ἔχον τὸν ὅλον πόδα καὶ τὸ ἥμισυ αὐτοῦ. Τὸ ί ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀναχρεόντειον. Τὸ ιά Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος β΄ οἰκείου τῷ μέτρῳ καὶ Ἰωνικοῦ· καὶ καλεῖται τοῦτο Κλεομάχειον, τὸ δίμετρον ὁλονότι. Τὸ ιβ΄ ἐπωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν· ἡ κατακλεὶς δὲ ἐκ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ· καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν ἑνδεκασύλλαβον. Τὸ ιγ΄ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐρθημιμερὲς ἐκ χοριάμβου καὶ βακχείου. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς, εἶτα παράγραφος· ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ ἤτοι ἐπὶ τῷ τέλει παντὸς τοῦ ᾄσματος μόνος ἀστερίσκος, ὃς δηλοῖ, ὡς τὸ ᾆσμα τετέλεσται. Ἰστέον ὅτι πᾶσαι αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ· ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν λοιπῶν, εἰ καὶ μὴ ἔρθημεν κἂν τούτοις ὁλώσαντες τὰ περὶ τούτου· χρὴ δὲ πᾶσαν ἐπινικίους τὰ σημεῖα τιθέναι ἐπὶ τῷ τέλει τῶν τε στροφῶν καὶ ἀντιστροφῶν καὶ τῶν ἐπῳδῶν, ὡς ἐνταῦθα δεδήλωται.

Aliudde metro Olimp. I.

Ex Vratisl. A.

Τῶν ἐν τοῖς ἐπινίκοις τοῖς ὑπὸ Πινδάρου γεγραμμένοις εἰς τοὺς Ὀλυμπιονικας πρώτη ᾠδὴ ἐπῳδική ἐστι τριαδικὴ περικοπῶν δ΄, καὶ ἔστιν ἡ πρώτη στροφὴ καὶ ἀντιστροφὴ κώλων ιξ΄, ἡ δὲ ἐπῳδὸς κώλων ιγ΄· τῆς στροφῆς ἀντιστρόφου τὸ ά Γλυκώνειον· τὸ Γλυκώνειον μέτρον, τὸ καὶ ἀντισπαστικὸν, ἐστὶ τετρασύλλαβον συγκείμενον ἐκ βραχίος καὶ β΄ μακρῶν καὶ βραχέος, οἷον Ἀρίσταρχος· ὠνόμασται δὲ διὰ τὸ οἷον ἀντεσπασμένον καὶ οἱονεὶ ἐναντίον διἰάμβου

εἶναι. Τὸ β' Φερεκράτειον. Τὸ γ' ἰθυφαλλικὸν λελυμένου τοῦ ά τροχαίου. Τὸ δ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν. Τὸ έ Εὐριπίδειον τροχαϊκὸν δίμετρον καταληκτικόν, ὅμοιον τῷ Νῦν ἐμοὶ πρὸ τειχέων. Τὸ ς' Φερεκράτειον ὅμοιον τῷ β'. Τὸ ζ' τροχαϊκὸν δίμετρον ὅμοιον τῷ έ. Τὸ ή Φερεκράτειον λεῖπον μιᾷ συλλαβῇ. Τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, ὅ ἐστιν Ἀλκμανικόν. Τὸ ί τροχαϊκὸν περίοδος ἀπὸ ἰάμβου. Τὸ ιά τροχαϊκὸν δίμετρον ἀκατάληκτον πλεονάζον τοῦ Εὐριπιδείου συλλαβῇ. Τὸ ιε' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιγ' πενθημιμερὲς κοινὴν λύσιν ἔχον ἰαμβικοῦ καὶ τροχαϊκοῦ Τὸ ιδ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἑρθημιμερές. Τὸ ιέ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἀπὸ δακτύλου τῆς ἰαμβικῆς ἀρξαμένης ἑπτασήμου Τὸ ις' περίοδος ἀπὸ ἰάμβου, καὶ καλεῖται βακχεῖος ἀπὸ τροχαίου. Τὸ ιζ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον.

Τῆς δὲ ἐπῳδοῦ κώλων ιγ' τὸ ά τροχαϊκὸν δίμετρον ἀπ' ἰαμβικοῦ, ὁμοίως τῷ ί τῆς στροφῆς. Τὸ β' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ γ' τροχαϊκὸν πενθημιμερές. Τὸ δ' ἐκ διμέτρου βραχυκαταλήκτου. Τὸ έ ἐπιωνικὸν τρίμετρον καταληκτικὸν καὶ Φαλαίκειον. Τὸ ς' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ' ὅμοιον τῷ ἕκτῳ. Τὸ ή ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ' Ἱππωνάκτειον, Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ί ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ ιά Ἰωνικὸν παροξύτονον ἀκατάληκτον. Τὸ ιβ' προσοδιακὸν ἐξ ἀντισπάστου καὶ Ἰωνικοῦ. Τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικόν.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Α'.

[Ἱέρωνι Συρακουσίῳ.] Ἐπιγέγραπται ὁ ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος ἀδελφῷ νικήσαντι ἵππῳ κέλητι τὴν ογ' Ὀλυμπιάδα, ἢ ὡς ἔνιοι ἅρματι· ὁ δὲ αὐτὸς καὶ τὴν οξ' νικᾷ κέλητι, τὴν δὲ οἱ τεθρίππῳ συνέβη δὲ αὐτὸν νικήσαντα τεθρίπτῳ τὴν οἱ Ὀλυμπιάδα ἐν ταύτῃ τελευτῆσαι· τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικός ἐστι· μέμνηται δὲ αὐτοῦ Βακχυ-

λίδης γράφων οὕτω. Ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον νικήσαντα. Ἦν Ἱέρων Δεινομένους παῖς· Δεινομένους δὲ παῖδες τέσσαρες, Γέλων, Ἱέρων, Πολύζηλος καὶ Θρασύβουλος· οὗτος δὲ ὁ Ἱέρων τύραννος ἦν Συρακουσίων τῶν ἐπὶ Σικελίᾳ· ἔσχε δὲ υἱὸν Δεινομένην· νικήσας τὰ Ὀλύμπια ἀνεκήρυξεν ἑαυτὸν Συρακούσιον καὶ Δίτναιον, κτίσας τὴν παρακειμένην τῷ ὄρει πόλιν ἐν τῇ Σικελίᾳ Αἴτνην ὁμώνυμον τῷ ὄρει.

1. Ἄριστον.] Κράτιστόν ἐστι. Γλ. β. γ. — Ἄριστον μὲν ὕδωρ.] Οὐδὲν ἕτερόν τι αὐτῷ τὸ προοίμιον βούλεται, ἢ τεσσάρων ὄντων τῶν ἱερῶν ἀγώνων συγκριτικῶς ἐπισοξότερον τὸν Ὀλυμπιακὸν ἀποφῆναι· οἰκειότατα δὲ καὶ τὴν εἰκόνα τῆς συγκρίσεως παρείληφε· τεσσάρων γὰρ ὄντων, ὡς ἔφην, τῶν ἱερῶν ἀγώνων, καὶ αὐτὰ τὰ κοσμικὰ στοιχεῖα ἰσάριθμα ὄντα τοῖς ἀγῶσι παραλαμβάνει· εἶτα τούτων τῶν στοιχείων χρειωδέστερον καὶ διαπρεπέστατον τὸ ὕδωρ παραλαμβάνει, τῇ τῶν φιλοσόφων ἑπόμενος γνώμῃ, οἳ φυσικώτερον κινηθέντος ἐκ τοῦ ὕδατος ἔφασαν καὶ τὰ ἄλλα τρία στοιχεῖα συνίστασθαι· τὸ μὲν γὰρ αὐτοῦ τὸ λεπτομερὲς ἀέρα λέγουσι γίνεσθαι, τὸ δὲ παχύτερον εἰς ἑαυτὸ συνιστάμενον γῆν, ἀποτελεῖν δὲ ἀπολεπτυνόμενον τὸν διάπυρον αἰθέρα πῦρ· διὰ τοῦτο ἄριστον εἶπε τὸ ὕδωρ, ἐπεὶ δοκεῖ τῆς τῶν ἄλλων γενέσεως αἴτιον εἶναι· τὸ γὰρ αἴτιον τῶν δι' ἑαυτοῦ γινομένων τοῦτο προῦχον τῶν ἄλλων· ἔνιοι δὲ καὶ τοῦτο προστιθέασι λέγοντες, ὅτι καὶ πρὸς τὰ λογικὰ καὶ ἄλογα ζῶα ἀναγκαιότερον εἶναι τὸ ὕδωρ, μάλιστα πρὸς θάλπος· καὶ ὅτι τὰ φυτὰ ἐκ τοῦ ὕδατος τρέφεται, ἡμεῖς δὲ ἐκ τῶν σπερμάτων ζῶμεν, τὰ δὲ σπέρματα οὐκ ἄλλως δύναται ζωογονηθῆναι, εἰ μὴ ὑπὸ τοῦ ὕδατος, εἰκότως τὸ ὕδωρ μεῖζον τῶν ἄλλων στοιχείων· τινὲς δὲ καὶ τὸ Ὁμηρικὸν παραλαμβάνουσιν. (Ἰλ. ξ, 201.) Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν· εἰ δὲ ὁ Ὠκεανὸς ποταμὸς καὶ ἡ μήτηρ Τηθὺς, ἦγουν ἡ πηγὴ, ἡ δὲ τῶν θεῶν γένεσις ἐκ τοῦ Ὠκεανοῦ γεννᾶται, εἰκότως καὶ τὸ ὕδωρ τῶν ἄλλων στοιχείων προτιμότερον· ἀπεδείξαμεν οὖν διὰ πολλῶν, τῶν τεσσάρων στοιχείων προτιμότερον τὸ ὕδωρ· πρὸς ταύτην τὴν ἀπόδειξιν καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα προτιμότερον καὶ κεφαλαιωδέστερον ἀποδείκνυσιν· Ἀρχὴ τῶν ὅλων κατὰ Θαλῆν τὸ ὕδωρ· τὸ δὲ ἑξῆς τοῦ λόγου· ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου· ἅτε αἰθόμενον πῦρ διά-

ἀηλόν ἐστι νυκτί, οὕτως ἐν πλούτῳ χρυσός. Ἄλλως· Τρία ἐν ἀνθρώποις Πίνδαρος ἄριστα εἶναι λέγει, τὸ ὕδωρ μὲν εἰς τὸ ζῆν, οὗ ἄνευ βιοῦν ἀδύνατον· εἶτα χρυσὸν ἐν πλούτῳ τῶν ἄλλων χρημάτων ἐμπρέποντα, καθάπερ ἐν τῇ νυκτὶ τὸ πῦρ· πρὸς δὲ δόξαν τὴν ἐν Ὀλυμπιάσι νίκην· ὁ δὲ νοῦς τοῦ προοιμίου ὅλου τοιοῦτος· ὥσπερ τὸ μὲν ὕδωρ τῶν ἄλλων στοιχείων χρησιμώτερον, ὁ δὲ χρυσὸς τῆς λοιπῆς ὕλης προτιμότερος, οὕτω καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν προτιμότερος τῶν ἄλλων· καὶ δευτέραν ἀπόδειξιν συγκριτικὴν ποιεῖται τῶν τοῦ πλούτου χρημάτων ἀξιολογώτερον καὶ τιμιώτερον ἀποδεικνὺς τὸν χρυσόν· εἰ δὲ μὴ ἐβράδυνεν, ἠρκέσθη ἂν εἰς τὸν περὶ τῶν στοιχείων λόγον, καίτοι κεφαλαιωδέστερον ὄντα· ἀλλὰ πολύς ἐστιν ἐγκωμιάζων τὸν πλοῦτον· καὶ φαμὲν ἠτᾶσθαι αὐτὸν τῆς ἑαυτοῦ φύσεως φιλοχρημάτου τυγχανούσης· ὁ δὲ νοῦς· ὁ δὲ χρυσὸς ἐν ἅπασι τοῖς κτήμασι τοῦ δυνατοῦ πλούτου οὕτω διαλάμπει, ὡς ἐν νυκτὶ πῦρ καιόμενον. Ἄλλως· Τὸ δὲ ἑξῆς τοῦ λόγου· ἄριστον μὲν ὕδωρ· ἀρχὴ γὰρ τῶν ὅλων κατὰ Θαλῆν τὸ ὕδωρ· ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου, ἅτε αἰθόμενον πῦρ διάδηλόν ἐστιν ἐν νυκτί, οὕτως ἐν πλούτῳ χρυσός. Ἄλλως· σύγκρισις τῶν ἀγώνων πρὸς τὰ στοιχεῖα ἐξ αὐτοῦ τοῦ προοιμίου· καὶ γὰρ ἐκεῖνα ὃν τρόπον αἴτια τοῦ ζῆν τοῖς ἀνθρώποις εἰσί, τὸν αὐτὸν καὶ τοῦ καλῶς ζῆν τούτους αἰτίους φησίν· ἐπειδὴ μὲν οὖν πρώτιστον καὶ τῶν ἄλλων στοιχείων ἄμεινον τὸ ὕδωρ ἐστί, παραβάλλει αὐτὸ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὡς καὶ αὐτῆ προὔχουσα τῶν ἄλλων τεσσάρων. Ἄλλως· Ὁ δὲ χρυσὸς διαπρέπει τοῦ μεγάλως δυναμένου πλούτου, ἅτε τὸ αἰθόμενον πῦρ ἐν νυκτί, ἤγουν ὁ πυρσός· ἀπὸ κοινοῦ τὸ διαπρέπει. — Ἄριστον μὲν ὕδωρ] Ἐπειδὴ τέσσαρές εἰσιν ἀγῶνες, Ὀλύμπια, Νέμεα, Ἴσθμια καὶ Πύθια, οἱ μὲν τρεῖς ἐν Πελοποννήσῳ, ὁ δὲ τῶν Πυθίων ἐν Δελφοῖς γινόμενος, ὧν τὰ μὲν Ὀλύμπια καὶ Νέμεα εἰς Δία, εἰς Ποσειδῶνα δὲ τὰ Ἴσθμια, τὰ δὲ Πύθια εἰς Ἀπόλλωνα ἐτελεῖτο, ἦστι δὲ καὶ τέσσαρα στοιχεῖα τὰ τὸ πᾶν συνιστῶντα, πῦρ, ἀήρ, ὕδωρ, γῆ· ἐπεὶ ταῦτα οὕτως ἔχει, βουλόμενος τὸν Ὀλυμπιακὸν ἀγῶνα κρείττω τῶν τριῶν ἀποδεῖξαι καὶ δέον οὕτως εἰπεῖν· ὥσπερ τὸ ὕδωρ κρεῖττον τῶν ἄλλων στοιχείων· ἐπὶ δὲ τῇ συγκρίσει ταύτῃ ἑτέραν ποιεῖ λέγων· ὁ δὲ χρυσὸς διαπρέπει καὶ διαλάμπει ἔξοχως καὶ ὑπερτάτως τοῦ μεγάνορος καὶ τοῦ τοὺς ἄνδρας μεγίστους κατὰ τ

νοῦν καὶ ψυχὴν ποιοῦντος νομίζεσθαι πλούτου, ἢ τοῦ μεγαλαύχους τούτους ποιοῦντος· πλοῦτον δὲ ἐνταῦθα καλεῖ τὴν τῶν κτημάτων καὶ θρεμμάτων καὶ τῶν ἄλλων περιουσίαν. Θέλων δὲ δεῖξαι, πῶς ὑπερῄρχει ὁ χρυσὸς τοῦ πλούτου, φησίν· ἄτε, καὶ καθὰ, πῦρ αἰθόμενον καὶ καιόμενον καὶ λάμπον ἐν νυκτί· ἄριστον δέ ἐστι τὸ ὕδωρ τῶν ἄλλων στοιχείων· οὕτω φασὶ γὰρ οἱ φυσικοὶ αἴτιον τὸ ὕδωρ τῆς τῶν τριῶν οὐσίας εἶναι, καὶ τὸ μὲν λεπτομερέστερον αὐτοῦ ἀέρα γίνεσθαι, τὸ δὲ παχύτερον εἰς ἑαυτὸ καθιστάμενον γῆν, ἀπολεπτυνόμενον δὲ τὸν διάπυρον αἰθέρα, ἤτοι τὸ πῦρ. — † Ἄριστον μὲν ὕδωρ.] Τῶν ἄλλων δηλονότι στοιχείων· καὶ γὰρ τὰ μὲν ὑπερθετικὰ ἐπὶ τὰ ὁμογενῆ ἀεὶ τὴν ὑπέρθεσιν ἔχει, καὶ χωρὶς ἐκείνων πολλάκις λέγεται καὶ ἔχει ταῦτα συνυπακουόμενα, ὡς ἐνταῦθα τὸ ἄριστον· τὰ δὲ συγκριτικὰ χωρὶς ἐκείνων, πρὸς ἃ τὴν σύγκρισιν ἔχει, οὐ δύναται λέγεσθαι, εἰ μὴ ἐπὶ Θεοῦ λαμβάνοιτο, ὡς τὸ κρεῖττον παρὰ τῇ Θείᾳ γραφῇ.

3. † Ἅτε διαπρέπει.] Τὸ διαπρέπει λέγεται μεταβατικῶς μετιτευούσης ἀεὶ προθέσεως· οἷον διαπρέπει τόδε ἐπὶ τοῖσδε, ἤγουν διὰ πάντων τούτων πρέπει, τουτέστι παραβαλλόμενον πρὸς πάντα ταῦτα ἀποκρύπτει αὐτὰ, καὶ εὐπρεπὲς αὐτὸ μόνον δοκεῖ ἐν αὐτοῖς εἶναι· ἐπὶ πολλὰ δὲ ἀεὶ ἡ δύναμις ἡ ἐνεργεία ποιεῖται ταύτην τὴν ἑαυτοῦ μετάβασιν, καὶ οὐδέποτε ἐφ' ἓν ὑπερθετικοῦ γὰρ τρόπον τινὰ δύναμιν ἔχει· δυνάμει δὲ εἴρηται διὰ τὰ περιληπτικὰ τῶν ὀνομάτων, οἷον τὸ χορὸς, τὸ δῆμος, τὸ πλοῦτος· ταῦτα γὰρ ἑνικὰ ὄντα τῇ φωνῇ πληθυντικὰ τῇ δυνάμει εἰσί· λέγεται δὲ καὶ μόνον κατ' ἐξαίρετον, καθὰ καὶ τὰ ὑπερθετικὰ ἐνίοτε, ὡς ἐνταῦθα. Αἰθόμενον πῦρ διαπρέπει νυκτί· οὐ γὰρ πρὸς τὴν νύκτα παραβαλλόμενον εὐπρεπές ἐστι· τοῦτο γὰρ ἀσύνετον λέγειν· ἀλλ' ἐν νυκτὶ καιόμενον διαλάμπει, πρὸς τὰ ἄλλα δηλονότι παρατιθέμενον, ἃ λαμπρότητα ἔχει. Οἱ λαμβάνοντες εἰς τὸ πλούτου ἔξωθεν τὸ ἐπί, καὶ τὸ ἔξοχα ἀντὶ τοῦ λίαν λέγοντες, ἀμαθεῖς· ἔστι δὲ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἔξοχα, τὸ δὲ ἔξοχα ἀντὶ τοῦ ἐπέκεινα· ὥσπερ οὖν ἐπέκεινα πάντων φαμὲν, οὕτω καὶ ἔξοχα πάντων.

4. Μεγάνορος ἔξοχα πλούτου.] Μεγάνορα εἶπε τὸν πλοῦτον, ὡς μὲν ἔνιοι, διὰ τὸ κατασκευάζειν τοὺς κεκτημένους αὐτὸν αὐχητικοὺς καὶ ὑπερόπτας, καὶ ἅτι αὐτὸς γίνεται

μεγαλήνωρ διὰ τὸ πολλὰ δύνασθαι κατεργάζεσθαι· νεῦρα γὰρ πολέμου ὁ χρυσός. Ἄλλως· μεγάνορος, ἤτοι τοῦ αὐξάνοντος τὰς τύχας τῶν ἀνθρώπων, καὶ ποιοῦντος μείζονα φρονεῖν τῶν καθηκόντων, ἢ ὅτι αὐτὸς μεγάνωρ ἐστὶ διὰ τὸ πολλὰ δύνασθαι κατεργάσασθαι· νεῦρα γὰρ πολέμου χρυσός.

5. Εἰ δ' ἄεθλα.] Ἄθλα νῦν εἴρηκε τὰ ἀγωνίσματα· ἔλεγον δὲ οὕτω καὶ τὰ ἔπαθλα. Ὅμηρος. (Ἰλ. ψ, 273.) Ἱππῆας, τὰ δ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι· ἢ ἄεθλα τὰ ἀγωνίσματα περιφραστικῶς τοὺς ἀγῶνας· πρὸς ἑαυτὸν δὲ ἐκφέρων εἶπεν· ὦ φίλον ἦτορ, εἰ δὲ καταλέγειν ἆθλα βούλει, νόμιζε ὡς ἐν ἄστροις ἥλιον φαεινότερον, οὕτως ἐν ἆθλοις τὸν Ὀλυμπιακὸν ἀγῶνα πρωτεύειν. — † Εἰ δ' ἀεθλα] Ἄθλον καὶ βραβεῖον τὸ αὐτὸ, ὡς λῆμμα καὶ δῶρον· λέγεται δὲ οὕτω τὸ διδόμενον γήρας τῷ νικήσαντι ἀθλητῇ· ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν βραβεῖον, ἀπὸ δὲ τῶν ἀθλούντων ἆθλον· ἐνταῦθα δὲ ἆθλα λέγει τοὺς ἀγῶνας. — Γαρύεν.] Φωνεῖν, καταλέγειν, διακρίνειν, ὑμνεῖν. Δωρικῶς δὲ τὸ γαρύεν, τοῦ ι ἐκλείψαντος. Ἄλλως· γαρύεν τὸ γαρύειν λέγει, καὶ ἔστιν ἀποβολὴ τοῦ ι, ὅπερ ἔθος Δωριέων· ἡ δὲ γῆρυς ὅτι ἐπὶ τῆς φωνῆς εἴρηται, εὑρίσκομεν καὶ παρ' Ὁμήρῳ. (Ἰλ. δ, 437.).

Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς.

ἔθος δὲ ἐστι Πινδάρῳ, μὴ οἷς προοιμιάζεται συγκριτικοῖς, τούτοις τὰ συγκρινόμενα εὐθέως ἐπάγειν, ἀλλὰ μεταξύ τινα εἰκόνα ἀποδεικτικὴν τῆς βελτιότητος παρεντιθέναι, καὶ οὕτω τὴν σύγκρισιν ἐπιφέρειν· ποιεῖ δὲ τοῦτο θερμός τις ὢν καὶ πολύνους περὶ τὰ νοήματα.

6. Ἐπιθυμεῖς, ὦ φίλη ψυχή. Γλ. α. β. γ.

8. Θαλπνότερον.] Θερμότερον, φανερώτερον, φαεινότερον· τῇ γὰρ θέρμῃ καίειν τὸν ἀέρα καὶ φωτίζειν ποιεῖ.

9. Ἐν ἀμέρᾳ.] Εὖ καὶ ἐκ τοῦ καιροῦ τὸ ἄγαν λαμπρὸν τοῦ ἡλίου δείκνυσιν ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ἄστρων, ἅτινα κατὰ τοῦτον τὸν καιρὸν ἐξασθενεῖ φαίνεσθαι· διὸ καὶ ἁρμοδίως ἄστρον ἐπήγαγεν· ἔρημον εἶπε τὸν αἰθέρα διὰ τὸ ἄγαν πυρῶδες, καὶ τὸ μὴ πλησιάζειν αὐτῷ ζῶον ἐν τῷ ἀσφαλεῖ· ἢ ὅτι τὸ ἔρι μόριον λέγουσιν ἀντὶ τοῦ μεγάλως, ὡς Ὅμηρος. (Ἰλ. κ, 305.) Ἐριαύχενας ἵππους· τὸ δὲ σαφὲς οὕτως ἔχει· εἰ δὲ, ὦ προσφιλεστάτη ψυχὴ, ἀγῶνας φωνεῖν καὶ διακρίνειν μέλλεις καὶ διακηρύσσειν, μηκέτι τοῦ ἡλίου

σκόπει ἕτερον ἄστρον μήτε θερμότερον μήτε λαμπρότερον διὰ τῆς ἐρήμου αἰθέρος φερόμενον ἐν ἡμέρᾳ· μηδὲ τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἕτερον βελτίονα. — Εἰκότως εἶπε τὸ ἐν ἀμέρᾳ. Ἡλίου γὰρ ἐν ἡμέρᾳ λάμποντος οὐδὲν τῶν ἄστρων ὁρᾶται. — Ἄστρον.] Κακῶς εἶπεν ἄστρον· ἔδει γὰρ εἰπεῖν ἀστέρα· τὰ γὰρ ἐκ πολλῶν συγκείμενα ἀστέρων ζώδια ἄστρα λέγεται, ὁ δὲ ἥλιος ἀστήρ· τὸ δὲ ὅλον εἰπεῖν· ὥσπερ ἐν ἄστροις ἥλιον εἴποις Σαλπνότερον, οὕτως ἐν ἀγῶσι προκρίναις Ὀλυμπίαν. † Φαεινὸν ἄστρον, ἀντὶ τοῦ ἀστέρα, διαφέρει ἄστρον καὶ ἀστήρ· ἀστὴρ γὰρ ὁ μονομερής· ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον.

10. Ἐρήμας δὲ αἰθέρος.] Ἀνεφέλου ἀέρος. — Ἐρήμας δὲ αἰθέρος.] Ἡ μὲν θάλασσα ἔχει τοὺς ἰχθῦς, ἡ δὲ γῆ τὰ τετράποδα καὶ τὰ ἑρπετά, ὁ δὲ ἀὴρ τὰ πτηνά, ὁ μέντοι αἰθὴρ πυρώδης ὢν οὐκ ἔχει· ἡ ἐρήμης τῆς μὴ ἐχούσης νέφος οὐ γὰρ συνίσταται εἰς θερμασίαν· ἢ διὰ τὸ μὴ φαίνεσθαι οἰκούμεναν· ἢ ὡς πρὸς ἡμᾶς ἐρήμης, διὰ τὸ ἡσύχιον καὶ ἔρημον. —Τὸν αἰθέρα ἐνταυτῷ θηλυκῶς εἶπε ποιητικῷ ἔθει· ἐρήμας δὲ δι' αἰθέρος οἱ μέν φασι τοῦ οὐρανίου πυρὸς ὥπερ οὐ πλησιάζει τι τῶν παρόντων διὰ τὸ αὐτοῦ δαπανητικόν· διὸ καὶ ἔρημός ἐστιν· ἐγὼ δέ φημι τὸν ἀέρα· ὃς εἰ καὶ πέτονται ἐν αὐτῷ ζῶα, ἀλλὰ διὰ τὸ μὴ οἰκεῖν ἐνταῦθα ἔρημός ἐστιν· ἄλλως τε καὶ τί τῆς ἐκείνων ἀλογίας γένοιτ' ἂν χεῖρον, ἐπεὶ τὸ μὲν πῦρ ἄνω ὂν ἡμῖν οὐχ ὁρᾶται, ἡμεῖς δὲ διὰ τοῦ ἐν τῷ μεταξὺ γῆς οὐρανοῦ καὶ ἀέρος διαφανοῦς ὄντος ἥλιον καὶ σελήνην καὶ ἄστρα καταλαμβάνομεν· ὅτι δὲ καὶ τὸ αἰθὴρ ἀντὶ τοῦ ἀὴρ εὑρηται, μαρτυρεῖ καὶ Ἀριστοφάνης λέγων περὶ τῶν νεφελῶν οὕτως· (Νεφ. 569.) Ἠμέτερον πατέρ' αἰθέρα βιοθρέμονα πάντων· ἐκ γὰρ τῷ ἀέρι καὶ οὐκ ἐν τῷ πυρὶ αἱ νεφέλαι συνίστανται, καὶ οὗτος πᾶσι φυτοῖς καὶ ζώοις τὸ ζῆν παρέχει.— † Ἐρήμας δὲ αἰθέρος.] Παρὰ τοῖς Ἴωσιν οὕτω θηλυκῶς προφέρεται· ὡς ἡ κίων καὶ ἡ Μαραθών· οὐ πάντα δὲ τὰ τοιαῦτα Ἰωνικά ἐστιν· ἐπεὶ καὶ οἱ Ἀττικοὶ πολλὰ τῶν ὀνομάτων ἀρσενικὰ ὄντα θηλυκῶς ἐκφέρουσιν.

11. † Ὀλυμπίας ἀγῶνα]. Ὀλυμπία, Πίσα καὶ Ἦλις τὸ αὐτό· Ὀλύμπια δὲ οὐδετέρως ὁ ἐκεῖ τελούμενος ἀγών.

12. † Δυδάσομεν.] Ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν τῷ (Ἰλιάδ. α, 363.) Ἵνα ἴδομεν ἄμφω.

13. Ὅθεν ὁ πολύφατος.] Πολύδοξος. — Ὅθεν ὁ πολύφα-

τος.] Ἐκ τοῦ Ὀλύμπου περιβάλλεται ταῖς τῶν σοφῶν μητίεσσι, καὶ ὑπὸ πάντων τούτων κατασκευάζεται· ἀμφιβάλλεται δὲ, ἤτοι κοσμεῖται ἡ περιγράφεται καὶ περιλαμβάνεται, ὥσπερ καὶ Ὅμηρος· (Ἰλ. ψ, 255.) Τορνώσαντο δὲ σῆμα. § Ἄλλως· οἷον εἰπεῖν γράφεται, περιβάλλεται· ἔνιοι δὲ προβάλλεται, κοσμεῖται ὁ ὕμνος· ἡ μεταφορὰ ἀπὸ τῶν στεφάνων· ὅθεν, ἀπὸ τῆς Ὀλυμπίας· πολύρατος δὲ, ὁ πολύφημος, ὁ ὑπὸ πολλῶν φημιζόμενος καὶ λεγόμενος, πολυθρύλλητος.

16. Κρόνου παῖδα.] Ἔστι μὲν τὴν ἑστίαν δέξασθαι Κρόνου, καθότι πρόκειται· βέλτιον δὲ οὕτω δέξασθαι· εἰς τὴν τοῦ Ἱέρωνος ἐλθόντας ἑστίαν τὸν τοῦ Κρόνου παῖδα τὸν Δία ὑμνεῖν· πιθανώτερον γὰρ τῆς νίκης Ὀλυμπιακῆς οὔσης τὸν Ὀλύμπιον Δία παρὰ τῷ Ὀλυμπιονίκῃ ἀνυμνεῖσθαι· τὸ δὲ ἐς ἀρχὰν εἶπεν, ὅτι τὸ ἱπποτροφεῖν πλουσίων· τὸ δὲ ἱκομένους ἀντὶ τοῦ παραγενόμενοι λέγει· τῇ γὰρ αἰτιατικῇ ἀντὶ ὀρθῆς κέχρηται. [ὅπερ οὐκ οἶμαι λόγον ἔχειν.] Κελαδεῖν, ὑμνεῖν· μάκαιραν, εὐδαίμονα, πλουσίαν. — † Μηδ' Ὀλυμπίας ἀγῶνα.] Εἰ μὲν ἱκόμενοι γράφεται, τὸ ἑξῆς ἔχει οὕτω· μηδ' ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος, ἀφικόμενοι εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος τὴν εὐδαίμονα· τὸ δὲ, ὅθεν ὁ πολύρατος μέχρι τοῦ Κρόνου παῖδα, διὰ μέσου οὕτως· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται βουλαῖς σοφῶν, περιφραστικῶς ἀντὶτοῦ ὑπὸ τῶν σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, τουτέστι τὸν Δία, ὃς ἐστι δεσπότης τοῦ ἀγῶνος· εἰ δὲ ἱκομένους, οὕτω· μηδ' ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ· ὅθεν ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται ἡμῖν νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, ἀφικομένους εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος, τὴν μακαρίαν, τὴν εὐδαίμονα, τουτέστι τὴν Σικελίαν· ὃς ἤγουν ὁ Ἱέρων, διέπει βασιλείαν δικαίαν ἐν τῇ Σικελίᾳ τῇ πολυμήλῳ, ἀντὶ τοῦ τῇ πολυθρέμμονι. † Εἰ δὲ ἀγῶνας θέλεις ὑμνεῖν, ἃ προσφιλὴς ἐμοὶ ψυχὴ, μηδὲ ζήτει ἰδεῖν ἐν ἡμέρᾳ ἄλλον τινὰ ἀστέρα λαμπρὸν, θερμότερον τοῦ ἡλίου, οὐ ἐρήμου τοῦ αἰθέρος, φερόμενον σηλονότι· ἤγουν μὴ ὑπὸ νεφελῶν κρυπτόμενον· ὅτε γὰρ ἀσυννεφής ἐστιν ὁ οὐρανὸς, τότε ἡ τοῦ ἡλίου δείκνυται θερμότης. — Κρόνου παῖδ' ἐς ἀφνεάν.] Οἱ μὲν πρὸς τὴν ἑστίαν συντάσσουσιν· ἐπλανήθησαν δὲ εἰς τοῦτο, διότι ἡ καταρχὰς τὴν οἰκίαν εὑροῦσα ἡ Ἑστία ἦν, ἥτις ἦν Κρόνου θυγάτηρ, ἀφ' ἧς

καὶ τὴν οἰκίαν ἑστίαν λέγομεν· ἐγὼ δὲ Κρόνου παῖδα λέγω τὸν Δία, ὃν δίκαιον ἐπαινεῖσθαι πρὸ τῶν νενικηκότων, διὰ τὸ αὐτοῦ τὴν πανήγυριν εἶναι, εἰς ἣν οὗτοι ἐνίκησαν· πρῶτον δὲ καθολικῶς εἰπὼν, ἀπὸ τῆς Ὀλυμπίας ἔρχεσθαι τοὺς ὕμνους ἐν τοῖς σοφοῖς ἐπαινοῦσι τοὺς νικῶντας· ἐπειδὴ ὁ νῦν νενικηκὼς ὁ Ἱέρων ἦν, ὁ πρὸς τοῦτον τὸν ἔπαινον ἐργαζόμενος, διὰ τοῦτο πρὸς Ἱέρωνα τὸν λόγον ἀπέτεινε· καὶ ἔστι τὸ ἐκομένους, δι' ἑαυτόν.

18. Θεμιστεῖον.] Βασιλικόν.—Θεμιστεῖον.] Ἡρωϊδιανὸς προπαροξύνει· ἀναλογώτερον γάρ· ἡ δὲ χρῆσις περισπᾷ· Ἄλλως· Θεμιστεῖον· τὸ δίκαιον, παρὰ τὸ Θέμις· ἀμφέπει δὲ τῷ περιέπει, οἱονεὶ Θεραπεύει. — Τοῦτο μὲν ἡ ἀναλογία προπαροξύνει, ἡ δὲ συνήθεια προπερισπᾷ· ἐπικρατεῖ δὲ ἡ συνήθεια, ὡς ἐν τῷ χάριεν· κἀκεῖνο γάρ, ὅσον κατὰ τὴν ἀναλογίαν, ἐπὶ τῆς παραληγούσης ἂν εἶχε τὸν τόνον, ἀλλ' ἡ συνήθεια προπαροξύνουσα αὐτὸ ἐπεκράτησεν. — Ἀμφέπει.] Διέπει· περιέπειν γάρ ἐστι τὸ φίλον τινὰ κυβερνᾶν καὶ σῴζειν, διέπειν δὲ τὸ οἰκεῖον· ἐνταῦθα δὲ ὁ λόγος τὸ δεύτερον ἀπαιτεῖ. — † Σκᾶπτον ἐν πολυμάλῳ.] Σκῆπτρον, ἡ βασιλικὴ ῥάβδος· ἀπὸ ταύτης ἐνταῦθα τὴν βασιλείαν θέλει δηλοῦν· τοῦτο δὲ καὶ παρὰ τῷ πεζῷ λόγῳ ἐστὶν ἐν χρήσει· σκᾶπτον δὲ κατὰ Δωριεῖς τὸ σκῆπτρον, ἀποβολῇ τοῦ π γινόμενον. — Σκᾶπτον ἐν πολυμάλῳ Σικελίᾳ.] Φησὶ τὴν βασιλείαν· περιπέρασται δὲ ὁ λόγος· βούλεται δὲ εἰπεῖν· ὃς μετὰ δικαιοσύνης βασιλεύει τῆς εὐδαίμονος Σικελίας· ὁ γὰρ πολύμηλος ἀπὸ μέρους εὐδαίμων· ὅθεν νόει τὸ ὅλον.

20. Δρέπων μέν.] Ἀντὶ τοῦ δρεπόμενος, ἀπανθιζόμενος πασῶν ἀρετῶν τὸ τέλειον ἀνδρείας καὶ δικαιοσύνης καὶ τῶν ἑξῆς, αὐτὸ τὸ ἄνθος δρεπόμενος ἀπὸ πασῶν τῶν ἀρετῶν· οἱονεὶ ἀφ' ἑκάστης τὸ ὠφέλιμον καρπούμενος. Ἄλλως· ἀκαταλλήλως τὸ ἁρπων τῷ ἀγλαΐζεται ἐπενήνοχεν· ἐχρῆν γὰρ εἰπεῖν ἀγλαϊζόμενος, ἵν' ᾖ, καλλωπιζόμενος ἐπὶ τῷ τῆς μουσικῆς κάλλει, τουτέστι τῆς ᾠδῆς. Ἄλλως· ἀγλαΐζεται δὲ· ἀκαταλλήλως τὸ δρέπων τῷ ἀγλαΐζεται· ἐχρῆν γὰρ εἰπεῖν· ἀγλαϊζόμενος ἐν τῷ τῆς ᾠδῆς ἄνθει καὶ τῇ ᾠδῇ, ἤτοι μουσικὸς ὢν ἢ περὶ τὴν μουσικὴν διακείμενος· φίλην δὲ τράπεζαν, ἢ ὅτι κατὰ τὸ ἀναγκαῖον συνεστιῶνται, ἢ ὅτι ἐν ταύτῃ αἱ φιλίαι. Ἄλλως· ἀγλαΐζεται δὲ, ἐπαγωγικῶς ἀπὸ τῶν καταριθμηθέντων· εἰρηκὼς γὰρ ἀρνεὸς, ἀγαθὸς, δίκαιος, βασιλεὺς, ἐν τῇ ἀρετῇ τὸ δίκαιον, ἐν τῷ πλουτεῖν τὸ νι-

κᾷν, φησὶν ὅτι κέκτηται καὶ μουσικὴν, ἵνα πάσας τὰς βιωτικὰς ἀρετὰς εἴπῃ. Ἄλλως· τῷ εἶναι μουσικὸς ἢ τῷ διακεῖσθαι περὶ μουσικὴν, ὥσπερ φιλίατρος, οὕτως ἐστὶν· ἀλλὰ τῷ ἀώτῳ, τῆς ᾠδῆς ἄνθει, τουτέστι ἐν ταῖς ᾠδαῖς· οὐδὲν γὰρ ἕτερον μουσικῆς ἄνθος ἢ αἱ ᾠδαί. Οἷα δὲ, ἔφη, περὶ τὸν πότον εἰώθασι λέγεσθαι· ἀγλαΐζεται δὲ καὶ σεμνύνεται καὶ ἐν τῷ τῆς μουσικῆς ἀπανθίσματι, οἱονεὶ πεπαίδευται τὴν μουσικήν. — Ἀγλαΐζεται.] Δέον εἰπεῖν ἀγλαΐζόμενος πρὸς τὸ μέτρον ἀγλαΐζεται εἶπεν· εὕρηται δὲ καὶ παρὰ τοῖς λογοποιοῖς· φησὶ γὰρ ὁ Συνέσιος. Τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ ἑαυτοῦ βίῳ γενόμενος, ἀλλ' ὑπὲρ τῆς εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε· διὰ δὲ τοῦ εἰπεῖν· ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ, ἤτοι μουσικῇ, περιφραστικῶς δείκνυσιν αὐτὸν εἰρήνης ἀπολαύοντα καὶ οὐ πολέμους ἔχοντα· εἰρηνικὰς γάρ ἐστι καταστάσεις, μουσικῇ καὶ αὐλοῖς τὴν ψυχὴν θέλγειν.

20—22. Δρέπων.] Τρυγῶν. — Κορυφάς.] Τὰ ἐξαίρετα, προτερήματα. — Ἀγλαΐζεται.] Λαμπρύνεται. — Ἐν ἀώτῳ μουσικῆς, ἀντὶ τοῦ ἐν ἐξαιρέτοις μέλεσι μουσικῆς κατ' ἐκεῖνο τὸ μέρος, ὃ παίζομεν οἱ ἄνθρωποι θαμὰ, ἀντὶ τοῦ πολλάκις, περὶ φίλην τράπεζαν, ἀντὶ φιλικὴν, ἤγουν φίλους συνεστιωμένους ἔχουσαν.

24. Οἷα παίζομεν φιλίαν. Τὴν φιλοποιόν· οὐ γὰρ ἐχθροὶ εἰς Τράπεζαν συνανέρχονται· τὸ δὲ παίζομεν, ὡς πρὸς τράπεζαν· οὗτι τὸ σπουδαῖον· ἄκαιρον γάρ· ὁ δὲ νοῦς· ὁποίαν μάλιστα μουσικὴν οἱ ἄνθρωποι συνεχῶς κατὰ τὰ συμπόσια περὶ τὴν προσφιλῆ τράπεζαν παίζομεν καλῶς καὶ μετὰ τὴν εὐωχίαν εἶπεν· οὐ γὰρ ἦν σπουδαίου ἄνευ τοῦ εὐωχεῖσθαι κιθαρίζειν· ἀμφίβολον οὖν, πότερον ἀγλαΐζεται μουσικῆς ἐν ἀώτῳ μουσικὰ συζητῶν παρὰ τῷ δείπνῳ, ἢ ἐπεὶ λύρα περιφέρετο τοῖς δειπνοῦσιν, ὡς ἀπαρχομένων παιδιᾷ μουσικῆς τοῦ εἰς Ἱέρωνα ὕμνου. — † Οἷα παίζομεν.] Ἀντὶ τοῦ κατ' ἐκεῖνο τὸ μέρος, ὃ παίζομεν· ὁμοιωματικὸν ἀναφορικὸν ἀντὶ ἀναφορικοῦ δεικτικοῦ· τοῦτο δὲ καὶ παρὰ τοῖς κοινοῖς ἐστιν ἐν χρήσει· τὸ Δωρίαν οἱ μὲν φασιν ἱστορικῶς διὰ τοῦτο ὅτι πρῶτοι οἱ ἐν Παρνασσῷ Δωριεῖς λύραν ἐπήξαντο· οἱ δὲ μυθικῶς ὅτι πρῶτος Ἑρμῆς ταύτην πήξας Ἀπόλλωνι δῶρον ἔδωκεν· οὓς αὐτὸς ἐάσας Δωρίαν νόει τὴν Δώριον μέλος ᾄδουσαν ἐν τῷ Ἱέρωνος ἐπινικίῳ, ἢ ὅτι ὁ ἐπινίκιος Δωριστὶ συνετέτακτο· εἰσὶ δὲ ἁρμονίαι τρεῖς· Δώ-

ριος. Φρύγιος, Λύδιος· ἀναλάμβανε, ὦ ψυχή, τὴν Δωρίαν φόρμιγγα, καὶ ὕμνει τὸν Φερένικον ἵππον Ἱέρωνος καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτου χάρις τὸν νοῦν εὔφρανε. Πίσα χώρα καὶ Ἀλφειὸς ποταμὸς πλησίον Ἤλιδος ἐν Πελοποννήσῳ εἰσί· λέγουσι δέ τινες τὴν Πίσαν καὶ τὴν Ἦλιν πάνυ πλησίον εἶναι, ὅπερ οὐκ ἔστιν ἀληθές· πεντήκοντα γὰρ στάδια ἀλλήλων διέχουσι. Πίσα δὲ ἐκλήθη ἀπὸ Πίσης τῆς θυγατρὸς Ἐνδυμίωνος· ἐλέγετο δὲ καὶ ὁ τόπος τοῦ ἀγῶνος καὶ Πίσα καὶ Κρόνιος λόφος· τὸ δὲ Σύτο παρ' Ἀλφεῷ, καταχρηστικῶς εἶπεν· οὐ γάρ ἐστιν ἐν τῷ τοῦ ἀγῶνος τόπῳ οὗτος ὁ ποταμός, ἀλλὰ πόρρω.

26. Δωρίαν ἀπὸ φόρμιγγα.] Παρ' ὅσον οἱ ὑπὸ Παρνασὸν οἰκοῦντες Δωριεῖς πρῶτοι λέγονται τὸ ὄργανον ἐσκευακέναι· οἱ δὲ παρὰ τὸ δῶρον ἀκούουσιν, ὅτι δὴ τὴν λύραν Ἑρμῆς ἀντὶ τῆς τῶν βοῶν κλοπῆς Ἀπόλλωνι παρέσχεν· οἱ δὲ ὅτι Δωρικὴ ἁρμονία ἥρμοσται τῷ Πινδάρῳ ἡ λύρα· ἁρμονίαι δὲ πλείονες, Δώριος, Φρύγιος, Λύδιος· τὸ δὲ ἀπὸ δύναται μὲν ἀκούεσθαι καὶ πρὸς τὸ παρασάλου, ἵν' ᾖ, ἀπὸ παρασάλου· δύναται δὲ καὶ πρὸς τὸ λάμβανε, ἵν' ᾖ ἀπολάμβανε· ἐκ τούτου τὸ ἀκμαῖον τὸ τῆς ἐγκωμίου γραφῆς ὑποφαινόμενον ἂν εἴη. Ἄλλως· Ἀλλὰ Δωρίαν.] Ὅτι Δωριστὶ συντέτακται ὁ ἐπινίκιος· περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστι· παρασάλου δέ, ὅτι ἐπὶ παρασάλων ἔκειντο αἱ κιθάραι· καὶ Ὅμηρος· Παρασάλῳ ἀγκρεμάσας. (Ὀδυσ. α, 440. Βουλγ. ἐγκρεμάσας.) διὰ τὸ ἑτοίμους εἶναι ἀναλαβεῖν, ἢ ὅτι ὡς ἀνάθημα ἔν τινι τόπῳ τοῦ οἴκου ἀνάκεινται.

28. Πίσας τε.] Τὸ Πίσας τε συσταλτέον διὰ τὸ ἀντίστροφον· οὕτω δὲ οἱ περὶ Πίνδαρον καὶ Σιμωνίδην· περὶ δὲ τῆς Πίσης ὅτι ὁ τόπος ἐν Ἤλιδι ὑπὸ ὑψηλῶν ὄχθων περιεχόμενος, Πολέμων φησίν· ἔνιοι δὲ ὑποσυγχέουσι τὴν Πίσαν καὶ τὴν Ἦλιν, οὐκ ὀρθῶς δέ· διέστηκε γὰρ ἀπ' ἀλλήλων τὰ χωρία σταδίοις πεντήκοντα· ὠνόμασται δὲ Πίσα ἀπὸ τῆς Πίσης τῆς Ἐνδυμίωνος θυγατρός. Ἀναλάμβανε, ὦ Πίνδαρε, τὴν Δωρίαν φόρμιγγα, καὶ ὕμνει τὸν Φερένικον [ἵππον τοῦ Ἱέρωνος, καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτων χάρις τὸν νοῦν ἠῦφρανεν. Ἄλλως· εἴ τινά σοι ἡ Πίσα καὶ Φερένικος νικήσας παρέσχε λόγων εὐπορίαν.

29. Φερενίκου.] Ὄνομα τοῦ νικήσαντος ἵππου· ὁ δὲ νοῦς· εἴτι σοι, ὦ Θυμὲ ἡ τοῦ ἵππου καὶ τῆς Πίσης χάρις τὸν νοῦν

ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν· χάρις δὲ ἐπὶ τῇ νίκῃ ἡδονὴ· φροντίδα δὲ λέγει τοῦ ἐπινικίου τὴν σκέψιν. — Πρὸς τὴν ἑαυτοῦ πάλιν ψυχὴν ἀποτείνει τὸν λόγον· ἀλλὰ τὴν τοῖς Δωρίοις μέλεσιν ἁρμόζουσαν φόρμιγγα ἀπὸ πασσάλου λάμβανε καὶ μὴ ἀργῶς αὐτὴν ἔα κεῖσθαι· ἀλλὰ λάμβανε καὶ κίνει πρὸς τοὺς ἐπαίνους, εἴ σοι κατά τι τὸν νοῦν ὑπὸ γλυκυτάταις ἐποίησε φροντίσιν, ἤγουν τὴν γλυκυτάτην φροντίδα, τῶν ἐγκωμίων ὀνονάτι, φροντίζειν ἐποίησε, τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ καὶ τῆς ἀρετῆς τοῦ ἵππου τοῦ Φερενίκου· ὅτε αὐτὸς ὁ Φερένικος σύτο ἤγουν ἐσεύετο, ἔτρεχε, πλησίον τοῦ Ἀλφειοῦ ποταμοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, τὸ ἑαυτοῦ σῶμα διδοὺς ἐν τοῖς δρόμοις μὴ δεόμενον κέντρου· τῇ νίκῃ δὲ ἤνωσε, τουτέστι νικῆσαι ἐποίησε, τὸν ἑαυτοῦ δεσπότην Ἱέρωνα τὸν βασιλέα τὸν τῇ ἱππικῇ χαίροντα· διάδηλον δέ ἐστιν αὐτοῦ κλέος, ἤγουν τοῦ Ἱέρωνος, παρὰ τῇ ἀποικίᾳ τοῦ Πέλοπος τοῦ Λυδοῦ, ἤγουν ἣν ἀποικισθεὶς ὁ Πέλοψ τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας ὤκησε, τουτέστι τῇ Πελοποννήσῳ, τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν.

32. Ὅτε παρ' Ἀλφεῷ.] Ἐν Ἤλιδι· ὁ γὰρ Ἀλφειὸς ἐν Ἀρκαδίᾳ τὰς πηγὰς ἔχει, καὶ ἀπ' αὐτῶν ἀρχόμενος περιῤῥεῖ καὶ τὴν Ἦλιν· τὸ δὲ σύτο δέμας, ὥρμα πρὸς τὸν δρόμον. — Σύτο.] Ἔτρεχεν.

33. Ἀκέντητον.] Ἀμάστικτον αὐτοῦ τῷ κατὰ φύσιν τάχει τὸ σῶμα κατὰ τὸν ἀγῶνα διαφυλάξας· ἐκ δὲ τούτου τὸ ταχὺ καὶ πρόθυμον τοῦ ἵππου δηλοῖ· καὶ παρὰ τῷ Ὁμήρῳ (Ἰλιάδ. ψ, 387.) Ἄνευ κέντροιο θέουσαι· ἔσυτο δὲ οὕτως ὥρμησεν ὡς μὴ δεῖσθαι κέντρου καὶ μάστιγος. Κράτει δὲ ἀντὶ τοῦ τῇ νίκῃ· ὁ δὲ νοῦς· ὁ δὲ Φερένικος ταχύνας ἑαυτὸν κατὰ τὸν ἀγῶνα, τῇ νίκῃ προσέμιξε τὸν ἑαυτοῦ δεσπότην Ἱέρωνα. Ἱπποχάρμαν δὲ τὸν τῇ ἱππικῇ χαίροντά φησι· καλῶς δὲ τὸ ἐπίθετον τῷ βασιλεῖ, διὰ τὸ ἱπποτροφεῖν, ἵνα δείξῃ, ὅτι οὐ τύχης γέγονεν ἔργον τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ' ἐπιστήμης καὶ τῆς περὶ τὸ πρᾶγμα ἐπιμελείας· ἔνιοι δὲ ἀναγινώσκουσι παροξύνοντες τὴν παραλήγουσαν συλλαβὴν τῶν Συρακουσίων καὶ τὴν ἐσχάτην τοῦ ἱπποχάρμαν περισπῶσιν, ἵν' ᾖ τῶν Συρακουσίων ἱπποχαρμῶν· τὸν γὰρ Ἱέρωνα οὐκ εἶναι Συρακούσιον ὅτε ἐνίκα· κτίσαντα γὰρ αὐτὸν τὴν Κατάνην καὶ προσαγορεύσαντα Αἴτναν ἀπ' αὐτῆς Αἰτναῖον λέγουσιν αὐτόν· εὐήθεις φησὶ Δίδυμος τούτους· τότε γὰρ ὁ Ἱέρων ἦν Συρακούσιος, καὶ

οὐδὲ ἦν Αἰτναῖος, ὡς φησιν Ἀπολλόδωρος· ὁ δὲ Ἀριστόνικος ἀξιοπίστως, Αἰτναῖον ὄντα Συρακούσιον ὀνομάζεσθαι.

37. Οἱ.] Αὐτῷ, ἤτοι τῷ ἵππῳ ἢ τῷ ἱερωνι, ὃ καὶ βέλτιον. — Εὐάνορι.] Ἐν τῇ εὐάνορος ἀποικίᾳ τοῦ Πέλοπος, τουτέστιν ἐν τῇ Πελοποννήσῳ· γράφεται καὶ ἐποικίᾳ, ταυτὸν δὲ δι' ἀμφοτέρων· ἀποικίαν δὲ, οὐχ ἣν αὐτὸς ἔστειλεν, ἀλλ' ἣν αὐτὸς ἐστείλατο· τινὲς δὲ εὐάνορι, δοτικὴν ἀντὶ γενικῆς, τοῦ εὐάνορος· ἐξ ἀνδρείας γὰρ νικήσας ἔσχε τὴν Ἥλιν. — Εὐάνορι.] Τῇ εὐδαίμονας ἐργαζομένῃ τοὺς ἄνδρας διὰ τὰς ἐν Ὀλυμπίᾳ νίκας, ἢ τῇ ἐχούσῃ καλοὺς ἄνδρας καὶ ἀνδρείους. — Λυδοῦ Πέλοπος.] Πίνδαρος τὸν Πέλοπα Λυδὸν φησιν εἶναι. Ἴστρος δὲ Παρλαγόνα, Αὐτεσίων Ἀχαιὸν ἀπ' Ὀλένου πόλεως, ἧς καὶ Ὅμηρος (Ἰλιάδ. β, 639.) μνημονεύει. Καὶ Ξενοφῶν ἠδὲ Πυλήνην λόγος τις τοῖς ἱστορικοῖς ἐπὶ τὸ μυθικώτερον πέπλασται, ὡς οἱ Θεοὶ ἐπὶ Ἐτπίαν ἐκάλεσαν τὸν Τάνταλον εἰς ἔρανον, ὅ ἐστι τὴν εὐωχίαν παρασκευάσαντες· ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῷ τοῦ ἐράνου τρόπῳ ἀντεισφέρειν τοῖς Θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ ἄπορον ἔσχε· διακόψας γὰρ τὸν Πέλοπα ἐγκαθῆκε λέβητι καὶ ἑψήσας τοῖς θεοῖς παρέθηκε· μόνην δὲ τὴν Δήμητραν τῶν κρεῶν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι, τινὲς δὲ τὴν Θέτιδα· γνωρίσαντα δὲ τὸν Δία Ἑρμῆ προστάξαι ἐγκαθεῖναι πάλιν λέβητι τὰ κρέα καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι· ὁ δὲ Βακχυλίδης τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι καθεῖσαν διὰ τοῦ λέβητος· [τοῦ δευτέρου ἀκουστέον·] ἀφ' οὗ καὶ ὑγιὴς ἀνεδόθη. Ἄλλως· λέγεται τῆς Δήμητρος ἀπογευσαμένης τῶν τοῦ Πέλωπος ὠμείων κρεῶν ἐλεφάντινον Ἑρμῆν ὦμον προσαρμόσαι τῷ Πέλοπι· τούτου φασὶ καὶ ὑπόμνημα τοὺς Πελοπίδας φέρειν λευκότητά τινα κατὰ τὸν ὦμον· τὸ ἐπὶ τοῦ ὤμου τοῦ Πέλοπος οἱ μὲν λευκὸν ὡς διὰ τὸν ἐλέφαντα ἔφασαν, οἱ δὲ λόγχην ἐπὶ τὸν βραχίονα, οἱ δὲ ἐπὶ τὸν ἀριστερὸν βραχίονα Γοργόνα, οἱ δὲ ἐπὶ τῆς ὠμοπλάτης τρίαιναν μαρτυροῦσαν αὐτῷ τοῦ Ποσειδῶνος ἔρωτι.

38. Μεγασθενής.] Μεγαλοδύναμος· ἰσχυρότατος. — Οὗ μεγασθενής.] Οὗτινος, τοῦ Πέλοπος δηλονότι, ἔρωτα ἔσχεν ὁ Ποσειδῶν, ὁ μεγάλην ἔχων ἰσχύν, ὁ τὴν γῆν συνέχων· ἐπεὶ γὰρ ἐπ' αὐτῷ ἐστι τὸ κινεῖν αὐτὴν, ἐπ' αὐτῷ δηλονότι ἐστὶ καὶ τὸ μὴ κινεῖν· διὸ οὐ μόνον Ἐνοσίχθων, ἀλλὰ καὶ Ἀσφάλιος καὶ Γαιήοχος ὁ αὐτός· ἠράσθη δὲ αὐτοῦ,

ἀρ' οὗ ἐξήνεγκεν αὐτὸν τοῦ ἱεροῦ, διὰ τὴν θυσίαν, λέβητος ἡ Κλωθὼ, ἐλεφαντίνῳ ὀστῷ λαμπρὸν ἔχοντα τὸν ὦμον. † Μεγασθενὴς· τὰ παρὰ τὸ σθένος καὶ γένος ὀνόματα σύνθετα κύρια μὲν ὄντα παροξύνεται· οἷον Δημοσθένης, Ἀντισθένης, Διογένης, Θεογένης· ἐπίθετα δὲ ὀξύνονται· οἷον μεγασθενὴς, ἀσθενὴς, μονογενὴς, εὐγενὴς· κατὰ ταυτὰ καὶ Ἀριστοφάνης καὶ Μητροφάνης παροξύνεται κύρια ὄντα· ἀφανὴς δὲ καὶ προφανὴς καὶ διαφανὴς ὀξύνεται· ἐπιθετικῶς λεγόμενα· ὧν τὰ μὲν κύρια ἀπὸ τοῦ φαίνειν γίνεται, τὰ δὲ ἐπίθετα ἀπὸ τοῦ φαίνεσθαι· τὰ δὲ εἰς ος ἀπὸ τοῦ φαίνεσθαι πάντα προπαροξύνεται, εἴτε κύριά εἰσιν εἴτ' ἐπίθετα, οἷον ἄφαντος, πρόφαντος, Διόφαντος. Ἱστορία. Τάνταλος τιμώμενος πάνυ παρὰ θεοῖς καὶ βουλόμενος αὐτοὺς ἀντιμείψασθαι σφάττει τὸν ἑαυτοῦ παῖδα Πέλοπα, καὶ δεῖπνον παρατίθησι τοῖς θεοῖς· τῶν ἄλλων οὖν θεῶν ἀποδεξαμένων αὐτὸν τῆς γνώμης καὶ μὴ φαγόντων. Δημήτηρ ἐλθοῦσα ἐκ τῆς συγατρὸς ζητήσεως καὶ ἀγνοοῦσα τὸν ὦμον κατέβρωξεν· ἐμβαλόντες οὖν αὐτὸν οἱ θεοὶ εἰς λέβητα καὶ ὁλόκληρον αὖθις συμπήξαντες, ἐπεὶ ὁ ὦμος ἀπῆν ἐλεφάντινον ἀντέθηκαν· διὸ καὶ οἱ ἀπὸ Πέλοπος καταγόμενοι τοιοῦτον εἶχον τὸν ὦμον· τὴν Κλωθὼ λέγει ἐξελεῖν αὐτὸν ἐκ τοῦ λέβητος, διότι συγκεκλωσμένον ἦν αὐτῷ παρὰ τῆς τύχης αὖθις ἀναζωσθῆναι, ὃ μὴ δεχόμενος ὁ Πίνδαρος ἐλίγξει μὲν προιὼν, νῦν δέ φησιν· ἡ Θαῦμα τὰ πολλὰ· ὅπερ τριπλῶς νόει οὖτος· ὄντως Θαῦμα ὑπάρχουσι τὰ πολλὰ ὄντως πολὺ θαύματα εἰσὶν· ὄντως Θαυμαστὰ καὶ Θαυμαστά εἰσι τὰ πολλὰ.

40 Καθαροῦ λέβητος.] Ἐν ᾧ συνετίθετο ὁ Πέλοψ, ἀρ' οὗ καὶ ὑγιὴς ἐγένετο· ὅτε τῆς Δήμητρος τὸν ὠμοπλάτην αὐτοῦ φαγούσης κατ' ἄγνοιαν ἐλεφάντινος ὦμος ἐτέθη αὐτῷ ὑπ' αὐτῆς. — Ἐπεί νιν καθαροῦ λέβητος.] Οἷον ἀρ' οὗ αὐτόν. οἱ δὲ, ἐπειδὴ αὐτόν. Κλωθὼ δὲ μία τῶν Μοιρῶν· εἴρηται δὲ παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ πεπρωμένον. — † Φαίδιμον ὦμον.] Περιττῶς κεῖται τὸ φαίδιμον· ἢ τὸ κεκαδμένον ἀντὶ τοῦ ἔχοντα· σύνηθες δὲ τούτοις τὸ τοιοῦτον.

43. Ἢ Θαύματα πολλά.] Ἄπιστον εἶναι βούλεται τὸν τῆς ἱστορίας λόγον Πίνδαρος, ὅτι ἐχρεουργήθη ὁ Πέλοψ· ὁ δὲ ἢ βεβαιωτικός· τινὲς δὲ ὀξυτόνως ἀναγινώσκουσιν ὡς κατὰ ἀποβολὴν τοῦ ς, ἵν' ᾖ Θαυμαστὰ ἔργα· ὡς καὶ Ἡσίοδος· Θαυμαστὰ ἔργα· ἔνιοι δὲ παράδοξα ἤκουσαν. — Θαῦμα τά.] Ὄντως ἄξια θαύματος ταῦτα κατὰ πολύ. — † Ἢ Θαῦμα

τά.] Ὄντως ἔκπληξις τὰ πλείω τῶν πραγμάτων καὶ που κατά τι παρασύρουσιν ἔξω τοῦ ἀληθοῦς λόγου τὰς φρένας τῶν ἀνθρώπων καὶ λόγοι ψεύδεσι ποικίλοις πεποικιλμένοι· ἡ ἐπαγωγὸς δὲ δύναμίς ἐστι τῶν ποιητικῶν δηλονότι λόγων· τῇ ποιητικῇ γὰρ ἐρεῖται τὰ τοιαῦτα· ἥτις ἅπαντα πρὸς τοὺς ἀνθρώπους παρασκευάζει τὰ μείλιχα, τὰ εὐπαράδεκτα, τὰ ἡδέα, ἐπιτιθεῖτα αὐτοῖς τιμὴν, ἀντὶ τοῦ δύναμιν αἰδοῦς καὶ τῆς τιμῆς ἀξίαν· ἡ ἐπιφέρουσα τιμὴν ἑαυτῇ δηλονότι· καὶ τὸ ἄπιστον ἀπὸ τῆς ἑαυτῆς φύσεως ἐμηχανήσατο πολλάκις πιστὸν τοῦτο εἶναι, ἀντὶ τοῦ δοκεῖν· αἱ ἡμέραι δὲ αἱ ἔμπροσθεν γίνονται ἔλεγχοι σοφώτατοι τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους· ἔστι δὲ πρέπον τῷ ἀνθρώπῳ εἰπεῖν περὶ τῶν Θεῶν καλὰ, τουτέστι λόγους ἀγαθὴν δόξαν ἔχοντας· ἐλάττων γὰρ οὕτω μέμψις, ἀντὶ τοῦ εὐδεμία· ἀλλὰ καὶ ἔπαινος μᾶλλον· μὴ συνάψῃς τὸ θνατοῖς πρὸς τὸ τεύχει, ὡς τινες οἴονται, ἀλλὰ πρὸς τὸ ἐπιφέρουσα, οὕτως· ἐπὶ τοῖς θνατοῖς φέρουσα τιμὰν, ἥτοι παρ' αὐτῶν τιμωμένη· τὸ γὰρ ἐν ἀνθρώποις φέρειν τιμὴν, τιμᾶσθαί ἐστι.

44. Καί πού τι καί.] Καὶ δὴ οἱ λόγοι εἰσὶ τῶν ἀνθρώπων, φησὶν, οἵτινες ποικίλων λόγων τεχνάσματιν εἰς τὸ ἀπατῆσαι τοὺς ἀκούοντας πεποικιλμένοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἐξαπατᾷν δύνανται· ἔνιοι δὲ φάτιν, ἀντὶ τοῦ τὰς φρένας τῶν ἀνθρώπων ἀπατῶσιν οἱ ψευδεῖς λόγοι. Ἄλλως· ἡ τῆς ποιητικῆς, φησὶ, χάρις καὶ τὰ ἄπιστα ποιεῖ πιστά. Ἄλλως· οἱ μῦθοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἰσχύουσι καὶ ἐξαπατῶσι τοὺς δεδαιδαλμένοις ψεύδεσι καὶ ποικίλοις· πολλὰ γὰρ ἀληθῆ νομίζεται ἐκ τῆς φήμης, ὅτε τὸ ψεῦδος προσλάβῃ.

48. Χάρις δ' ἄπερ.] Ἡ δὲ χάρις τῆς ποιητικῆς γραφῆς καὶ τῆς κατὰ τὸν μῦθον ποικιλίας τε καὶ ψυχαγωγίας, ἥτις καὶ τοῖς ἀνθρώποις ἅπαντα εἶναι ἡδέα τὰ πράγματα παρασκευάζει, τὴν παρ' ἑαυτῆς τιμὴν καὶ χάριν ἐπιφέρουσα πολλάκις καὶ τὸ ἄπιστον πιστὸν νομισθῆναι παρεσκεύασεν. Ἄλλως· τὸ ποίημα τὸ πεπλασμένον διαδεχθὲν ὑπὸ πολλῶν πιστὸν ἐγένετο. — Τεύχει.] Κατασκευάζει ἡ ποιητικὴ χάρις.

52. Τὸ πολλάκις.] Τὸ τὸ οὖκ ἔστι κατὰ ἀντιστροφὴν πρὸς τὸ ἄπιστον, ὡς οἴονταί τινες, ἀλλ' εἰπὼν Καὶ ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι, ἐπιφέρει καὶ τὸ, καὶ τοῦτο ὁ ποιοῦσι· καὶ ἔστιν ὅμοιον τῷ παρὰ Σοφοκλεῖ· (Αἴ. 46.) Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει· εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ τοιαῦτα.

53. Ἀμέραι δ' ἐπίλοιποι.] Ὁ δὲ χρόνος, φησί, καὶ τὴν ἀλήθειαν προϊὼν ἀπογυμνοῖ, ἀξιόπιστος ἔλεγχος· καὶ Δημοσθένης, (Ὀλυνθ. Β. σλ. 21.) Τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὐτὰ καταῤῥεῖ. — Ἐπίλοιποι.] Αἱ ἑξῆς.

55. Ἐστι δ' ἀνδρί.] Ἐοικὸς δέ ἐστι καὶ πρόσηκον ἀνθρώπῳ τὰ καλὰ περὶ τῶν Θεῶν λέγειν· ἐλάττων γὰρ αἰτία· διὰ δὲ τούτου εὐσεβὴς τὸ ἦθος χαρακτηρίζει, ὡς ὅτι δεῖ μηδόλως ἐγκαθιέναι τινὰ εἰς τὸν περὶ τῶν Θεῶν λόγον· ἔνιοι δὲ μείων, ἀντὶ τοῦ οὐδὲ ὀλίγη· ὡς Ὅμηρος. Ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Πηλεύς. (Ἰλιάδ. ε, 800.) ἀντὶ τοῦ, οὐδὲ ὀλίγον· ἵν' ᾖ οὐδὲ ὀλίγην εἶναι αἰτίαν τῷ καλὰ λέγοντι περὶ Θεῶν. Ἄλλως· ἔστι δὲ εἰκὸς ἀνθρώπῳ εὔφημα περὶ Θεῶν λέγειν καὶ μὴ βλασφημοῦντα λέγειν αὐτοὺς ἀνθρωποφάγους καὶ γαστριμάργους.

58. Γιὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων.] Ἐγὼ σέ σε, ὦ Πέλοψ ἐναντία ταῖς τῶν προτέρων δόξαις ἐγκωμιάσω· ἀντὶ τοῦ ἐναντία καὶ ἕτερα οἷς εἶπον οἱ πρότεροι ποιηταί, δοξάσω σε καὶ ἐρῶ· οἱ μὲν γάρ σε ἔθεντο τεθνεῶτα· ἐγὼ δὲ κλαπέντα. Ἄλλως· γράφω εἰς σὲ παλινῳδίαν καὶ ἐναντία τοῖς λέγουσί σε κρεανομεῖσθαι. — Γιὲ Ταντάλου]. Ὦ Πέλοψ υἱὲ Ταντάλου, τὰ περὶ σοῦ δὲ ἐγὼ ἐναντίως τῶν προτέρων ἐρῶ ποιητῶν, ὁπότε ἐκάλεσεν ὁ σὸς πατὴρ τοὺς Θεοὺς εἰς τὴν προπρὶλὴ αὐτῷ Σίπυλον, οἳ αὐτὸν καὶ τὸν εὐσεβέστατον ἔρανον, ἤγουν τὴν ἀμοιβαίαν δεξίωσιν, λέγω δεῖπνα διδοὺς αὐτοῖς ἀμοιβὴν ἔχοντα τῶν δείπνων, ὧν αὐτοὶ δεδώκασιν αὐτῷ· τότε λέγω ἁρπᾶσαί σε τὸν Ποσειδῶνα, τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον, μαλαχθέντα τὸν λογισμὸν ὑπὸ ἔρωτος, ἐπὶ ἵπποις χρυσοῖς, ἀντὶ τοῦ ἅρματι χρυσῷ, ὥστε μεταβιβάσαι πρὸς τὸ ἔξοχον οἴκημα τοῦ Διὸς τοῦ πάνυ τιμίου.

60. Ὁπότ' ἐκάλεσε πατήρ.] Ἀσαφὴς δοκεῖ ὁ λόγος οὐκ ἔχων, τίνα ἐκάλεσεν ὁ Τάνταλος· τὸ ἐπαγόμενον δὲ λύει τὴν αὐτοῦ ἀσάφειαν· ἐπάγεται γάρ, Ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων· ἀφ' οὗ δῆλον γίνεται, ὅτι τοὺς Θεοὺς ἐκάλεσεν· εἶχε δ' ἂν σαφέστερον, εἰ οὕτως ἂν ἐλέγετο· ὁπότ' ἐκάλεσε πατὴρ τοὺς Θεούς, ἀμοιβαῖα αὐτοῖς δεῖπνα παρέχων· ἐλλειπτικὸν δὲ δοκεῖ εἶναι πρὸς τὴν σύνταξιν τὸ ὅλον χωρίον καὶ ληπτέον ἔξωθεν τὸ ᾄδεται.

61. Εὐνομώτατον.] Δικαιότατον· ἐπεὶ ἀντίδοσις ἦν ὧν ὑπὸ Θεῶν ἀγαθῶν ἔπαθεν· ἢ τοῦτο λέγει διὰ τὸ τοὺς Θεοὺς ἐ-

στιάτορας εἶναι· τὸ δὲ πᾶν ἔχει οὕτως· ὦ υἱὲ τοῦ Ταντάλου, Πέλοψ· εἶτα προκατάστασιν ἐπάγει τοῦ λόγου ἀντία δὲ καὶ ἐναντίως τῶν προτέρων ἱστορικῶν καὶ ποιητῶν φθέγξομαι καὶ εἴπω ἁρπάσαι σε τὸν ἀγλαοτρίαιναν Ποσειδῶνα ἀνὰ ταῖς χρυσέαις ἵπποις δαμέντα καὶ τρωθέντα τὰς ῥῖνας ἱμέρῳ καὶ τῇ σῇ ἐπιθυμίᾳ, ὥστε μεταβιβάσαι καὶ μετενεγκεῖν πρὸς τὸ ὕπατον καὶ τὸ ἐξεχώτατον δῶμα τοῦ Διὸς τοῦ εὐρυτίμου, ὅτε ἐκάλεσε καὶ συνήγαγεν ὁ σὸς πατὴρ Τάνταλος, τοὺς Θεοὺς ὀνομάζοντι, εἰς τὸν εὐνομώτατον καὶ δικαιότατον ἔρανον, καὶ εἰς τὴν φίλην καὶ προσφιλῆ αὐτῷ τῶν Ταντάλῳ, Σίπυλον· ἤτοι τὸ ὄρος ἐν ᾧ κατῴκει.

62. †Ἔρανος.] Τὸ εἰσφερόμενον ὑφ' ἑκάστου τῶν φίλων εἰς κοινὴν ἀπόλαυσιν. — Σιπίλον.] Οἱ μὲν πόλεως ὄνομα, οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν, ὅθεν ὁ Πέλοψ.

66. Χρυσέαισιν] Ἀντὶ τοῦ ἐπὶ χρυσῶν ἵππων μεταβιβάσας, μεταγαγών.

68. Ποτὶ δῶμα Διός] Καθ' ὑπερβατὸν νοείσθω. Γανυμήδης γὰρ πρεσβύτερος Πέλοπος καὶ ἔστιν τὸ ὑπερβατὸν οὕτω. Διὸς δῶμα μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦν καὶ Γανυμήδης· ἔξωθεν τὸ πρότερος προσληπτέον.

69. Ἔνθα δευτέρῳ χρόνῳ] Δευτέρῳ ἀντὶ τοῦ ὑστέρῳ· προτέρῳ δὲ ἐχρῆν εἰπεῖν· πρεσβύτερος γὰρ Γανυμήδης Πέλοπος, ὃς ἔστιν ἐκ τῶν ἐπιγόνων τεμηράσθαι· Ἕκτωρ γὰρ καὶ Ἀγαμέμνων, Ἀτρεὺς καὶ Πρίαμος, Πέλοψ καὶ Λαομέδων· καὶ πάλιν Λαομέδων, οὗ Πρίαμος, οὗ Ἕκτωρ. Πέλοπος δὲ Ἀτρεὺς, οὗ Ἀγαμέμνων ὁ κατὰ τὸν Ἕκτορα προανήρπαστο οὖν Γανυμήδης Πέλοπος καθ' ὑπερβατὸν· οὖν αὐτὸ ἀκουστέον, ὅπως ἐπὶ τοῦ Πέλοπος λέγηται οὕτως· ὁπότ' ἐκάλεσε πατὴρ ἐπὶ τὸν εὐνομώτατον ἔρανον φίλου τε Σίπυλον, τότε Ἀγλαοτρίαιναν μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦλθε καὶ Γανυμήδης. — Δευτέρῳ χρόνῳ.] Ἔνθα ἀπῆλθεν, ἀντὶ τοῦ ἀπηνέχθη καὶ ὁ Γανυμήδης, πρότερον ὀνομάζοντι, ἐπὶ χρείαν τοῦ Διὸς, τὴν αὐτὴν τὴν τοῦ Ποσειδῶνος.

71. Ζηνί τωὔτ'.] Διὰ τὴν αὐτὴν χρείαν καὶ ἐπιθυμίαν.

72. Ὡς δ' ἅπαντος ἔπελες.] Ὡς δὲ ἀφανὴς ἐγένου, καὶ οἱ ζητοῦντές σε κενοὶ καὶ ἄπρακτοι ὑπέστρεψαν, μὴ ἀγαγόντες σε τῇ μητρὶ, Εὐρυνάσσῃ τὸ ὄνομα, οἱ γείτονες διὰ δεδώκασιν, ὑπὸ τοῦ πατρός σε κατακεκρύφθαι τοῖς Θεοῖς εἰς εὐωχίαν, ψευδῆ λέγοντες. — Ὡς δ' ἅπαντος ἔπελες.] Ἔπε δὲ ἀφανὴς ὑπῆρχες, οὐδὲ πρὸς τὴν μητέρα τὴν σὴν ἦγα

γέν σε οἱ πεμφθέντες ὑπ' αὐτῆς ἄνδρες ἐπὶ σὴν ζήτησιν, πολλὰ μαιόμενοι, ἦγουν ζητοῦντες, εἰπέ τις αὐτίκα ἀπὸ τῶν φθονερῶν γειτόνων κρυφίως, ὅτι τε ἐπὶ τὴν ἀκμὴν τοῦ ὕδατος τὴν ζέουσαν ὑπὲρ τοῦ πυρὸς, μαχαίρᾳ ταμόντες σε κατὰ μέλη οἱ περὶ τὸν Τάνταλον ἐμβεβλήκασι, καὶ ἐν τῇ τραπέζῃ οἱ Θεοὶ διεμερήσαντο εἰς μικρότατα, καὶ ἔφαγον ἀπὸ τῶν κρεῶν τῶν σῶν.

75. Κρυφᾷ.] Δωρικῶς ἀντὶ τοῦ κρύφα· ἁρπαγῆναι δέ φησι Πέλοπα ὑπὸ Ποσειδῶνος, εἶτα ἕνα τῶν γειτόνων φθονοῦντα διασκευάσαι τοῦτον τὸν μῦθον, ὡς ἐκρεουργήθη.

78. Ζέοισαν ἐπ' ἀκμάν.] Ἀντὶ τοῦ εἰς ὕδωρ ἀκμαίως ζέον, εἰς θερμὸν, κατὰ μέλη ταμόντες ἐμβεβλήκασι, καὶ τὸ τελευταῖον ἐν ταῖς τραπέζαις παραθέντες καὶ μερίδας ποιήσαντες βεβρώκασιν. Ἄλλως ζέοισαν, τὴν ζέσιν τοῦ ὕδατος· ἐπεὶ τὴν αὐτὴν δύναμιν ἔχει τῷ σιδήρῳ τὸ πῦρ.

79. Μαχαίρα τάμον.] Οἱ Ταντάλου δορυφόροι ἔταμον τῇ μαχαίρᾳ, καὶ μέρος ἑκάστῳ τῶν Θεῶν μέλος ἀποδιδόντες ἐν τῇ τραπέζῃ ἔθηκαν· καὶ ἔφαγον δεύτατα ὄντα τῷ σώματι, τουτέστι μετὰ τὸ σῶμα μέλη δεύτερα φαγεῖν ἔθηκαν, χεῖρας, πόδας καὶ τὴν κεφαλήν. Ἄλλως· δεύτατα ἢ τὰ ἔσχατα, ἢ τὰ βεβρεγμένα τῷ αἵματι.

80. † Ἀμφιδεύτατα.] Ἀπὸ τῆς πρὸ προθέσεως γίνεται συγκριτικὸν μὲν πρότερον, ὑπερθετικὸν δὲ πρῶτον· λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἐν μόνον ἐπάγηται, ἢ πολλὰ ἐν μιᾷ τάξει ἢ ἐν ἑνὶ χρόνῳ· οἷον πρότερος ὅδε τοῦδε, καὶ πρότερος ὁ δεῖνα ἡμῶν, ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν ἑκλονίστι ἐν ἑνὶ χρόνῳ ἢ μιᾷ τάξει ὄντων· τὸ δὲ ἁ, ὅταν πολλὰ ἢ ἐπαγόμενα, ἄλλου ἄλλο πρότερον ἐρεῖξῃς, ἢ κρεῖττον· ἀκολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον τὸ β' μόνον, ἢ πληθυντικῶς τὰ β', κατὰ τὸν εἰρημένον λόγον· πρὸς δὲ τὸ ἁ δεύτερον γ', καὶ ἑξῆς· ἀπὸ δὲ τῆς ὑπὸ προθέτεως γίνεται συγκριτικὸν μὲν ὕστερον, ὑπερθετικὸν δὲ ὕστατον· ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον, τὸ δὲ ὕστατον πρὸς τὸ πρῶτον, ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται· ἐπὶ γὰρ τάξεως τὸ ἔσχατον ἀπαντᾷ καὶ τὸ δεύτερον, ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται καὶ ἐπὶ τάξεως· ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικὰ, τὸ πρῶτον καὶ τὸ ὕστατον, τὸ μὲν ἐπὶ τῆς ἀρχῆς, τὸ δὲ ἐπὶ τέλους, καὶ δύο ὁμοίως τάξεως τὸ πρῶτον καὶ τὸ ἔσχατον· τῶν δὲ μέσων τούτων μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται· ἐπὶ δὲ

τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν οὔτε τὸ συγκριτικὸν οὔτε τὸ ὑπερθετικόν· ὁ δὲ Πίνδαρος καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον· θέλει δὲ τοῦτο σημαίνειν ταὐτὸν τὸ ὕστατον· ὁ δὲ ἐπὶ σμικρότητος τοῦτο τίθησι· διεδάσαντο γὰρ φησίν, ἀμφὶ δεύτατα, ἤγουν εἰς μικρότατα· τὸ δὲ τρίτατος παρὰ ποιηταῖς οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται, ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος, ἃ κατὰ ἀκολουθίαν λέγεται τοῦ τέταρτος καὶ δέκατος καὶ πεντεκαιδέκατος καὶ τῶν ὁμοίων.

82. † Ἔμοι δ' ἄπορα] Ἀντὶ τοῦ ἄπορον, τουτέστιν ὑπ' οὐδενὸς λογισμοῦ ἐνδεδομένον, εἰπεῖν τινα ἀπὸ τῶν Θεῶν μάργον τὴν γαστέρα, ἤγουν μαινόμενον, τοῦτεστι ἀκρατῆ τῆς γαστρός· ἀφίσταμαι τούτου τοῦ σκοποῦ· βλάβη γὰρ ἐλληρώσατο κατὰ πολὺ τοὺς κατηγόρους, τουτέστι τοὺς βλασφημοῦντας εἰς τοὺς Θεούς, ἤγουν βλάβην κληρονομοῦσιν οἱ βλασφημοῦντες εἰς τοὺς Θεούς.

84. Ἀφίσταμαι.] Μακρὰν καὶ πόρρω γίνομαι τοῦ τοιαῦτα περὶ Θεῶν λέγειν· τοῦ δὲ ἀκέρδεια ὁ νοῦς· ἀκέρδεια εἴληχε τοὺς κατηγόρους, ὅπερ ἐστὶν, οἱ κατήγοροι τῶν ἀνθρώπων πυκνῶς ἐν ἀκερδείᾳ εἰσίν. Ἢ οὕτως· οἱ κακήγοροι οὐδὲν λελόγχασιν ἢ ἀκέρδειαν· οἷον, οὐδὲν κερδαίνουσι κακηγοροῦντες· τινὲς δὲ τῇ ἐκλείψει τοῦ υ ἐχρήσαντο κακηγόρους δὲ λέγει τοὺς ἀσεβεῖς καὶ βλασφήμους. Ἄλλως· Τοὺς κακηγόρους ἀκέρδεια καὶ βλάβη ἐκλήρωσεν· ἀκέρδεια δέ ἐστιν ἡ κακηγορία καὶ ἡ βλάβη, ἢ τοὺς κακηγόρους περιέχει· τοῦ δὲ κοκηγόρος Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς κατ' ἀφαίρεσιν τοῦ υ προφέρεται διὰ μόνου τοῦ ο. — Κακηγόρως.] Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς διὰ τοῦ ω μεγάλου ἐκφέρεται· τὸ ρος, ὡς τισιν ἔδοξε· μακρὰ γὰρ ἡ τοιαύτη συλλαβὴ ὀφείλει εἶναι. — Κακηγόρως.] Τοῦτο λέγει ὅτι ὁ κακηγορῶν οὐδὲν ἄλλο κερδίζει πλὴν τοῦ κακῶς εἶναι.

85. Εἰ δὲ δή τινα.] Εἰ δὲ δή τινα ἄνδρα ἄλλον οἱ Θεοὶ ἐτίμησαν καὶ μάλιστα τὸν Τάνταλον. — Εἰ δέ τινα ἄνδρα] Ἐὰν δὲ ἐτίμησάν τινα ἄνθρωπον θνητὸν οἱ ἔφοροι τοῦ οὐρανοῦ, τουτέστιν οἱ Θεοί, ὁ Τάνταλος ἦν οὗτος· ἀλλ' οὐκ ἐδυνήθη καταπέψαι τὴν μεγάλην ταύτην εὐδαιμονίαν, ἀντὶ τοῦ δι σικῆσαι ἐπ' ὠφελείᾳ ἑαυτοῦ, ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ στομάχῳ σιτίων, ἃ περθέντα μὲν ὀνίνησι τοὺς μετα-

λαμβάνοντας αὐτῶν, ἅπεπτα δὲ μείναντα τοῦ στομάχου μὴ δυνηθέντος κατεργάσασθαι αὐτὰ βλάβην οἷδεν ἐπάγειν· ὑπὸ τοῦ κόρου δὲ, ἤγουν τοῦ ὄγκου τῆς τιμῆς ἔλαβε βλάβη ὑπερβολικὴν ἁμαρτὼν εἰς τοὺς Θεούς· διὸ ἦν ὁ πατὴρ αὐτοῦ ὁ Ζεὺς ὑπερεκρέμασεν οἱ, αὐτῷ, τουτέστι κατ' αὐτοῦ, λίθον ἰσχυρὸν, ἀντὶ τοῦ μέγαν· ὃν ἀεὶ προθυμούμενος ἀπώσασθαι τῆς κεφαλῆς, πόρρω ἡδονῆς στρέφεται· μὴ δυνάμενος δηλονότι ἀπαλλαγῆναι αὐτοῦ. Τὸ οὕτος ἢ πρὸς τὸ Τάνταλος νόει ἢ πρὸς τὸ τιμηθέντι παρὰ Θεῶν, οὕτως· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ Θεοὶ ἐτίμησαν, οὐκ ἄλλος ἦν ὁ τιμηθεὶς ἢ ὁ Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι, ἤγουν κατασχεῖν· οἱ γὰρ πέπτοντες τὴν τροφὴν καὶ οὐκ ἐμοῦντες κατέχουσι ταύτην ἐντός· ὄλβον δὲ λέγει τὴν παρὰ τῶν Θεῶν διδομένην αὐτῷ τιμήν.

87. Ἀλλὰ γὰρ καταπέψαι.] Κατασχεῖν καὶ ἐναπολαῦσαι τῆς εὐτυχίας· ἀλλ' εὐδαιμονῶν καρτερεῖν οὐκ ἠδυνήθη. — Καταπέψαι.] Καταχωνεῦσαι.

89. Κόρῳ.] ὑπὸ τῆς πλείστης τιμῆς. — Κόρῳ δ' ἕλεν.] Διὰ τὸν κόρον μεγάλως ἐβλάβη, λίθῳ παλαίσας. Ἄλλως· Κόρῳ, τῇ ὕβρει καὶ τῇ ἀλαζονείᾳ· ὑγιῶς δὲ τῇ τροπῇ τοῦ ὅλου ἐχρήσατο, τῷ καταπέψαι τὸν κόρον ἐφαρμόσας· διὰ γὰρ τοῦ κόρου, φησὶ, προσείληφε τὴν ἄτην, ἀδυνατήσας κατασχεῖν τὴν εὐδαιμονίαν. Τίκτει τοι κόρος ὕβριν· ἔνιοι δὲ κόρῳ, τῇ πλησμονῇ τῆς τροφῆς.

90 † Ἅταν ὑπέροπλον.] Ὑπέροπλός ἐστιν ἰσχὺς ἡ νικῶσα τὰ ὅπλα· ἐνταῦθα δὲ ὑπέροπλον λέγει βλάβην μεταφορικῶς τὴν ὑπερβολικὴν καὶ ἀμήχανον. Ἱστορία. Ἄλλοι ἄλλως περὶ τῆς τοῦ Ταντάλου κολάσεως φασίν· οἱ μὲν γὰρ ὑποκεῖσθαι αὐτὸν φασι Σιπύλῳ τῷ Λυδίας ὄρει· Ζεὺς γὰρ ἀποστείλας Ἑρμῆν πρὸς αὐτὸν, ἵνα τὸν κύνα λάβῃ, ὃν Πινδάρεως ὁ Μιλήσιος φύλακα καταστάντα τοῦ ἱεροῦ τῆς Κρήτης παρὰ Διὸς κεκλοφὼς, ἤγαγεν αὐτῷ ἵνα φυλάσσῃ· ἐλθόντος οὖν Ἑρμοῦ πρὸς αὐτὸν καὶ μὴ λαβόντος τὸν κύνα· ἔφασκε γὰρ μὴ ἔχειν· ὀργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῷ τὸ Σίπυλον· οἱ δὲ λέγουσι, διὰ τὸ ἐξειπεῖν αὐτὸν τὰ θεῖα μυστήρια τοῖς ἀνθρώποις, ἐν ᾅδου κολάζεσθαι, μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος· ἧς ὁπότε πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο· μαρτυρεῖ δὲ καὶ Ὅμηρος (Ὀδ. λ, 582.) λέγων·

Ἕστηκ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ·
Σεύετο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἐλέσθαι·

ἑστὼς δὲ ἐν τῇ λίμνῃ καὶ λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον· Εὐριπίδης (Ὀρέστ. 5.) δὲ λέγει μέσον ἀέρος αὐτὸν τὸν Τάνταλον ἀοράτως κρέμασθαι καὶ λίθον ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς αἰωρεῖσθαι· ἀφαιρέστερος δὲ πάντων Ὁμήρος· καὶ μαρτυρεῖ ἡ παροιμία. Ταντάλου δίψα· δίον δὲ εἰπεῖν, ἔχει δὲ τοῦτο βίον ἀπάλαμον, λέγω δή, τὸ ὑπὲρ κεφαλῆς λίθον πειρᾶσθαι φυγεῖν καὶ μὴ δύνασθαι, ὁ δὲ τοῦτον εἶπε πρὸς τὸν βίον· τὸ δὲ ἐμπεδόμοχθον ἢ πρὸς τὸ βίον συναπτέον ἢ πρὸς τὸ πόνον.

91. Τὰν οἱ πατήρ.] Τὴν ἄτην, φησίν, ὑπερεκρέμασεν αὐτῷ· ἅταν δὲ εἶπε τὸν λίθον, ὃς ἦν ἄτη· διὸ δὲ παρείληφε τὴν ἀντωνυμίαν· τὸ γὰρ οἱ ἰσοδυναμεῖ τῷ αὐτῷ. Ἄλλως· δι' ἥντινα αἰτίαν ὁ Ζεὺς ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ λίθον ἀπήρτησεν, ὥστε τῇ προσδοκίᾳ τοῦ καταπίπτειν τὸν λίθον ἐφ' ἑαυτὸν τιμωρεῖσθαι· ὁντινα ἐπηρτημένον λίθον ἐπιθυμῶν ἀπὸ τῆς αὐτοῦ κεφαλῆς ἀπώσασθαι καὶ μὴ δυνάμενος, εὐρροσύνης ἁλᾶται, ἀντὶ τοῦ ἐν πόνοις ἐστίν. Ἄλλως· ἐπικρέμαται αὐτῷ λίθος, εἴτα τοῦτο μενοινῶν καὶ κατὰ τὴν ψυχὴν ἔχων, ὡς ἐπιπεσὼν ὁ λίθος διαφθερεῖ αὐτόν, τῆς εὐρροσύνης ἁλᾶται, προσδοκῶν ἀεὶ τὴν κεφαλὴν αὐτοῦ βληθήσεσθαι.

92. Καρτερόν.] Μέγιστον.

95. Ἀπάλαμον.] Δεινόν, πρὸς ὃν οὐκ ἔστι παλαμήσασθαι περὶ οὗ οὐδεὶς δύναται χεῖρα αὐτῷ ἐπαγαγεῖν βοηθῶν. — † Ἀπάλαμον.] Ἔχει δὲ βίον τοῦτον τὸν ὑπὸ τῷ λίθῳ ἀπάλαμον, ἤγουν ἀμήχανον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι.

96. Ἐμπεδόμοχθον.] Διηνεκῶς μοχθηρὸν, ἠσφαλισμένον τῷ μοχθῳ καὶ τῇ λύπῃ. — Ἐμπεδόμοχθον.] Τουτέστιν ἰσχυρὰν κάλωσιν ἔχοντα, πόνον τέταρτον μετὰ τριῶν ἄλλων, ἤγουν τοῦ πεινῆν, τοῦ διψῆν, τοῦ ἑστάναι· διότι κλέψας τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν τῶν Θεῶν ἠλικιώταις καὶ συμπόταις ἔδωκεν, ὃι' ὧν ἀθάνατον αὐτοὶ τοῦτον ἐποίησαν· εἰ δ' ἀνήρ τις ἐλπίζει Θεὸν λήσειν πράττων τι, ἀποτυγχάνει τοῦ πρέποντος λογισμοῦ.

97. Μετὰ τριῶν.] Περὶ τῆς τοῦ Ταντάλου κολάσεως ἕτεροι ἑτέρως λέγουσιν· οἱ μὲν γὰρ αὐτὸν φασιν ὑποκεῖσθαι Σιπύλῳ τῷ Λυδίας ὄρει, αἰτίαν τινὰ προστιθέντες, ὡς Πανδάρεως ὁ Μιλήσιος ἀποκλέψας τὸν κύνα τῆς Κρήτης, ὃν ὁ Ζεὺς φύλακα τοῦ ἱεροῦ κατέστησε, παρέθετο αὐτὸν τῷ Ταντάλῳ· τὸν δὲ Δία ἀποστεῖλαι Ἑρμῆν πειρώμενον τοῦ ὑπο-

δεξαμένου· τὸν δὲ μᾶλλον ψευδόμενον ἐλέσθαι ἐπιορκῆσαι, ὡς οὐκ ὄντος παρ' αὐτῷ τοῦ κυνός· καὶ οὕτω τὸν Δία ἐπιβαίνειν κατ' αὐτοῦ Σίπυλον τὸ ὄρος, ὅπερ εἶναι τὸν λίθον· οἱ δὲ, ὧν ἐστι καὶ Εὐριπίδης, (Ὀρέστ. 10) ὡς ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον· Ὅμηρος δὲ αὐτὸν ἑτέρως ὑποτίθησι τιμωρεῖσθαι·

Ἕστασ' ἐν λίμνῃ, ἡ δὲ προσέπλαζε γενείῳ.
Στεῦτο δὲ διψάων· πιέειν δ' οὐκ εἶχεν ἐλέσθαι.

καὶ τὰ ἑξῆς· πλὴν εἰ μὴ κατὰ τὸν Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἔπη ταῦτα· Ἀλκαῖος δὲ καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ· ὁ μὲν Ἀλκαῖος· Κεῖσθαι πὰρ κεφαλᾶς μίγας ὥας... σιμίδια λίθος· ὁ δὲ Ἀλκμάν· Ὅπως ἀνὴρ δ' ἐν ἀσμένοισιν ἀλιτηρὸς ἦπτ' ἐπὶ Σάκας κατὰ πέτρας, ὄρεων μὲν οὐδὲν, ὀχείων δὲ ἐποίησε δὲ καὶ ὁ Ἀρχίλοχος Μηδ' ὁ Ταντάλου λίθος τῆς δ' ὑπὲρ νήσου κρεμάσθω· ἔνιοι δὲ ἀκούουσι τὸν πέτρον ἐπὶ τοῦ ἡλίου· τὸν γὰρ Τάνταλον φυσιολόγον γενόμενον καὶ μύδρον ἀποῤῥήναντα τὸν ἥλιον ἐπὶ τούτῳ δίκας ὑποσχεῖν, ὥστε καὶ ἐπαιωρεῖσθαι αὐτῷ τὸν ἥλιον, ὑφ' οὗ δειματοῦσθαι καὶ καταπτήσσειν· περὶ δὲ τοῦ ἡλίου οἱ φυσικοί φασιν, ὡς λίθος καλεῖται ὁ ἥλιος· καὶ Ἀναξαγόρου δὲ γενόμενον τὸν Εὐριπίδην μαθητὴν πέτρον εἰρηκέναι τὸν ἥλιον ἀπὸ τῶν προσκειμένων·

Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς περῳκὼς ὡς λέγουσι Τάνταλος
Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Ἀΐρι ποτᾶται, καὶ τίνει ταύτην δίκην·

καὶ πάλιν δι' ὅλων βῶλον λέγοντα οὕτως· (Ὀρέστ. 980)

Μόλοιμι τὰν οὐρανοῦ μέσον καὶ χθονὸς
Τεταμέναν αἰωρήμασι
Πέτραν κλύσασι χευσέαισι φερομέναν
Δίνῃσι βῶλον ἐξ Ὀλύμπου,
Ἵν' ἐν Ἁρήνοισιν ἀναβοάσω
Γέροντι πατρὶ Ταντάλῳ.

Ἄλλως· Μετὰ τριῶν τέταρτον, ἢ ὅτι ἐν ᾅδου μετὰ τριῶν τάτκρτος, κολάζεται, Σισύφου, Τιτυοῦ, Ἰξίονος· ἢ ὅτι μετὰ τριῶν, τοῦ πεινῆν, διψῆν, ἑστάναι, τέταρτον πόνον τοῦτον ἔχει τὸ τῷ λίθῳ κολάζεσθαι· ἢ ὅτι μετὰ τρίτον, κατὰ ἕνα· ἐστὶ δὲ τὸ περὶ σῶμα, περὶ ψυχὴν, περὶ τὰ ἐκτός· ἢ μετὰ τριῶν κολάζεται, οἷς μετέδωκε τοῦ νέκταρος καὶ ἐξεῖπε τὰ μυστήρια τῶν Θεῶν· ὁ οὖν Εὐριπίδης φησὶν, Ἀκόλαστον

ἔσχε γλῶσσαν αἰσχίστην, νόσον· ἢ ὅτι τριῶν οὐσῶν πρὸ τούτου βασάνων, δι' ὧν ἀπώλετο, βρόχου κωνείου, βαράθρου, οὗτος μετὰ τὸ ἀποθανεῖν καὶ εἰσελθεῖν τὰ τρία διὰ τοῦ Θανάτου καὶ ἐν ᾅδου κρίνεται· ἔνιοι δὲ, ὅτι τρία λέγεται κοινῶς καὶ τὰ πρὸς τὸν Θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός· Σοφοκλῆς·

Λύτω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἶσθα μοι, τέταρτον οὖν τοῦτον μετὰ τῶν τριῶν ὁ Τάνταλος τῶν εἰς τὸν Θάνατον συνεργούντων προσείληφε πόνον τὸν τοῦ ὑπερκειμένου λίθου ἢ ὅτι τεσσάρων μοιρῶν οὐσῶν κατὰ τῆς ἀνθρωπίνης φύσεως· ἢ ὅτι τριῶν μοιρῶν οὐσῶν κατὰ τοὺς ποιητὰς, καὶ τοῖς μὲν εὐδαίμοσι μίαν ἔπεσθαι ἀγαθὴν, δύο δὲ κακὰς, τοῖς δὲ δυσδαίμοσι τὰς τρεῖς φαύλας· ὅθεν καὶ τρισκακοδαίμονας καὶ τρισαθλίους ἐν τῷ βίῳ τινὰς λέγεσθαι· ἵν' ᾖ ὁ νοῦς οὗτος· ὅτι δὴ ὁ Τάνταλος καὶ μετὰ τὰς τρεῖς ταύτας δυστυχίας, ἃς ὑπέστη κατὰ τὸν ἀνθρώπινον βίον ἐξ ἀνθρώπων γεγονὼς, καὶ τετάρτην ὑρίσταται· καὶ ὅτι ἡ τοιαύτη γνώμη ἀτραλὴς ἐστι, μαρτυρεῖ ἡμῖν καὶ αὐτὸς ὁ Πίνδαρος ἐν ἑτέροις λέγων· Οἶσθα προτέρων, ὅτε ἓν παρ' ἐσλὸν πήματα σύνδυο θαίονται βροτοῖς ἀθάνατοι ἐν Πυθιονίκαις. — Μετὰ τριῶν.] Τοῦ πεινῆν, δι|ψῆν, ἑστάναι· φασὶ δὲ καὶ ἑτέρως τὸ μετὰ τριῶν, ἤγουν μετὰ Ἰξίονος, Σ.σύφου καὶ Τιτυοῦ· καὶ οὗτοι γὰρ ἐν ᾅδου κολάζονται, Ἰξίων μὲν ἐν τροχῷ περιφερόμενος διὰ τὸ ἐρασθῆναι τῆς Ἥρας καὶ πρὸς νεφέλην παρεικασθῆσαν προσδραμεῖν καὶ μιγῆναι, ὅθεν καὶ ὁ Ἱπποκένταυρος γέγονε· Σίσυφος δὲ, πέτρον μέγιστον εἰς ἀνάντη τόπον βίᾳ κομίζων, καὶ ὁπότε εἰς ἄκρον ἔλθοι τοῦ τόπου, ἀπολισθαίνοντα τὸν λίθον αὖθις ἀνάγων, καὶ τοῦτο πάσχων διὰ τὴν ἀπάτην, ἣν ἠπάτησε τὸν Πλούτωνα, ὁπότε γὰρ Θνήσκειν ἔμελλε, παρήγγειλε τῇ γυναικὶ μὴ θάψαι αὐτόν· τῆς δὲ οὕτω πεποικυίας, κατελθὼν αὐτὸς κατηγόρει πρὸς Πλούτωνα ὡς ἀμελησάσης αὐτοῦ αὐτὸν αἰτῆσαι ἀνελθεῖν καὶ κολάσαι αὐτήν· ἐπεὶ δ' ἀνῆλθε, μὴ βουλόμενος αὖθις εἰς ᾅδου παραγενέσθαι, ὑπ' Ἑρμοῦ καταχθεὶς ἄκων οὕτω κεκλῆσται· Τιτυοῦ δὲ, ὡς κατὰ Θεῶν μανέντος, ὄρνεις τὰ σπλάγχνα ὑπτίου κειμένου κατεσθίουσιν ἀναλαινιζόμενα ἀεί, κατὰ τὸ Προμηθέως ἦπαρ.

99. Ἁλιεσσι.] Ὁμήλιξιν.

Θ105. Προῆκαν.] Προέπεμψαν, μετέστρεψαν. — Τοὐνεκάο ἐ.]

Δαιμονίως τὴν ἱστορίαν μετεχειρίσατο καί φησιν, ὅτι διὰ τὴν ἀσέβειαν τὴν Ταντάλου οἱ Θεοὶ πάλιν ἐξ οὐρανοῦ τὸν Πέλοπα ἀπέστειλαν εἰς ἀνθρώπους, αὐταρκῆ εἶναι ἡγούμενος ταύτην τῷ Πέλοπι τιμωρίαν, καὶ ὅτι πρὸς τοῦτο ὁ λόγος ἐξαρκέτει, πρὸς τὸ ἐπὶ τῶν ἀνθρώπων ἐπίθετον, τῆς δυστυχίας τὸ ἀκρότατον ἐμφανίζων. Ἄλλως· τοῦνεκα, ἀντὶ τοῦ ἕνεκα, ὡστ' ἴσον εἶναι τῷ· διὸ δὴ ἀνήρπαστο μὲν ὑπὸ Ποσειδῶνος, τῷ δὲ τὸν Τάνταλον κλέψαι ταῦτα τούτου χάριν ἐξέβαλον τὸν υἱὸν εἰς τὸ τῶν θνητῶν γένος· ἡ γὰρ μετὰ ἀντὶ τῆς εἰς· τουτέστι διὰ τοῦτο τὸν Πέλοπα πάλιν οἱ Θεοὶ ἐξ οὐρανοῦ μετέστησαν εἰς ἀνθρώπους, Ταντάλου δυσσεβήσαντος· πάλιν, εἰς τοὐπίσω, εἰς τὴν ἐξαρχῆς πάλιν τῶν ἀνθρώπων ταλαιπωρίαν. — † Τοῦνεκα προήκαν·] Διὰ τοῦτο ἐπανέστρεψαν τὸν υἱὸν αὐτοῦ οἱ Θεοὶ ἐπὶ τὸ γένος αὖθις τῶν ἀνθρώπων, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν· ὅτε δὲ πρὸς Θαλερὰν ἀναδρομὴν σώματος τριχώσεις αὐτὸν σκέπουσαι ἐποίουν αὐτῷ δηλονότι μέλαν γένειον, γάμον ἀναπολήσας κατὰ νοῦν ἐζήτησε προτεθειμένην, τῷ βουλομένῳ λέγω, σχεθέμεν, ἤγουν δι' ἰσχὺν σχεῖν, ἤγουν λαβεῖν τὴν ἀγαθὴν κλέος ἔχουσαν Ἱπποδάμειαν, παρὰ τοῦ πατρὸς αὐτῆς τοῦ Οἰνομάου, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ.

107. Ταχύποτμον.] Ἐπ' ὀλίγον ζῶν.

109 Εὐάνθεμον.] Τὸ τῆς ἀκμῆς. ἀνθηρὸν λέγει· ὁ δὲ λόγος· πρὸς τὴν ἀνθηρὰν ἐλθόντι αὐτῷ ἡλικίαν, ὅτε καὶ αἱ τρίχες αὐτοῦ ἔστερον τὸ γένειον, ἀντὶ τοῦ ὅτε ἀνδρώδης καὶ τέλειος γέγονεν. Ἄλλως· ὅτε αἱ τρίχες αὐτοῦ τὸ γένειον ἐστεφάνουν μελαίνουσαι, ὃ ἐστιν ὅτε ἤρχετο γενειᾶν ὁ Πέλοψ· μέλαν δὲ τὸ μελανθησόμενον ὑπὸ τῆς λάχνης.

110. Νὶν γένειον.] Ὅλον καὶ μέρος· τὸ μὲν νὶν ὅλον τὸ δὲ γένειον μέρος· ὥσπερ ἐστὶ καὶ τό· Ποτὸν σε ἔπος φύγεν ἕρκος ὀδόντων. (Ἰλιάδ. δ, 350.) Ἔρεφον δὲ, ἀντὶ τοῦ ἐστεφάνουν· ὥσπερ γὰρ ὁ στέφανος κύκλῳ τῆς κεφαλῆς ἐστιν, οὕτω καὶ αἱ τοῦ πώγωνος τρίχες κύκλῳ εἰσίν.

111. Ἑτοῖμον.] Ἐπεὶ πᾶσι παρέκειτο· ἆθλος γὰρ ἦν τῷ νικῶντι· ἢ ὃν αὐτὸς ἑαυτῷ ἡτοίμασεν· ἢ τῶν ὑπὸ τῶν μοιρῶν αὐτῷ ἡτοιμασμένον· ἢ τὸν τοῖς ἡσημένοις κινδυνεύειν ἐκκείμενον· ἀνεφρόντισε δὲ εἶπεν, ἐπεὶ ἠθέλησε γῆμαι τὴν Οἰνομάου Ἱπποδάμειαν· εἴποιμεν δ' ἂν αὐτὸν προσκαλεῖσθαι τὸν Ποσειδῶνα ἤτοι ὡς ἐραστὴν ἢ ὡς τῆς ἱππικῆς πρε-

στῶτα καὶ δυνατὸς ἔχοντα τέχνῃ πρὸς τὸ ἄθλον συμβαλέσθαι.

112. Πισάτα παρὰ πατρός.] Τοῦ Οἰνομάου τῆς Πίσης βασιλεύοντος.

113. Εὔδοξον Ἱπποδάμειαν.] Ἤτοι τὴν εὔδοξον, ἢ τὴν συνετὴν, ἀπὸ τοῦ εὖ δοξάζειν.

114. Ἔγγὺς δ' ἐλθών.] Ἀντὶ τοῦ τε τὸν δὲ παρέλαβεν. — † Ἄγχι δ' ἐλθών.] Πλησίον δ' ἐλθὼν τῆς λευκῆς Θαλάσσης μόνος ἐν νυκτὶ, ἐκάλει τὸν Ποσειδῶνα τὸν βαρύκτυπον, τὸν τῇ καλῇ τριαίνῃ χρώμενον. Ἱστορία. Οἰνόμαος, ὁ πατὴρ Ἱπποδαμείας, ἔρων αὐτῆς διὰ τὴν τοῦ κάλλους ὑπερβολὴν καὶ οὐ θέλων ἐκδοῦναι ταύτην εἰς γυναῖκά τινι· προὐκαλεῖτο πάντας εἰς ἁμίλλαν ὁρόμου, τοὺς θέλοντας αὐτὴν ἐγγυήσασθαι, θεράπων τῷ αὐτοῦ ἅρματι, ταχυτάτῳ ὄντι, καὶ μηδένα οἰόμενος ὑπερβαλέσθαι ἂν αὐτὸν δυνηθῆναι· οὗτοι δὲ ἐποίει τὴν ἁμίλλαν· τῷ μὲν μνηστῆρι ἐδίδου τὴν Ἱπποδάμειαν ἐν τῷ αὐτοῦ ἅρματι φέρειν, καὶ προηγεῖσθαι τοῦ ὁρόμου, αὐτὸς δὲ ὀπίσθεν ἰὼν καὶ τῇ χειρὶ φέρων ἔγχος, ὁπότε ἐμελλε τὸν μνηστῆρα παρελθεῖν, ἐβάλλέ τε τῷ ἔγχει καὶ ἀνῄρει· τρεῖς οὖν πρὸς τοῖς δέκα ὁλωλεκὼς ἡττήθη ὑπὸ Πέλοπος· ὀργὰρ ἡνίοχος αὐτοῦ τοῦ Οἰνομάου Μυρτίλος ἐρθάρη χρήμασιν ὑπὸ τοῦ Πέλοπος, ἵνα περὶ τὰς χοινικίδας τοῦ ἅρματος πανουργεύσῃ τι, καὶ τὸν Οἰνόμαον ἐντεῦθεν ἡττηθῆναι παρασκευάσῃ· οὗ γενομένου Πέλοψ Ἱπποδάμειαν ἔσχε· τῶν δὲ ἀνηρημένων τὰ ὀνόματά εἰσι ταῦτα· Μέρμνος, Ἵππόθοος, Πέλοψ Ὀπούντιος, Ἀκαρνὰν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριστόμαχος, Κρόκαλος· ὧν ταῖς κεφαλαῖς ἔμελλε ναὸν ἀνεγερεῖν τῷ Ἄρεϊ.

115. Τὸ πολιᾶς ἁλὸς.] Ἡ ἀντὶ τοῦ γεραιᾶς νέει, διὰ τὸ εἶναι προγενέστερον τὸ ὕδωρ τῶν ἄλλων στοιχείων, ὡς ἔφαμεν· ἢ ἀντὶ τοῦ λευκῆς· λευκαίνεται γὰρ τῇ τῶν κυμάτων περιφορᾷ καὶ δινήσει. † Ὄρφνη, ἡ νὺξ βαρυτόνως· ὀρφνὴ δὲ νὺξ ἀντὶ τοῦ σκοτεινὴ ἐπιθετικῶς ὀξύνεται.

116. Ἄπυεν.] Ἐρώνει, προσεκαλεῖτο, τουτέστιν ηὔξατο τῷ Ποσειδῶνι ὁ Πέλοψ· βαρύκτυπον δὲ εἶπε τὸν Ποσειδῶνα ἀπὸ τοῦ κτύπου τῆς Θαλάσσης — † Βαρύκτυπος, ὁ βαρεῖς κτύπους ἐργαζόμενος· βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον· λέγεται τὸ βαρὺ καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ ὀξύ· ἐνταῦθα ἐπὶ φωνῆς λέγεται τὸ βαρὺ ἐν τῇ συνθήκῃ

τοῦ βαρυκτύπου· κτύπος δὲ ἐστιν ὁ ἀπὸ συγκρούσεως ἦχος·

118. Σχεδὸν.] Οὐ χρονικῶς τὸ σχεδὸν, ἀλλὰ τοπικῶς πρὸς, τὴν φωνὴν ἀκούσας, τοῦ Πέλοπος. Ἄλλως· τὸ ἕτοιμον τῆς τοῦ Θεοῦ ἀκοῆς δεδήλωκεν. — Τὸ Σχεδὸν ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ παρὰ ποσί· τὸ γὰρ παρὰ ποσὶ στῆναι ἥκιστον ἐστὶ στῆναι. — † Ὁ δ' αὐτῷ·] Ὁ δὲ εὐθέως παρὰ τοῖς ποσὶν οὗτοῦ ἐφάνη· τούτῳ δὲ εἶπεν ὁ Πέλοψ· ἄγε, ὦ Πόσειδον, ἐὰν κατά τι εἰς χάριν σοι ὦσιν, ἤγουν κεχαρισμένα, ἀρεστὰ ὦσι τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης· τοῦτο δὲ ἴσως ὡς ἐρώμενος αὐτοῦ λέγει· κατάσχες, ἀνενέργητον ποίησον τὸ ἔγχος τοῦ Οἰνομάου τὸ σιδηροῦν, ᾧ τοὺς μνηστῆρας συμποδίζων ἀναιρεῖ ἐμὲ δὲ ἐπὶ ταχυτάτου ἅρματος παράπεμψον εἰς τὴν Ἦλιν· τῇ νίκῃ δὲ ἑνῶσον, τουτέστι μετ' ἐμοῦ δὲ ποίησον τὴν νίκην· ἐπεὶ τρεῖς καὶ δέκα ἄνδρας ἀποκτείνας ὁ Οἰνόμαος ἐρῶντας εἰς τὸ ἐπὶν παραπέμπει τὸν τῆς θυγατρὸς αὐτοῦ γάμον.

119. Τῷ μὲν ἔειπε,] Ὁ μὲν ἀντὶ τοῦ μὴν· οὐ γὰρ ἀνταποδέδοται πρὸς αὐτὸν, ὁ μὲν εἶπεν, ὁ δὲ ἤκουτε· φίλια δὲ δῶρα Κυπρίας, τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης εἰ εἰς χάριν τινὰ γίνεται, ἀντὶ τοῦ, εἰ χάρις ἐραστοῦ πρὸς ἐρώμενον· ἡ Κυπρίας, τοῦ γάμου· ἵν' ᾖ· εἴ τίς σοι χάρις ἐστὶ τοῦ ἐμὲ γῆμαι, σύμπραξον ἡμῖν. Ἄλλως· εἴ σοι κεχαρισμένος ἐστὶν ὁ γάμος τῆς Ἱπποδαμείας, καὶ εἰ μὴ μέλλεις ἐναντιοῦσθαι τῷ ἔρωτι τῷ πρὸς τὴν Ἱπποδάμειαν ταύτην γὰρ φίλια δῶρα τῆς Ἀφροδίτης εἶπεν· ὁ δὲ νοῦς· εἰ τὰ τῆς Ἀφροδίτης δῶρα ἐραστά σοι καὶ εἰς χάριν γίνεται, ἄγε τὸ τοῦ Οἰνομάου δόρυ πέδασον.

121. Πέδασον.] Κατάσχες, ἐμπέδησον τὸ τοῦ Οἰνομάου δόρυ· δόρυ γὰρ μεταχειριζόμενος ἐπεδίωκε προηγουμένους τοὺς μνηστῆρας καὶ συμποδίσας ἀνῄρει, ὥσπερ καὶ Ἀπολλώνιος μαρτυρεῖ.

Ἓν δὲ δύω δίφροι πεπονήατο θηρὶ ἰόωντε·
Καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε, τινάσσων.
Ἡνία, σὺν δὲ οἱ ἔπκε παραιβάτις Ἱπποδάμεια·
Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους.
Σὺν τῷ δ' Οἰνόμαος προτενὴς δόρυ χειρὶ μεμαρπὼς
Ἄξονος ἐν πλήμνῃσι παοακλιδὸν ἀγνοιμένοιο
Πίπτειν, ἐπεσσύμενος Πελοπήϊα νῶτα θαΐξαι.
Ἀμμώνιος ἔγχος Οἰνομάου, τὸ ἅρμα ἤκουσεν.

126. Ἐς Ἄλιν.] Εἰς Ὀλυμπίαν· ὅτι τὸ χωρίον τῆς Π-

λιδος. — Κράτει δὲ πέλαστον.] Τῇ νίκῃ δὲ πέλασον· ἵνα κρατήσω αὐτοῦ.

127. Ἐπεὶ τρεῖς καὶ δέκα.] Καὶ ἐν Θρήνοις τὸν αὐτὸν ἀριθμὸν τίθησι τῶν ὑπὸ τοῦ Οἰνομάου ἀναιρεθέντων μνηστήρων· Πέφνε δὲ τρεῖς καὶ δέκα ἄνδρας· τετάρτῳ δ' αὐτὸς πεδάθη. — Τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσας.] Οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνης, Ἱππόθοος, Πέλοψ ὁ Ὀπούντιος, Ἀ'καρνὰν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρινόρωνος, Ἀλκάθους ὁ Πορθάονος, Ἀριστόμαχος, Κρόκαλος· τούτων τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ· τινὲς δὲ οὕτως αὐτούς φασι εἶ· Μέρμνην, Ἱππόστρατον, Αἰολοπέα, Πείραντα, Ἀκαρνᾶνα, Ἱππομέδοντα, Ἀλκάθουν, Εὐρύλοχον, Εὐρύμαχον, Κρόκαλον, Ἀκρόκομον, Σκόπελον, Λυκοῦργον, Λάσιον Χάλκωνα τινὲς δὲ καὶ τοὺς δέκα τρεῖς οὕτω· Μέρμνωνα, Ἱππόθοον, Πέλοπα τὸν Ὀπούντιον, Εὐρύμαχον, Εὐρύλοχον, Ἱππομέδοντα, Λάσιον, Χάλκωνα, Αἴολον, Τρικόρωνον, Ἀκαρνᾶνα, Ἀλκάθουν, Ἀριστόμαχον ἄλλοι ἐξ εἶναι λέγουσι· Τρικόρωνον Ἀριστόμαχον, Κυριάνοντα, Αἴολον, Πελάγοντα, Κρόνιον.

128. † Ἐρῶντας.] Οἱ μνηστῆρας γράφοντες οὐκ ἴσασι τὰ περὶ μέτρων· χρὴ τοίνυν ἐρῶντας γράφειν· ἴ.' οἰκεῖον ἢ τὸ κῶλον τῇ στροφῇ. — Ἀναβάλλεται.] Μακρύνει.

129. Ὁ μέγας δὲ κίνδυνος.] Ὁ περὶ τῆς ψυχῆς· οἷον· οὐδεὶς ἀναλκὶς ὑπομένει περὶ τῆς ψυχῆς κινδυνεύειν, ἀλλὰ ἔστι τὸ τοιοῦτον ἀνδρὸς ἀλκίμου· ὅμοιον δέ ἐστι τῷ παρ' Ὁμήρῳ (Ἰ. μ. 246,)

σοὶ δ' οὐδέος ἔστ' ἀπολέσθαι.
Οὐ γὰρ τοι κραδίη μενεδήϊος, οὐδὲ μαχήμων.

Ἄ'λλως· τὰ δὲ ἐπικίνδυνα τῶν πραγμάτων οὐ δεῖται ἀτόλμων καὶ ἀθλίων ἀνθρώπων· ἡ οὕτω· τὸν ἀνδρεῖον μέγας κίνδυνος καταλαμβάνει. — Ὁ μέγας δὲ κίνδυνος.] Ἀντὶ τοῦ τὸ πράγμα, ἐφ' ᾧ μέγας ἐστὶ κίνδυνος, οὐ δέχεται ἄνδρα οὐ γενναῖον τὴν ψυχήν, τουτέστι δειλόν· ἐκεῖνος γὰρ, οἷς ἔστιν ἀνάγκη ἀποθανεῖν ὁπωσδήποτε, διατί ἂν τις ἐν ἀφανείᾳ καθήμενος ἀκλεὲς γῆρας ματαίως ἕψοι, τουτέστι τῷ χρόνῳ πεπαίνων ἑαυτῷ ἀφίλκιστο, πάντων τῶν καλῶν ἀμέτοχος ὤν; ἀλλ' ἐμοὶ μὲν οὗτος ὁ ἀγὼν ὑποκείμενος ἔσται εἰς τὸ ἀγωνίσασθαί με αὐτόν· σὺ δ' ἀπόβασιν πράξεως δίδου προφυλῆ.

131. Θανεῖν δ' οἷσιν ἀνάγκα.] Εἰ δὲ τοῖς ἀνθρώποις

ἐξ ἀνάγκης τὸ θανεῖν, διατί δή τις ἄδοξον τὸ γῆρας, ἐν ἀφανείᾳ καὶ ἀδοξίᾳ καθεζόμενος, τήκει καὶ καταναλίσκει μάτην πάντων τῶν καλῶν ἀμέτοχος ὑπάρχων; ἄλλως· οἷς ἀποθανεῖν ἀνάγκη, τί καὶ τις καθεζόμενος ὑπὸ τοῦ ἀνωνύμου γήρως ἕψοιτο; τὸ δὲ ἐν σκότῳ καθήμενος ἀντὶ τοῦ ἀκινησίᾳ καὶ ἀκλείᾳ καθεστώς. Ἄλλως· εἰ δεῖ ἀποθανεῖν τὸν ἄνθρωπον, ἄξιον αὐτὸν γενναίως ἢ ἀγεννῶς βιώσαντα τελευτᾶν· ἕψοι δὲ ἀντὶ τοῦ ἕψοιτο· οὐ γὰρ ἕψει τις τὸ γῆρας, ἀλλ' ἕψεται ὑπ' αὐτοῦ· ἀνώνυμον δὲ, τὸ ἐν ἀπραξίᾳ καὶ ἀκλεὲς ὑπάρχον. Ἄλλως· ἐπειδὴ πρόκειται τὸ ἀποθανεῖν, διὰ τί μὴ μετὰ δόξης τελευτῶμεν, γενναῖόν τι τολμῶντες;

132. † Τί κέ τις.] Τὸ τίς ἀορίστως λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει· διὸ πρὸς πληθυντικὸν ἀποδίδοται νῦν. — Ἀνώνυμον.] Ἄδοξον.

134. Ἀλλ' ἐμοὶ μέν.] Ἐμοὶ μὲν ὑπὲρ τοῦ γάμου κινδυνεύεται πρόκειται, σοὶ δὲ τῇ γνώμῃ τῷ πέρας ἐπιθεῖναι. Ἄλλως· ἐάν τε συμπράσσῃς, ὦ Ποσειδον, ἐάν τε μή, ἐγὼ ὑπομενῶ τοῦτον τὸν ἆθλον τοῦ γάμου.

136. † Πρᾶξιν φίλαν.] Ἀντὶ τοῦ ἀπόβασιν πράξεως προσφιλῆ· πρᾶξις γὰρ ἡ ἐνέργεια καὶ τὸ ἀποτελούμενον ἀπὸ τῆς ἐνεργείας.

137. Ὡς ἔννεπεν.] Ἀντὶ τοῦ εἶπεν. — Οὐδ' ἀκράντοις.] Ἀντὶ τοῦ οὐδὲ ἀκράντων ἐπῶν οὐδὲ ἀτελειώτων ἐφήψατο λόγων· παρῆσχε γὰρ αὐτῷ ἃ ἐβούλετο· ἐνίκησε γὰρ καὶ ἔλαβε τὴν Ἱπποδάμειαν πρὸς γάμον. — Οὐδ' ἀκράντοις.] Δέον ἀκράντων εἰπεῖν ἐπῶν· ὁ δὲ πλαγιάσας ἀκράντοις ἔπεσιν εἶπε πρὸς τὸ ἐπί· οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι.

139. Τὸν μὲν ἀγάλλων.] Τοῦτον μὲν οὖν, φησὶ, τὸν Πέλοπα κοσμῶν καὶ αὔξων ὁ Ζεὺς ἔδωκε, φησὶν, αὐτῷ τό τε χρυσοῦν ἅρμα καὶ τοὺς ταχεῖς ἵππους· ἀγάλλων, κοσμῶν, ὡς ἦδη ἅτε Ζεὺς πεπεισμένος περὶ τῆς νίκης. — Τὸν μὲν ἀγάλλων.] Τὸν μὲν τιμῶν ὁ Ζεὺς ἔδωκε δίφρον, ἅρμα χρυσοῦν, καὶ ἵππους ὑποπτέρους, ἀντὶ τοῦ ταχυτάτους· οὐ γὰρ πτερωτοὶ ἦταν· ἰστέον, ὅτι τὸ μὲν ἅρμα Πέλοψ πρῶτος ἔδειξεν ἐκ Ποσειδῶνος λαβών· τὸν δὲ κέλητα Βελλεροφόντης διὰ τὴν πρὸς τὸν Πήγασον ἀνάβασιν.

141. Ἀκάμαντας.] Ἀκαμάντους, ἤγουν οὐ κοπιῶντας· ἔλεγε δὲ ἀντὶ τοῦ καθεῖλε τὴν ἰσχὺν τοῦ Οἰνομάου, περιφραστικῶς ἀντὶ τοῦ τὸν Οἰνόμαον· ἔλεγε, ἤγουν ἔλαβε καὶ τὴν παρθένον τὴν Ἱπποδάμειαν σύνευνον· ἔτεκε δὲ ἀντὶ τοῦ

ἐγέννησεν υἱοὺς ἓξ, λαῶν ἡγεμόνας, ἀνδραγαθίαις ἐν φροντίδι ὄντας· ἀντιστρόφως ἀντὶ τοῦ εἷς ἀνδραγαθίαι ἦσαν ἐν φροντίδι· νῦν δὲ ἦνται ἐν περιφανείαι αἱμακουρίαις, ἤγουν χοαῖς δ' αἱμάτων, ἃς συνήθως ἐτέλουν τοῖς ἀποθανοῦσι πεσὼν, ἀντὶ τοῦ ταρεὶς παρὰ τῷ ῥεύματι τοῦ Ἀλφειοῦ, τύμβον ἔχων περιπολεῖσθαι δυνάμενον, διὰ τὸ μὴ πλησιάζειν τινὶ, παρὰ βωμῷ, ἔνθα πλεῖστοι ξένοι αἱθροιζόμενοι ἠγωνίζοντο· τὸ ἔλεγ οὖ πρὸς τὸ παρθένον κατὰ κοινοῦ εἶπεις, ἀλλ' ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλαδεν ἐρεῖς, πρὸς δὲ τὸ βίαν ἀντὶ τοῦ ἐκράτησε καὶ ἐνίκησεν.

144 Ἅ τέκε λαγέτας ἓξ.] Ἵππις Ἱπποδάμεια ἔτεκε λαγέτας ἓξ, ἤγουν ἡγεμόνας καὶ ἡγουμένους τῶν λαῶν· λέγει δὲ Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκάθουν, Πλεισθένη, Χρύσιππον. Ἄλλως· Ἀτρεὺς, Θυέστης, Ἀλκάθους, Ἵππαλκμος, Πιτθεὺς ἐκ Δίας, ἢ Χρύσιππος ἐξ Ἀξιόχης νύμφης, καὶ Πλειστθένης ἐξ ἄλλης· τινὲς δὲ οὕτως· Ἀτρέα, Θυέστην, Ἵππαλκμον, Πλειστθένην, Πιτθέα, Πέλοπα τὸν νεώτερον.

145. Ἀρεταῖσι μεμαότας.] Ἐπιθυμοῦντας τῆς ἀρετῆς καὶ ταύτης ἀντεχομένους.

146. Νῦν δ' ἐν αἱμακουρίαις.] Βοιωτικὴ ἡ φωνή· Βοιωτοὶ γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν· ὁ δὲ νοῦς· ἐπὶ δὲ τοῦ παρόντος ὁ Πέλοψ ἐναγισμοῖς καὶ θυσίαις τελευτήσας τιμᾶται παρὰ τοῖς τοῦ Ἀλφειοῦ ῥεύμασι, περισημότατον ἔχων μνῆμα παρὰ τῷ παλυξένῳ βωμῷ· περιφραστικῶς οὖν ταῦτά φησιν ἀντὶ τοῦ ἀπέθανεν. Ἄλλως· αἱμακουρίαις, τοῖς μεθ' αἱμάτων γινομένοις ἐναγισμοῖς· κατ' ἐνιαυτὸν δὲ ἠγίνοντο τῷ Πέλοπι, ὡς καὶ τοῖς λοιποῖς· ἡ δὲ ἐτυμολογία ἀπὸ τοῦ κορέννυσθαι τὰς ψυχὰς αἵματος. — Νῦν δ' ἐν αἱμακουρίαις.] Κατ' ἐνιαυτὸν πάντες οἱ ἐν τῇ Πελοποννήσῳ ἐφηβοι ἐν τῷ τοῦ Πέλοπος τάφῳ ταῖς μάστιξι ξαινόμενοι ὥσπερ τινὰ σπονδὴν τὸ αὐτῶν αἷμα τούτῳ παρεῖχον· τοῦτο δ' ἐποίουν δεικνύντες τὴν τοῦ ἥρωος δύναμιν, καὶ νομίζοντες μηδὲν ἄλλο πρὸς αὐτὸν εἶναι δίκαιον ἢ τοῦτο τελεῖσθαι. † Βοιωτῶν φωνὴ τὸ αἱμακουρίαις· οὗτοι γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν.

149. Τύμβον ἀμφίπολον.] Τινὲς φασι μνῆμα, ἄλλοι ἱερὸν εἶναι τοῦ Πέλοπος, καὶ πρὸ τοῦ Διὸς αὐτῷ τοὺς Ἠλείους θύειν, τοῦ Ἡρακλέους πρῶτου κατὰ τιμὴν τοῦτο πεποιηκότος· ἀμφίπολιν δὲ τινες τὸν περιπολούμενον, διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· οἱ γὰρ οἰκισταὶ ἐν μέσαις ταῖς πόλε-

σιν ἐθάπτοντο ἐξ ἔθους· ἄλλοι δὲ ἀμφίπολον τὸν πολούμενον, ὑπὸ τῶν ἀγωνιζομένων· ἐν γὰρ τῷ σταδίῳ ἐστὶν αὐτοῦ ὁ τάφος. Ἄλλως· ἀμφίπολον, περιπολούμενον, ὡς τῶν ἐπιφοιτώντων διὰ τὸ ἄγαν τῆς κατασκευῆς εὐπρεπὲς κύκλῳ περιϊόντων καὶ θεωμένων· ἔνιοι δὲ, ὅτι οἱ δρομεῖς εἰς τὸν τάφον τοῦ Πέλοπος ἔκαμπτον. — Τύμβον ἀμφίπολον.] Τινές φασι μὴ μνῆμα, ἀλλ' ἱερεῖον εἶναι Πέλοπος, καὶ πρὸ τοῦ Διὸς ἐν αὐτῷ τοὺς ἀγωνιζομένους θύειν, τοῦ Ἡρακλέους πρῶτον κατὰ τιμὴν τοῦτο πεποιηκότος· ἀμφίπολον δὲ λέγει ἢ τὸν περιπολούμενον διὰ τὸ ἐν μέσῳ εἶναι τῇ πόλει· ἐνταῦθα γὰρ οἱ οἰκέσται ἐθάπτοντο· ἢ τὸν περιπολούμενον ὑπὸ τῶν ἀγωνιστῶν· φασὶ γὰρ, ὡς ἐν μέσῳ τοῦ σταδίου ἦν.

150. Πελυξενωτάτῳ.] Ἔνιοι μὲν οὖν ἐνόησαν, ὅτι πολύξενόν φησι τὸν βωμὸν τὸν παρὰ τῷ τάφῳ τοῦ Πέλοπος ἑστῶτα διὰ τὸ πλῆθος τῶν εἰς τὴν Ὀλυμπίαν στελλομένων ἀγωνιστῶν τε καὶ Θεατῶν· καὶ φασι τὸν ἑστῶτα παρὰ τῷ Πέλοπος αὐτοῦ βωμῷ Πέλοπα εἶναι, ἔνθα αὐτῷ τὰ ἐναγίσματα γίνεται· ἔνιοι δὲ οὕτως· ὅτι Ἴαμος Ἀπόλλωνος παῖς παρὰ τοῦ πατρὸς τὴν μαντικὴν λαβὼν περὶ τῆς ἱερωσύνης ἔλεγε τοῖς ἐρωτῶσι, διὰ γοῦν τὸ πλείστους ξένους τῆς μαντικῆς ἕνεκεν ἀφικνεῖσθαι, πολυξενώτατον εἶπε τον βωμόν· καὶ τοῦτον βωμὸν Διὸς καὶ Πέλοπος λέγουσιν οἱ ταύτην τὴν ἐξήγησιν ἐκδεξάμενοι, ἐπεὶ πολλοὶ ξένοι εἰσρέουσιν εἰς τὸν Ὀλυμπιακὸν ἀγῶνα· βωμὸς γὰρ ἐν Πίσῃ, ἐφ' οὗ θύουσι πάντες οἱ ξένοι.

152. Τηλόθεν δέδορκεν.] Ὁ νοῦς· τὸ δὲ τῆς Ὀλυμπιάδος κλέος ἄνωθεν ἀπὸ τῆς τοῦ Πέλοπος οἰκήσεως ὁρᾶται, ὡς ἐκείνου τὸ τέλειον τῷ Ὀλυμπιακῷ ἀγῶνι περιθέντος. Ἄλλως· τὸ τηλόθε χρονικῶς ἀκουστέον· τὸ δὲ δέδορκεν ἀντὶ παθητικοῦ τοῦ δέρκεται, ἵνα ᾖ ὁρᾶται, ἀπανταχῆ βλέπεται καὶ ἀκούεται ὁ Ὀλυμπιακὸς ἀγών· ἰδίως δὲ τὸ δέδορκεν ἐξενήνοχεν ἀντὶ παθητικοῦ τοῦ βλέπεται, ὅτι μακρόθεν ὁρᾶται τὸ κλέος καὶ εἰς δεῖξιν πίπτει. Ἄλλως· τηλόθεν δέδορκεν, ἀντὶ τοῦ πανταχοῦ βλέπεται καὶ βοᾶται ὁ Ὀλυμπιακὸς ἀγών· τὸ γὰρ δέδορκεν ἀντὶ παθητικοῦ τοῦ βλέπεται. — Τὸ δὲ κλέος.] Τὸ δὲ κλέος τῶν Ὀλυμπιάδων δέδορκεν ἀντὶ τοῦ βλέπεται, περιφανές ἐστιν ἐκ μακροῦ, ἐν τοῖς δρόμοις, οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ, ὅπου ταχυτὴς ποδῶν ἀμιλλᾶται καὶ ἀνδρικὰ ἐργαζόμεναι· τοῦτο γὰρ τὸ θρασύπονοι· ὁ δὲ νικῶν, ἐν τούτῳ ὀλονότι τῷ ἀγῶνι, περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον

ἔχει εὐδίαν, ἤγουν ἠρεμίαν, γλυκεῖαν ἕνεκα βραβείων ἀγῶνος, τουτέστιν ἡσυχάζει μετὰ γλυκύτητος, οὐ ζητῶν βραβεῖα ἑτέρου ἀγῶνος, ἅτε δὴ τῶν μεγίστων τετυχηκώς· ἀεὶ δὲ τὸ ἀγαθὸν τὸ κατὰ τὴν παρεστῶσαν ἡμέραν, ἤγουν τὸ ἐνεστὼς, κράτιστον ἔρχεται, ἀντὶ τοῦ δοκεῖ παντὶ ἀνθρώπῳ.

154. Ταχυτὰς ποδῶν.] Πρῶτον γὰρ εὑρέθη τοῦ δρόμου τὸ ἄσκημα, καὶ ἡ πρώτη θέσις τῶν Ὀλυμπίων δρόμου ἦν τὸ σχῆμα· ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος· ἀπὸ κοινοῦ τὸ ἐρίζεται· ἔνθα πρὸς ἀλλήλας ἐρίζουσι καὶ φιλονεικοῦσιν αἱ τῶν ἀκμαίων ἰσχύες αἱ γενναῖως πρὸς τοὺς πόνους χωροῦσαι· τὸ δὲ ἀκόλουθον· αἱ ἀκμαῖαι ἰσχύες· ἀντὶ τοῦ ἔνθα γίνονται καὶ δρόμοι καὶ πάλαι καὶ παγκράτια καὶ πυγμαί· τοῦτο γάρ ἐστι τὸ Θρασύπονοι ἀκμαὶ ἰσχύος.

157. Ὁ νικῶν δέ.] Ἔξωθεν ἐξακουστέον τὸν Ὀλυμπιακὸν ἀγῶνα· ὁ γοῦν τοῦτον νικῶν εὐδίων καὶ ἡδὺν τὸν λοιπὸν ἔχει βίον, ὡς τοῦ τελείου τῶν ἀγωνισμάτων ἐν τῷ Ὀλυμπιακῷ ὄντος ἀγῶνι, καὶ τοῦ νικήσαντος ἔχοντος τὸ τέλειον τῆς δόξης. Ἄλλως· ὁ νικῶν δὲ τὸν λοιπὸν αὐτοῦ βίον διάγει ἐν τῇ γῇ μέλι ῥεούσῃ, ἀντὶ τοῦ ἔχει ἡδεῖαν ἀνάπαυσιν. Ἄλλως· ἀμφίβολον, πότερον ὁ νικῶν τὰ Ὀλύμπια εἰς τὸν μετὰ ταῦτα χρόνον ἐν εὐδίᾳ ἐστὶν ἕνεκα τῶν ἄθλων, οἷον ἕνεκα τοῦ νικῆσαι τὰ Ὀλύμπια ἐν εὐθυμίᾳ ἐστί, πολλάκις μέντοι εἴωθε δι' ἑτέρας συμφορὰς λυπεῖσθαι ἡ οὕτως· ὁ νικήσας τὰ Ὀλύμπια ἕνεκα τῶν ἄλλων ἄθλων ἐν εὐδίᾳ ἐστίν· οὐκέτι γὰρ φιλοδοξεῖ οὐδὲ ἐπιθυμεῖ νικῆσαι ἕτερον ἀγῶνα. Ἄλλως· ὁ νικῶν ἐν εὐδίᾳ διάγει, ἡδόμενος ταῖς νίκαις.— Εὐδίαν.] Ἡσυχίαν, τουτέστι βέλτιστος παρὰ πάντων νομίζεται· εὐδίαν δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν θαλάσσῃ χειμαζομένων καὶ πεπαυμένων τοῦ κλύδωνος.

159. Τὸ δ' ἀεὶ παράμετον ἐσλόν.] Οἱ ἄνθρωποι τῶν ἔμπροσθεν πεπραγμένων ἀγαθῶν οὐκ εἰώθασι μνημονεύειν, ἀλλὰ παρ' ἡμέραν ἡ καλὸν ἢ κακὸν σκοποῦσιν· ἑκάστῳ οὖν, φησὶ, τῶν ἀνθρώπων τὸ παρ' ἡμέραν γινόμενον κρίνεται μέγιστον εἶναι. Ἄλλως· τὸ δὲ τῶν ἄθλων παραγινόμενον ἀγαθὸν παρ' ἐκείνην τὴν ἡμέραν, τὴν ἐνεστῶσαν, ἐν ᾗ τις ἐνίκησεν, ὕπατον δοκεῖ καὶ μέγιστον ἀγαθὸν τῷ τετυχηκότι· ἡ οὕτως· τὸ παρ' ἡμέραν γινόμενον· τὰ γὰρ ἐνεστῶτα τῶν μελλόντων προκρίνεται. Ἄλλως· τὸ καθ' ἡμέραν καὶ ἀδιαλείπτως παρὰ τοῖς ἀνθρώποις ἀγαθὸν τοῦτο ἔξοχον καὶ ὑπὲρ ἄνθρωπον γίνεται ἀγαθόν· ἡ οὕτως· τὸ δὲ περὶ

τὴν τοῦ στεφάνου ἡμέραν ἀγαθὸν ὕπατον γίνεται παντὶ ἀνθρώπῳ· ἡ δὲ ἡμέρα, καθ' ἣν τις στέφεται, τιμιωτάτη. Ἄλλως· ἐάν τις πρότερον εὐτυχῇ ἐν τῷ ἄλλῳ βίῳ, καὶ πάλιν εὐτυχήσας νικήσῃ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ ἐνίκησεν, ἐπιλέλησται τῶν προτέρων εὐτυχημάτων. Ἄλλως· τὸ γὰρ κατὰ προαίρεσιν συμβαῖνον ἀγαθὸν ὕπατον καὶ μέγιστον γίνεται παντὶ ἀνθρώπῳ· ὥσπερ καὶ ὁ Ἱέρων ἐπιθυμήσας νίκης ἐνίκησε, καὶ ἐγένετο οὐτῷ τοῦτο τὸ παρ' ἡμέραν ἀγαθὸν κατὰ προαίρεσιν τελεσθὲν ὕπατον καὶ μέγιστον. — Τὸ δ' ἀεὶ τοῦτο λέγει, ὅτι εἴ τις τὸν τῆς ζωῆς αὐτοῦ χρόνον καθ' ἑκάστην ἡμέραν παρὰ πάντων τιμᾶται, οὐκ ἔστι τούτου μεῖζον οὐδέν.

162 Ἐμὲ δὲ χρή.] Ἐμὲ δὲ πρέπει Αἰολίδι μολπᾷ καὶ ὑμνῳ στεφανῶσαι ἐκεῖνον τὸν ἐξ Ὀλυμπίας ἐν νόμῳ ἱππείῳ νενικηκότα κατὰ νόμους· νενομισμένον γὰρ ἐστι μὴ μόνον τοῖς οἰκείοις ποσὶν ἀγωνίζεσθαι πεζῇ, ἀλλὰ καὶ ἱππικῶς· λέγω δὴ ἐν κέλητι καὶ δίφρῳ καὶ τετρώρῳ· λέγει δὲ διὰ τὸν Ἱέρωνα· τὸ δὲ Αἰολίδι μολπᾷ, ἢ ἀντὶ τοῦ ποικίλῃ· ποικίλοι γὰρ οἱ ἐκ λύρας ὕμνοι· ἢ Θηβαίᾳ· οἱ γὰρ Αἰολεῖς ᾠκησάν ποτε Θήβας· ἢ διότι καὶ ὁ Πίνδαρος ἐξ Αἰολέων κατήγετο, ὥς φασί τινες· ἐμὲ δὲ πρέπει ἐγκωμιάσαι ἐκεῖνον, ὃν ὑπεθέμην δηλονότι, τουτέστι τὸν Ἱέρωνα, κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς, διὰ μολπῆς, ἤγουν ᾠδῆς Αἰολίδος, ἤγουν Θηβαϊκῆς ἢ Πινδαρικῆς· πέποιθα δὲ μηδένα ἄλλον φίλον ἀπὸ τῶν νῦν κατὰ τὰ ἀμφότερα, καὶ καλῶν ἔμπειρον καὶ κατὰ τὴν ἰσχὺν ἐπικρατέστερον, κοσμήσειν στροφαῖς ὑμνων κλυταῖς, τουτέστι μετεώρῳ φωνῇ ᾀδομέναις καὶ ἐξακουομέναις.

164. Αἰολῇδι μολπᾷ.] Ἤτοι ποικίλῃ· ποικίλα γὰρ τὰ λυρικά· ἢ Θηβαίᾳ· οἱ γὰρ Αἰολεῖς ᾤκησαν τὰς Θήβας· τινὲς δέ φασιν, ὅτι ἀνωθεν Αἰολεὺς τὸ γένος ὁ Πίνδαρος· οἱ δὲ, ὅτι Αἰολίῳ ῥυθμῷ διὰ τῆς μουσικῆς χρᾶται τῶν ποιημάτων.

165. Πέποιθα δὲ ξένον.] Ἑαυτοῦ, τὸν Ἱέρωνα, ἐμπεριέχοντα καὶ δύο τῶν καλῶν· ὅ ἐστιν, ἀγαθὸν καὶ δυνάμενον ὃ βούλεται συντελεῖν· ἐνὶ γὰρ τὸ ἕτερον ἠνολεύθηκεν, οὐ τὰ δύο. Ἄλλως· πεπίστευκα δὲ καὶ πέπεισμαι ἀκριβῶς, μηδένα με ἔτι φίλον τῶν νῦν ἀνθρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις ἀμφότερα ἔχοντα, καὶ ἐπιστήμονα τὰ κατὰ ψυχὴν καὶ σώματος ἰσχύν· τούτου ἀνδρειότερον· ἅπερ τὰ δύο τῷ Ἱέρωνι πάρεστιν· ἔνιοι δὲ κατὰ τοῦ Πινδάρου αὐτὸ ἀκούουσιν, ὅπερ

καὶ μᾶλλον, διὰ τὰ ἐξῆς ἐπαγόμενα· ἵν' ᾖ τὸ ἐγκώμιον ἐπ' αὐτῷ κινῶν ὁ Πίνδαρος, καὶ ὁ νοῦς τοιοῦτος· πιστεύω δὲ μηδένα ἄλλον ποιητὴν ἐπιστήμονά τε εἶναι καὶ ἀνδρεῖον, καὶ οὕτω δύνασθαι τοὺς φίλους ἐγκωμιάζειν, ὥσπερ ἐμαυτόν. Ἄλλως· πεπίστευκα δὲ, ὅτι οὐδένα ὑμνητα ἀμφότερα ἔχοντα, ἔμπειρίαν τε καὶ ἄλλων δύναμιν· ἀναφέρεται δὲ τοῦτο εἰς Ἱέρωνα. Ἄλλως· τεθάρρηκα, φησὶν, ὅτι κυρίως ὑμνῶ τὸν εὐδύναμον καὶ φιλάρετον καὶ δίκαιον καὶ γενναῖον. — Πέποιθα δέ.] Τοῦτο καὶ ἐπὶ τοῦ Πινδάρου ὑπὲρ ἑαυτοῦ λέγοντος νοοῦσι, καὶ ἐπὶ τοῦ Ἱέρωνος· καὶ ἐπὶ μὲν τοῦ Ἱέρωνος οὕτω· πέποιθα δὲ καὶ Θαρρῶ μή τινα ἄλλον ξένον καὶ φίλον ἐμὸν δαιδαλωσέμεν καὶ κοσμῆσαι ἐμὲ ἐν κλυταῖς καὶ ἐνδόξοις πτυχαῖς καὶ περιβολαῖς ἐπαίνων, ἶδριν τε καὶ ἐπιστήμονα καλῶν καὶ ἀγαθῶν καὶ δὴ καὶ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν σώματός τε καὶ πλούτου, ἀμφότερα· τοῦτό ἐστιν ἐλπίζω, ὡς οὐδένα ἄλλον ὑμνήσα, ἔμπειρίαν τε ἀγαθῶν ἔχοντα καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν· ἐπὶ δὲ τοῦ Πινδάρου οὕτω· πέποιθα δὲ μή τινα ξένον δαιδαλωσέμεν καὶ κοσμεῖν ἐν κλυταῖς πτυχαῖς ἐπαίνων, ἶδριν τε καὶ ἐπιστήμονα καλῶν, ἢ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ τὴν τοῦ λόγου δύναμιν, ἀμφότερα· τοῦτ' ἐστὶν ἐλπίζω ὡς οὐδεὶς τῶν ἀνθρώπων ἐπίσταται οὕτως ἐγκωμιάζειν τοὺς φίλους ὥσπερ ἐγὼ καλλίστους ἐγκωμίων τύπους εἰδὼς καὶ κατὰ τὴν τοῦ λόγου δύναμιν πάντας ὑπερέχων· ἔστι δὲ τὸ καλῶν ἶδριν καὶ τὸ δύναμιν κυριώτερον ἰσοδυναμοῦντα πρὸς τὸ Ἀμφότερα· διὸ καὶ μετ' ἐκεῖνα τοῦτο λέγω κατὰ τὴν σύνταξιν, εἰ καὶ προηγεῖται κατὰ τὴν φράσιν· ἀγνοοῦντες δὲ τινες ὄντα ἔξωθεν λαμβάνουσιν.

167. Ἶδριν.] Ἔμπειρον· ἐπιστήμονα.

169. Δαιδαλωσέμεν.] Κοσμήσειν πτυχαῖς, τοῖς ποιήμασιν· ἐπεὶ διαιρεῖται εἰς στροφὰς καὶ ἀντιστροφὰς καὶ ἐπῳδούς. Ἄλλως· ὑμνον πτυχαῖς, τῷ ὕμνῳ κατὰ περίφρασιν· οἰκείως δὲ πρὸς τὸ δαιδαλωσέμεν, καὶ τὸ ποικίλλειν ὥσπερ ἐπὶ κατασκευάσματος τὸ πτυχαῖς ἐπήγαγεν.

171. Θεὸς ἐπίτροπος.] Ὁ μὲν φροντιστὴς τῆς σῆς εὐδαιμονίας, ὦ Ἱέρων, ἀδιάπαυστόν σοι τὴν εὐδαιμονίαν φυλάττει· οἱ δὲ πάλιν ἐπὶ τοῦ Πινδάρου· ἐπίτροπος ὁ Θεὸς τῷ ἐμῷ τρόπῳ· καὶ λέγει τὴν Μοῦσαν· Θεὸς ἐπόπτης καὶ διοικητὴς ταῖσι μήδεται μερίμναις, κῆδος ἔχων τοῦτο, εἰς τοῦτο σπουδάζων, τὰ σοῦ προνοεῖσθαι. Ἄλλως· Θεὸς ἐπίτροπός σου

ὧν ἔχει τε καὶ φυλάσσει τοῦτο ταῖς σαῖς μερίμναις, ἔμπειρόν τε εἶναι καὶ δυνατὸν τῶν καλῶν καὶ ὁραστήριον· μήδεται δὲ, ἐργάζεταί σε νικητήν. — Θεός.] Ἴτω ὁ Ἑρμῆς, ἐὼν καὶ ὑπάρχων ἐπίτροπος τῆς ἐμῆς τέχνης, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ ἐμοῦ, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, ἔχων τοῦτο τὸ βουλεύεσθαι κῆδος καὶ φροντίδα· καὶ πάλιν· ὁ ἐὼν καὶ ὁ ὑπάρχων ἐπίτροπος σὸς Θεὸς, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ σοῦ.

174 Εἰ δὲ ταχὺ λίποι.] Εἰ δὲ μὴ ταχέως μὲ ἐπιλίποι ἡ Μοῦσα· καὶ φανερώτερον τὸν λόγον ἐρῶ ἑαυτοῦ τίθησιν ὁ Πίνδαρος· οὐκ ἦν γὰρ προσῆκον περὶ τοῦ ἐγκωμιαζομένου λέγειν, ἐὰν μή σε ἐπιλίποι ἡ εὐδαιμονία, ἀλλὰ μετριώτερόν ἐστιν αὐτὸ λαμβάνειν ἐπὶ τοῦ Πινδάρου· ἐὰν οὖν, φησὶ, μή με ἐπιλίποι ἡ Μοῦσα, δυνήσομαί σοι καὶ αὖθις τεθρίππῳ νικήσαντι γλυκύτερον καὶ ἡδύτερον ὕμνον γράψαι καὶ ἐγκωμιάσαι σε, βοηθὸν τῶν ἐμαυτοῦ ποιημάτων εὑρίσκων τὴν σὴν νίκην· σοῦ γὰρ νικήσαντος ἔσται μοι πρόφασις καὶ ὁδὸς, ἀφ' ἧς με δεῖ ἐγκωμιάσαι. Ἄλλως· ἔνιοι οὕτω συνέθηκαν τὸν λόγον· ἐὰν μή με ὁ βίος ταχέως ἐπιλείψῃ, ἀντὶ τοῦ ἐὰν μὴ τελευτήσω ἀλλὰ ζῶ, σὺν τῷ ταχεῖ τεθρίππῳ παραγεγονὼς εἰς τὸν εὐδείελον Κρόνιον, τουτέστι τὴν Ὀλυμπίαν, ἐλπίζω γλυκυτέραν σοι καὶ ἡδίω τῆς νῦν ἆσαι ᾠδὴν, ὁδὸν καὶ πρόφασιν τῶν λόγων μου τὴν σὴν εὑρίσκων νίκην· τὸ δὲ, σὺν ἅρματι παραγεγονὼς, οἱονεὶ τεθρίππῳ νικήσαντος ἐν τῇ Ὀλυμπίᾳ, καὶ ἐμοῦ ἐπὶ τοιαύτῃ νίκῃ γράφοντός σοι τὸν ὕμνον. Ἄλλως· εἰ μὴ ταχὺ λίποι ὁ αἰών, ὦ Ἱέρων, καὶ ἅρματί σε νικήσαντα ἐλπίζω ὑμνήσειν· δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· εἰ δὲ μὴ ταχὺ λίποι ὁ ἐπίτροπός σου δαίμων, ἔλπομαι ἐπίκουρον εὑρὼν ὁδὸν λόγων, ποιήτειν ἐγκώμιον βοηθῶν σου τῇ ὁδῇ· Ἄλλως· εἰ δὲ μὴ τάχα λίποι, ἔλπομαι πρὸς εὐδείελον ἐλθὼν Κρόνιον καὶ ἐπίκουρον εὑρὼν λόγων ὁδὸν, ἔτι γλυκυτέραν σὺν ἅρματι Θοᾷ κλείξαι σου τὴν νίκην, ὦ Ἱέρων. — Εἰ δὲ μὴ ταχὺ λίποι.] Εἰ δὲ μὴ ταχὺ καὶ ταχέως λίποι, ἐμὲ μὲν ὁ Ἑρμῆς, σὲ δὲ ὁ σὸς φροντιστὴς Θεὸς, ἥγουν εἰ μὴ ταχέως τοῦ βίου ἀπέλθοιμεν, ἔλπομαι καὶ ἐλπίζω ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐλθὼν παρὰ τὸν εὐδείελον καὶ τὸν φανερὸν Κρόνιον λόφον, ἤτοι παρὰ τὴν Ὀλυμπίαν, κλείξειν καὶ ὑμνήσειν σε σὺν ἅρματι Θοᾷ, εὑρὼν ὁδὸν καὶ μεταχείρησιν λόγων γλυκυτέραν τῆς νῦν ἐπικουρον καὶ βοηθόν· οὐ γὰρ ἔᾶσει τὴν

νίκην ὑπὸ λήθης ἀφανισθῆναι· κρεῖττον δέ ἐστιν ὑπὲρ τοῦ Ἱέρωνος μόνου ταῦτα λέγεσθαι. — † Θεὸς ἐπίτροπος.] Ὁ Θεός, ὦ Ἱέρων, ἐπίτροπος ὢν, ἤγουν τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν, τουτέστι τῶν περί σε, ἃς ἐγὼ δηλονότι φροντίζω περὶ σοῦ, βολεύεται ἔχων ταύτην τὴν φροντίδα· εἰ δὲ μὴ ταχέως λίποι, ἔτι ἂν ἐλπίζω δοξάσειν σε ἅρματι ταχεῖ, δι' οὗ σὺ δηλονότι νικήσεις, ἀπελθὼν διὰ τῶν ἐγκωμίων παρὰ τὸν Κρόνιον λόφον τὸν εὐδείελον, ἤγουν τὸν μετέωρον καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν καὶ τὰ περὶ πὴν δείλην ἑώαν, εὑρὼν βοηθὸν ὁδὸν λόγων γλυκυτέραν.

179. Ἐμοὶ μὲν ὦν.] Ἐμοὶ μὲν οὖν δυνάμει ἡ Μοῦσα ἰσχυρότατα μέλη τρέφει τῶν λόγων, ὥστε βάλλειν καιρίως τοῖς ὕμνοις τοὺς νικηφόρους. Ἄλλως· ἐγὼ μὲν ἐπὶ μουσικῇ πέποιθα· τὸ ἐμὸν βέλος ὑπὸ Μούσης τρέφεται· σὺ δὲ ἐν τῷ πλουτεῖν μέγας εἶ· τὸ δὲ Κρόνιον, ἀκροτήριον τῆς Πίσης· περὶ γὰρ τὸν Κρόνιον λόφον ἄγεται τὰ Ὀλύμπια· τὸ δὲ τρέφει ἀντὶ τοῦ ἀλκὴν αὔξει· — Ἐμοὶ μὲν ὦν.] Ἐμοὶ μὲν οὖν ἡ Μοῦσα βέλος, ἀντὶ τοῦ λόγον, τρέφει, τουτέστι διέπει, φυλάττει, κρατερώτατον κατὰ τὴν ἰσχύν· ἐπ' ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι· τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσίν ἐστιν ἠὐξημένον τὴν ἔξοχον αὐτοῦ αὔξησιν· μὴ ἀπόβλεπε πόρσιον, ἤγουν περαιτέρω, τὴν βασιλείαν δηλονότι ἔχων· εἴθε εἴη σέ τε ταύτην τὴν ὠνιστάμενην ζωὴν διέρχεσθαι ὑφοῦ, τουτέστιν ἐπὶ μετεώρου σχήματος, καὶ κράτος ἁπάντων ἔχοντος, καὶ ἐμὲ τοσάδε, ἀντὶ τοῦ τοιάδε, ὁμιλεῖν τοῖς νικηφόροις, προφανῆ ὄντα κατὰ σοφίαν πανταχοῦ κατὰ τοὺς Ἕλληνας.

180. Ἄλλοισι δ' ἄλλοι.] Τί μέγα ἐκ ταύτης τῆς προφάσεως αἰτεῖ τὸν Ἱέρωνα· ἢ ἐπ' ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι.

181. Τὸ δ' ἔσχατον.] Τὸ τελευταῖον καὶ τὸ πλῆρες, οὗπερ οὐκ ἔστιν ὑπερβολὴν τοῖς ἀνθρώποις εὑρεῖν, κορυφοῦται καὶ ὑφοῦται καὶ ἔστι τοῖς βασιλεῦσιν· ἢ τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσιν ἔχει ἠὐξημένην τὴν ἔξοχον αὐτοῦ αὔξησιν. — Τὸ δ' ἔσχατον.] Τὸ ἐξοχώτατον, ἤγουν τὸ τῆς δυνάμεως καὶ εὐδαιμονίας ἀκρότατον οἱ βασιλεῖς ἔχουσιν

182. Μηκέτι πάπταινε.] Μηκέτι περίβλεπε καὶ ζήτει τῆς οὔσης εὐδαιμονίας ἐν σοὶ μείζονα· ἔχεις γὰρ τὸ τέλε-

ον· μηκέτι περαιτέρω ζήτει τούτων, ὧν ἔχεις βασιλεὺς γενόμενος.

184. Εἴη σά τε τοῦτον.] Ὁ νοῦς· εἴη δὲ σὲ μὲν τοῦτον τὸν χρόνον, ὃν ζῶμεν, ἐν ὕψει καὶ εὐδαιμονίᾳ διαζῆν, ἐμὲ δὲ τοσαῦτα τοῖς νικηφόροις προσδιαλέγεσθαι τοῖς ἐγκωμίοις, προφανῆ καὶ ἐπίσημον ὄντα διὰ τὴν σοφίαν ἐν τοῖς Ἕλλησιν. Ἄλλως· ἀλλ' εἴη σὲ τοῦτον τὸν χρόνον, ὃν ζῶμεν, μὴ ἀποβαλεῖν τὴν βασιλείαν, ἐμὲ δὲ ἐπινικίους γράφειν καὶ ὑμνεῖν τοὺς νικῶντας.

185. Ὑφοῦ.] Τὸ μὲν ὑψοῦ τὴν εὐδαιμονίαν ᾔξατο· τὸ δὲ πατεῖν τὸ ζῆν πάλιν ᾔξατο.

186. Τοσσάδε νικαφόροις] Ἀντὶ τοῦ τοσούτοις νικηφόροις ὁμιλεῖν, οἷος εἰ σύ· χαίρω δὲ γράφων τοιάδε, καὶ ἔσται τοιαῦτα, οἷα ἐπὶ σοῦ.

187. Πρόφατον.] Φανερὸν καὶ ἔξοχον ἐν σοφίᾳ πανταχῇ κατὰ τοὺς Ἕλληνας ὄντα. — Σοφίᾳ πρόφαντον.] Οὐ ὁμολογουμένως τοῦτο λέγει κομψούμενος, ἀλλ' εὔχεται τοῦτο δοκεῖν· καὶ ἔχει τὴν δύναμιν πρὸς τὸ τοσάδε δέον γὰρ οὕτως εἰπεῖν· ἐμὲ δὲ εἴη τοσοῦτον ὁμιλεῖν τοῖς νικηφόροις, τοιούτους τοὺς ὑπὲρ αὐτοῦ ὕμνους ποιεῖν, ὡς εἶναι πρόφαντον καὶ ὑπέρτατον πανταχοῦ εἰς τοὺς Ἕλληνας ἐν τῇ σοφίᾳ· πρὸς μετοχὴν τὸν λόγον ἔτρεψε, καὶ ἀντὶ τοῦ εἶπεῖν εἶναι, ὄντα εἶπεν.

GLOSSAE INTERLINEARES ADOLYMP. I.

Ex Vrstisii. A.

1. Τῶν ἄλλων στοιχείων, πυρὸς, ἁλὸς, γῆς· δηλονότι τῶν ἄλλων στοιχείων· τὸ προοίμιον ἐκ συγκρίσεως. 2. Περιφανὴς ἐστι δηλονότι· λαμπρὸν ἐν νυκτί· ἐνταῦθα γὰρ συνάπτεται. καιόμενον. 3. καθὰ διαλάμπει, ἤγουν διὰ πάντων τούτων πρέπει· λάμβανε δὲ συνεκδοχικῶς τοῦτο πρὸς τὸ χρυσός. 4. ταῦ τοὺς ἄνδρας μεγίστους ποιοῦντος, ἤτοι τοῦ ὑπερηφανίαν

ἐμποιοῦντος· ἐξόχως. 5. ἀγῶνας· φωνεῖν ἀντὶ τοῦ ὑμνεῖν. 6. ἐπιθυμεῖς, ἐθέλεις, ὦ φίλη ψυχή, προσφιλὴς ἐμὴ ψυχή· 7. ἡλίου ἧγουν μὴ ζήτει ἰδεῖν· 8. ἄλλο φλογωδέστερον καὶ λαμπρότερον· 9. ἐν ἡμέρᾳ· λαμπρὸν, τοιαύτη γὰρ ἡ τῶν ἄστρων φύσις· ἄστρον ἀντὶ τοῦ ἀστέρα. 10. τοῦ μὴ ὑπό τινος οἰκουμένου ἀέρος· φερόμενον δηλονότι ἧγουν μὴ ὑπὸ νεφελῶν κρυπτόμενον. 11. ἧγουν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος. 12. κρείττονα τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνος λέξομεν δηλονότι· ὅθεν, ἀπὸ τοῦ Ὀλυμπιακοῦ· ἐκεῖνον ἧγουν ἀπὸ τῆς Ὀλυμπίας γὰρ νικῶντες οἱ ἄνδρες πρὸς ἔπαινον τοὺς σοφοὺς ἐπαίρουσιν. 13. ὅθεν, ἀπὸ τῆς Ὀλυμπίας, ὁ πολυθρύλλητος. 14. ἐπέρχεται, ἀμφιβάλλεται, πλέκεται ἡμῖν. 15 ἧγουν ὑπὸ τῶν σοφῶν βουλαῖς, νοήμασι, ὑμνεῖν αὐτούς· ὥστε ὑμνεῖν. 16. τὸν Δία, πλουσίαν ἀφικομένους. 17. μακαρίαν. οἰκίαν. 18. δίκαιον, ἔνομον, διεξάγει, περιέπει, διέπει. 19. ἀρχὴν ἤτοι βασιλείαν τῇ πολυθρέμμονι· ἀντὶ τοῦ πολυθρέμμονι. 20. καρπούμενος, λαμβάνων, τρυγῶν, ἀπανθιζόμενος. 22. λαμπρύνεται κοσμεῖται. 23 τῷ ἀπανθίσματι ἀπό· ἧγουν μέλεσιν ἐξαιρέτοις· ἤτοι ἐξαίρετός ἐστιν ἐν τῇ μουσικῇ. 24. καθά· κατ' ἐκεῖνο τὸ μέρος ὃ παίζομεν. 25. οἱ ἄνθρωποι. περί. συνεχῶς δὲ ἀμφὶ καθ' ὑπερβάλλον (Γρά . ὑπερβατόν.) πρὸς τὸ τράπεζαν λάμβανε· πολλάκις. 26. ἤτοι τὴν Δωρίοις μέλεσσιν ἁρμόζουσαν. 27. Τὴν κιθάραν· ἀπό· ἐν ᾧ τὴν κρεμαμένη. 28. ὦ ψυχή· καὶ κίνει δηλονότι πρὸς τοὺς ἐπαίνους· ἐνταῦθα γὰρ ἐτελεῖτο τὰ Ὀλύμπια. 29. ἤτοι τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ καὶ τῆς ἀρετῆς τοῦ ἵππου τοῦ Φερενίκου. 30. τὸν σὸν νοῦν· ἡδὺ γὰρ ἐμοὶ τὸ φροντίζειν περὶ αὐτοῦ, ἧγουν τὴν γλυκυτάτην φροντίδα τῶν ἐγκωμίων. 31. φροντίζειν ἐποίησε. 32. ὅστις ὁ ἵππος ἢ ὁπότε· ποταμῷ· ὥρμητο τὸ αὐτοῦ σῶμα· πλησίον τοῦ Ἀλφειοῦ ποταμοῦ· ἀντὶ τοῦ ἐσεύετο αὐτὸς ὁ Φερένικος· ἑαυτοῦ. 33. αὐθόρμητον καὶ μὴ δεόμενον κέντρου πρὸς τὸ αἰνεῖσθαι, ὥσπερ οἱ ἄλλοι ἵπποι· οὓς δεόμενον κέντρου· διδοὺς. 34. τῇ νίκῃ· προσεπέλασεν· τὸν Ἱέρωνα τὸν αὐτοῦ κύριον· ἤτοι τὸν Ἱέρωνα· ἤνεσε. 35. Συράκουσα πόλις Σικελίας· τὸν τῇ ἱππικῇ χαίροντα. 36. ἤτοι διάδηλόν ἐστι. οὕτω χρὴ τὸ κῶλον τοῦτο γράφειν διὰ τὸ μέτρον. 37. αὐτοῦ τοῦ Ἱέρωνος· ἢ τῷ ἵππῳ· ἤτοι τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν· αὐτῷ, ἤτοι αὐτοῦ τοῦ Ἱέρωνος. 38. ἤτοι τῇ Πελοποννήσῳ· ἧγουν τοῦ Πέλοπος· ὁ μεγάλην ἔχων ἰσχύν. 39. ἐπροθύμησεν, εἰς

ἔρωτα ἦλθεν, ἤτοι ἔρωτα ἔσχε· ὁ τὰν γᾶν συνέχων ὁ Ποσειδῶν. 40. ἀρ' οὗ αὐτὸν τὸν Πέλοπα τοῦ ἱεροῦ δι:ὰ τὴν Θυσίαν ἐξήνεγκεν. 41. ἢ τὰ τῶν ἀνθρώπων ἐπικλώθουσα τύχη· ἦγουν ἐλεφαντίνου, ὅστῳ δηλονότι· λαμπρόν. 42. κεκοσμημένον ἢ ἔχοντα. 43. οὕτως ἔκπληξις ὑπάρχει· οὕτως ἄξια θαύματος καταπολύ. 44. κατά τι ἀνθρώπων. 45. ἤτοι ἔξω τοῦ ἀληθοῦς λόγου. 46. πεποικιλμένοι ἐκ μεταφορᾶς τοῦ μηχανικωτάτου Δαιδάλου. 47. ἐξαπατῶντι τοὺς ἀκούοντας καὶ πρὸς πίστιν ἄγουσι, παρασύρουσι λόγοι. 48. ἡ ποιητικὴ καλλιέπεια, ἤτοι δύναμις, ποιητικῶν λόγων δηλονότι ἐπαγωγὸς κατασκευάζει. 49. τὰ ἡδέα ἤτοι τὰ εὐπαράδεκτα ἀνθρώποις. 50 ἐπιτιθεῖται αὐτοῖς ἡ ἑαυτῆ. 51. ποᾶγμά τι· ἐσκέψατο, ἐμηχανήσατο ἀπὸ ἑαυτοῦ φύσεως. 52. εἶναι ἀντὶ τοῦ δοκεῖν· τοῦτο δ πολλάκις. 53 ἦγουν ὁ μετὰ ταῦτα χρόνος δείκνυσι τὸ πρᾶγμα ὑποῖόν ἐστι, καὶ ἔλεγχος ἀκριβής. 54. καὶ ἀληθείας· γίνονθ' ἔλεγχοι τοῦ ψεύδους, τῆς ἀληθείας. 55. παντὶ· φάναι, εἰπεῖν. 56. πρέπει εἰκὸς, περὶ Θεῶν· τουτέστι λόγους ἀγαθὴν δόξαν ἔχοντας· περὶ Θεῶν. 57. ἐλάττων, ἀντὶ τοῦ·οὐδεμία μέμψις. 58. Πέλοψ· ἤτοι περὶ οὗ ἐναντίως. 59. ἱστορικῶν ποιητῶν, εἶπω· ἔχει δὲ τὴν δύναμιν πρὸς τὸ ἁρπάσαι· ποιητῶν δηλονότι. 60. ᾄδεται· συνήγαγε· τοὺς Θεοὺς δηλονότι· ὁ σός· Τάνταλος. 61. δικαιότατον· ἐπεὶ σὴ ἀντίδοσις ἦν ὧν ὑπὸ Θεῶν ἀγαθῶν ἔπασχεν· εὐτεβέστατον. 62. Τὴν ἀμοιβαίαν δεξίωσιν· ὅρος τὸ λεγόμενον Κουζηνᾶς νῦν, ἔνθα ἡ Νιόβη λελέξεται. 63 κατὰ ἀμοιβὴν, ἀντίδοσιν γινόμεναι· διδούς. 64. Τὸν λαμπρὰν τρίσινναν ἔχοντα Ποσειδῶνα, ἤτοι τὸν Ποσειδῶνα τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον. 65. τρωθέντα, μαλαχθέντα τὸν λογισμὸν, τῇ σῇ ἐπιθυμίᾳ, ἤτοι ὑπ' ἔρωτος. 66. ἦγουν ἐν τῷ χρυσοῦς ἵππους ἔχοντι αὐτοῦ ἅρματι· ἐπὶ τῶν χρυσῶν ἵππων, ἀντὶ τοῦ ἐν ἅρματι χρυσῷ. 67. ὑπέρτατον, ἔξοχον· τοῦ μεγίστως τιμωμένου, πάνυ τιμίου. 68. πρὸς τὸ οἴκημα. μετενέγκαι, ὥστε μεταβιβάσαι. 69. ὅπου ἦλθεν ὑστέρῳ· πρότερος γὰρ Γανυμήδης Πέλοπος· τὸ δὲ ἔνθα καθ' ὑπερβατὸν πρὸς τὸ ἦλθεν, 70. ἀπηνέχθη, πρότερον δηλονότι· ὃν αὐτὸς ὁ Ζεὺς γεγονὼς ἐκ Φρυγίας ἥρπασεν. 71. ἐπὶ τὸ αὐτὸ χρέος· ἐπὶ συνουσίᾳ· γὰρ καὶ αὐτὸς ὑπὸ τοῦ Διὸς ἡρπάγη· τρωθέντος τῷ αὐτοῦ· ἐπὶ χρείαν τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. 72. ἐπεὶ δὲ ἁρπονὴς ὑπῆρχες. 73. τῇ Εὐρυανάσσῃ τοὔνομα· κατὰ πολὺ ζητοῦντες. 74. ἄνδρες ἦγαγον. 75. ἀντὶ τοῦ

εἶπεν, ἐψιθύριζε· κρυφίως. Δωρικῶς περισπᾶται. 76. τῶν φθονούντων τὰ τοῦ πλησίον καλά. 77. βράζουσαν. ἐπὶ σφοδρότητα. 78 κατέκοψαν οἱ Θεοί, ἤτοι ταμόντες. 79. ἐμβεβλήκασι τὴν περιβεβραγμένην τῷ ἐντὸς τοῦ λέβητος ὕδατι ξέοντι· ἐν ᾧ ἥψοντο· εἰς μικρότατα. 80. διεμέρισαν πρὸς ἀλλήλους· διεμερίσαντο ἐν τῇ τραπέζῃ. ἔφαγον· σοῦ. 82. ἀμήχανον, ἀβούλητον· ἀμήχανον καὶ ἄπορον, ἤτοι ὑπ' οὐδενὸς λογισμοῦ ἐκδιδομένου· ἤτοι ἀκρατῆ τῆς γαστρός. 83. τῶν Θεῶν· τινά· 84. τοῦ τοιαῦτα λέγειν· ἀντὶ τοῦ, τοῦ σκοποῦ· οὐδεμία ὠφέλεια, ἀλλὰ μᾶλλον βλάβη· ἔλαχεν ἐκληρώσατο· 85. συχνῶς ἀντὶ τοῦ κατὰ πολύ· ἤτοι τοὺς κατηγοροῦντας εἰς τοὺς Θεούς. 86. τοῦ οὐρανοῦ· οἱ ἐπιτηρηταὶ Θεοί, οἱ ἔφοροι· περὶ τοῦ Ταντάλου. 87. ὁ Τάνταλος ἦν οὗτος ὁ τιμηθείς. 88. κατασχεῖν, ἀντὶ τοῦ διοικεῖν τὴν μεγάλην εὐδαιμονίαν ταύτην. 89. ἐδυνήθη· τῇ πλησμονῇ τῆς τιμῆς· ἤτοι ὑπὸ τοῦ κόρου· τῷ ὄγκῳ τῆς τιμῆς· ἔλαβε. 90. βλάβην μεγάλην ὑπερβολικὴν καὶ ἀμήχανον. 91. βλάβην, δι' ἣν αὐτῷ ἦγουν ὁ Ζεύς· δι' ἣν αὐτῷ. 92. ὑπεράνω· ἐπειδὴ δὲ ὁ λίθος ἦν ἄτη, διὰ τοῦτο τὰν εἰπὼν ἐπήγαγε τὸ λίθον· ἀντὶ τοῦ μέγαν· τουτέστι κατ' αὐτοῦ. 93. λίθον· προθυμούμενος ὁ Τάνταλος ἀποῤῥίψαι· ἀντὶ τοῦ ἀπώσασθαι. 94. χαρᾶς ἦγουν πόῤῥω ἡδονῆς στρέφεται, ἐξίσταται καὶ πικρία σύνεστιν. 95 εἰς ὃν οὐκ ἔχει μηχανὴν ἀπαλλαγῆς εὑρεῖν. ἀμήχανον, ἀσθενῆ. 96. τὸν ὑπὸ τῷ λίθῳ κεκρατημένον μόχθῳ καὶ λύπῃ· τουτέστι ἰσχυρὰν κάκωσιν ἔχοντα. 97. τοῦ πεινῆν, τοῦ διψῆν, τοῦ ἑστάναι. 98. τῶν Θεῶν· διότι. 99· ἡλικιώταις. τοῖς ὁμοτρόποις ἀνθρώποις· τῷ Σιφύσῳ, τῷ Τιτυῷ καὶ τῷ Ἰξίονι. 100. πῶμα Θεῖον τροφὴν Θεῶν, καὶ. 101. ἔδωκεν τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ· δι' ὧν, ἤγουν τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας· ἀθάνατον. 102. ἐποίησαν, αὐτὸν δηλονότι. 103. ἐλπίζει. 104. λήσειν· πράττων τι ἀστοχεῖ, σφάλλει, ἀποτυγχάνει τοῦ πρέποντος σκοποῦ. 105. διὰ τοῦτο, λέγει τὸ μεταδοῦναι ἀνθρώποις τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος καὶ ἐξειπεῖν τὰ Θεῖα μυστήρια· κἀξήγαγεν ἐξ οὐρανοῦ. 106. οἱ Θεοί· αὐτῷ, αὐτοῦ δηλονότι. 107. ἐπὶ τὸ ταχυθάνατον, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν. 108. πάλιν· ἀνθρώπων γένος 109. ἀνθηρὸν, εὐανθῆ, θαλερὸν· ἡλικίαν, αὔξησιν, ἀναδρομὴν σώματος. 110. τρίχες αἱ τριχώσεις, αὐτόν· ἦγουν ὅτε εἰς τοιαύτην ἡλικίαν ἦλθεν ὡς ἐξανθῆται γένειον πώγωνα· ἐστιφάνουν στέφουσιν· ἐποίουν· αὐ-

τόν. 111. πρόχειρον· τοιοῦτος γὰρ ἦν ὁ τῆς Ἱπποδαμείας γάμος ἐν κοινῷ προκείμενος, ἤτοι προτεθειμένος τῷ βουλομένῳ· ἤτοι ἀναπολήσας κατὰ νοῦν, ἠγάπησεν. 112. τοῦ Οἰνομάου τοῦ ἐν τῇ Πίσῃ κατοικοῦντος, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ· ἀντὶ τοῦ Οἰνομάου δηλονότι. 113. ἀρίστην· ἀγαθὸν κλέος ἔχουσαν. 114. λαβεῖν, ἤτοι σχεῖν, λαβεῖν· πλησίον· οὕτω γράφε διὰ τὸ μέτρον. 115. λευκῆς θαλάσσης μόνος ἐν νυκτί. 116. ἐπεβοᾶτο· τὸν μεγαλόκτυπον· ἐκάλει, τὸν Ποσειδῶνα δηλονότι· 117. τὸν μεγάλην τρίαιναν ἔχοντα Ποσειδῶνα· τρίαινα δὲ ἀπὸ τοῦ τρία καὶ τὸ αἰνὸν τὸ χαλεπὸν· τὸν τῇ καλῇ τριαίνῃ χρώμενον· τῷ Πέλοπι ὁ Ποσειδῶν. 118. παρά· πλησίον· πλησίον ἐράνη. 119. γρ. τῷ δ' ἔειπε. τῷ Ποσειδῶνι εἶπεν ὁ Πέλοψ δηλονότι· προσῳλῇ. 120. τῆς Ἀφροδίτης τῆς ἐμῆς· τῆς Ἀφροδίτης κατά τι. 121. ὦ Πόσειδον· σοὶ δηλονότι κεχαρισμένα. 122. ὑπάρχει· ἀμέλυνον, ἐξασθένησον· ποίησον, κατάσχες ἀνενέργητον. 123. τὸ σιδηροῦν. 124. ἤτοι ἐπὶ ταχυτάτου ἅρματος. 125. πορευθῆναι ποίησον παράπεμψον. 126. πόλιν Πελοποννήσου· νίκην πλησίασον ἐμὲ, ἔνωσον ἐμέ. 127. ἤτοι τρεῖς πρὸς τοῖς ἕπτα ἀποκτείνας ὁ Οἰνόμαος. 128 γρ. ἐρῶ τας ἐπαξιοῖ καὶ ἀπολέγει ἤτοι εἰς τὸ ἐπιὸν παραπέμπει. 129, 130. οἷος οὗτος, τουτέστι τὸ πρᾶγμα, ἐφ' ᾧ μέγας κίνδυνός ἐστι· δειλόν, ἤτοι οὐ γενναῖον τὴν ψυχὴν ἄνδρα. 131. οὐ δέχεται· ἐκείνοις γὰρ οἷς ἐστιν ἀνάγκη ἀποθανεῖν ὁπωσδήποτε· ἀνθρώποις ἀπαραίτητον ὑπάρχει. 132. κατὰ τί ἂν· ἀκλεὲς· ἦγουν ἐντὸς οἴκου ἐν ἀφανείᾳ, ἐν ἀκινησίᾳ. 133 δαμάζοι· τὰ γὰρ ἐφόμενα κρέα οἱονεὶ τῷ πυρὶ δαμάζεται· ἤτοι ἑαυτῷ ἐφέλκει ματαίως. 134. ἀμέτοχος· δηλονότι ὢν· ἦγουν τῷ Πέλοπι· ὁ πρὸς Οἰνόμαον. 135. ὁ ἀγὼν συνίζησις· ὑποτεθήσεται, ἀγωνισθήσεται, ὑποκείμενος ἔσται εἰς τὸ ἀγωνίσασθαι αὐτόν· σὺ Δωρικῶς. 136. ἤτοι ἀποδᾶσιν πράξεως· προσῳλῇ δίδου· λέγω δὴ τὸ αὐτὸ νικῆσαι, ὃ πάντων ἐμοὶ φίλτατον. 137. οὕτως εἶπεν ὁ Πέλοψ, ἤτοι οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι. 138. ἀνηνύτοις, ἀδυνάτοις λόγοις. 139. τὸν Πέλοπα κοσμῶν καὶ σεμνύνων, τιμῶν ὁ Ποσειδῶν. 140. ἅρμα· χρυσοῦν· ἤτοι ὑποπτέρους ἀντὶ τοῦ ταχυτάτους. 141. μηδέποτε πρὸς τὸν δρόμον ὀκλάζοντας, ἤτοι οὐ κοπιῶντας. 142. ἐκράτησεν, καθεῖλεν· ἤτοι τὸν Οἰνόμαον· ἰσχύν· ὅπως νικήσας ἔλαβε Ἱπποδάμειαν. 143. ἤτοι τὴν Ἱπποδάμειαν εἶχεν· ἀπὸ κοινοῦ ἔλαβεν· σύνοικον. 144. ἀντὶ τοῦ ἐγέννησεν· λαῶν ἡγεμόνας·

τὸν Ἀτρέα, τὸν Θυέστην, τὸν Πιτθέα, τὸν Ἀλκάθουν, τὸν Πλεισθένην καὶ τὸν Χρύσιππον ἡγεμόνας. 145. ταῖς ἀνδρὶ προσηκούσαις, ἤγουν φροντίδα ποιουμέναις τῶν ἀρετῶν· ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦταν καὶ φροντίδες. 146. Θυσίαις ἐξ αἵματος κούρων, ἤγουν χοαῖς δι' αἱμάτων. 147. Εἰς κόσμον αὐτοῦ γινομέναις, περιφανέσιν· ἤτοι σύνασταν, ἤνωνται. 148. ἤγουν τῇ Πελοποννήσῳ ἀπὸ μέρους πεσόντων, ἤτοι Ἑλλήνων· ῥεύματι· πεσόντων, ἤτοι τροπαίοις. 149. τάφον περιπολούμενον, περιπολεῖσθαι δυνάμενον. 150. ἔνθα πολλοὶ ξένοι συνάγονται· ἔνθα πολλοὶ ξένοι συναθροιζόμενοι ἠγωνίζοντο. 151. τῷ ἐν Ὀλυμπίᾳ τοῦ Διός· ἡ δόξα. 152. ἐκ μακροῦ ἄνωθεν καὶ ἐξ ἀρχῆς· βλέπει, ἤγουν ἐλλάμπει, βλέπεται, περιφανής ἐστι. 153. ἤτοι τοῦ Ὀλυμπιακοῦ ἀγῶνος· ἐνταῦθα γὰρ ἡμιλλήσατο Πέλοψ πρὸς Οἰνόμαον· οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ. 154. ἵνα. 155. ἀμιλλᾶται. 156. ἀκρότητες, μεγέθη καὶ δυνάμεις· γενναῖα καὶ ἀνδρικὰ ἐργαζόμεναι. 157. ἐκεῖ ὧν· τούτῳ τῷ ἀγῶνι δηλονότι· περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον· αὐτοῦ. 158. γλυκεῖαν, ἡσυχίαν, ἠρεμίαν· 159. ὧν ἠγωνίσατο ἀγώνων, βραβείων· ἕτερον ἀγῶνος. 160. παρ' ἡμέραν ἑκάστην, ἤτοι τὸ διηνεκὲς τὸ κατὰ τὴν ἐνεστῶσαν ἡμέραν, ἤτοι τὸ ἐνεστὸς ἀγαθόν. 161. ἐξοχώτατον καὶ εὐδαιμονίας ἀκρότατον, κράτιστον· ἀντὶ τοῦ ὁρατ. 162. ἀνθρώπῳ· ἐγκωμιάσαι. 163. τὸν ἐν τῇ Ὀλυμπίᾳ νικῶντα· κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς, ὃν ὑπεθέμην, δηλονότι τὸν Ἱερωνι. 164. κοιλίᾳ, ἡ Θηβαϊκὴ· διὰ μαλπῆς, ἤγουν ᾠδῆς Διαλίδος, ἤτοι Θηβαϊκῆς ἡ Πινδαρικῆς. 165. πρέπει· ἐλπίζω, θαῤῥῶ· φίλου. 166. κατὰ τά. 167. ἀγαθῶν ἐπιστήμονα, ἔμπειραν. 168. ἰσχύν· ἐπικρατέστερον. 169. ἀνθρώπων· ἐν δόξαις, ἐξακουσμίαις· κοσμῆσαι, ὑμνῆσαι, κοσμήσειν. 170. κοσμήσειν· ἐκείνων· μεθόδοις, στροφαῖς. 171. ὁ Ἑρμῆς, ἡ ὁ ἀγαπῶν σε δαίμων· ἐπιτηρητὴς τῆς ἐμῆς τέχνης ἡ σοῦ ἡ καθόλου πάντων· ἤγουν ὁ τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν. 172. ταῖς σαῖς· βουλεύσεται. 173. τὸ ὑπὲρ ἐμοῦ καὶ σοῦ βουλεύσεσθαι, ἤτοι ταύτην τὴν φροντίδα. 174. φροντίσιν· ταχίως, ἐμὸς ὁ βίος δηλονότι. 175. εἰς τὸ ἐξῆς τῶν νῦν ἂν· ἐλπίζω. 176, 177. ἐν ᾧ τότε νικήσεις, δι' οὗ σὺ νικήσεις· κοσμήσειν σε, δοξάσειν σε, θαυθὸν τῇ σῇ νίκῃ μετα χειρασιν· φανερὸν διὰ τὸ ὑψηλὸν τοῦ τόπου ἤτοι τὸν μετεωρον· ἀπελθόν. 179. λόφον, ἔξωθεν τὴν Ὀλυμπίαν ἰσχυ-

ρότατον· ἀλλὰ πολλὰ δύναται ἐν ἐμοὶ Μοῦσα· λόφον· οὖν. 180. ἀντὶ τοῦ λόγον· δυνάμει αὔξει, φυλάττει· πράγμασι. 181. ὡς ἐγὼ εἰς λόγον ὀνομάτει· τοῦτο γὰρ νοεῖται· ἤτοι τὸ μέγιστον τῶν ἄλλων. 182. ἤτοι ἠὐξημένον ἐστὶ τὴν ἔξοχαν αὐτοῦ αὔξησιν. 183. σκόπει, ἀπόβλεπε προσωτέρω, ἤγουν μὴ ζήτει δύναμιν μείζονα ἤγουν περαιτέρω, τὴν βασιλείαν ἔχων. 184. εἶδε τὸν τῆς σῆς ζωῆς, ἤτοι ταύτην τὴν ἐνισταμένην ζωήν. 185. ἐπὶ μετεώρου σχήματος βαίνειν, ὀρχεῖσθαι. 186. ἀντὶ τοῦ τοιάδε· τὸ τοῦτον· τοῖς νικηταῖς. 187. ἐγκωμίων· ἤτοι προφανῆ ὄντα κατὰ σοφίαν· 188. ὄντα πανταχοῦ· γρ. πάντα.

Specimen glossarum ex codice Petri Candidi.

1. Διθόμενον, κατόμενον, λαμπόμενον. 5. γαρύειν, ὑμνεῖν, φωνεῖν. 6. ἔλδεαι, ἐπιθυμεῖς· ἦτορ, στῆθος, θυμός. 7. σκόπει, ζήτει ἰδεῖν. 12. φέρτερον, κρέσσονα. 13. ὄθεν, ἀπὸ τῆς Ὀλυμπίας· πολύφατος, οὗ πολὺ κλέος. 14. ἀμφιθάλλεται, πλέκεται. 15. κελαδεῖν, ὥστε ὑμνεῖν· 16. ἄρνυται, πλούσιον. 17. μάκαιραν, ταὐτὸ τοῦ μακαρίαν· ἑστίαν, οἰκίαν. 19. σκᾶπτον, ῥάβδον ἤτοι βασιλείαν· πολύμαλον, ταυτὸ τοῦ πολυθρέμμονα. 20. ἑρέπων, τρυγῶν. 21. πασᾶν, τὰς γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ων λεγούσας καὶ ἱπερισπωμένας διὰ τοῦ αν προφέρουσι. 22. ἀγλαΐζεται, λαμπρύνεται. 23. ἀώτῳ, ἤτοι μέλεσιν ἐξαιρέτοις. 25. ἀμφὶ, περὶ· Θαμὰ, πολλάκις. 31. ἔθηκε, ἐποίησε. 33. δέμας, ἑαυτοῦ. 34. κράτει, τῇ νίκῃ· 40. ἔξελε, ἐξήνεγκε. 41. φαίδιμον, λαμπρόν. 42. κεκαδμένον, ἀντὶ τοῦ κεκασμένον· Δωρικὴν ἔχει τροπὴν τοῦ σ εἰς δ κατὰ τὸ ἴδμεν, ὅ ἐστιν ἴσμεν. 43. ἢ Θαῦμα τὰ πολλὰ, ὄντως ἀξιοθαύματα ταῦτα κατὰ πολύ. 44. πού τι, κατά τι. 47. ἐξαπατῶντι, ἐπὶ τῆς β' συζυγίας τῶν περισπωμένων τὰ τρία πρόσωπα τῶν πληθυντικῶν ἐνεργητικῶν, τὸ βοῶσι καὶ γελῶσι, βοῶντι καὶ γελῶντι λέγουσι· ὁμοίως δοτικὴ τῶν ἑνικῶν τῶν ἰδίων μετοχῶν. 49. μείλιχα, γλυκέα. 55. φαμεν, εἰπεῖν· 56. ἀμφὶ δαιμόνων, περὶ Θεῶν. 58. σὲ δ' ἀντὶ, ἀποστροφὴ πρὸς Πέλοπα. 61. εὐνομώτατον, εὐσεβέστατον. 66. ἀν' ἵππους, ἀνὰ ἀντὶ τῆς σὺν καὶ Ὁμηρος· χουσέῳ ἀνὰ σκήπτρῳ. 68. πατὶ, τὴν πρὸς ποτὶ λέγουσι. μεταβᾶσαι, ὡς καταβιβάσαι. 70. Γανυμήδης, πρότερον ὀ-

λονότι. 71. τωῦτ' χρέος, ἐπὶ χρείαν, ἐπὶ τοῦ Διὸς τὴν αὐτὴν τοῦ τῇ Ποσειδῶνος. 75. ἔνεπε, Γλ. ἔλεγε· κρυφᾷ, Σχ. Δωρικῶς περισπᾶται· 80. δεὐτατα, Σχ. ὕστατα, ἔσχατα· καὶ τὴν σοῦ γενικὴν σέθεν λέγουσιν. Σχ. δεῦσαι γὰρ βρέξαι, βάψαι. 90. ὑπέροπλον, Γλ. ὑπὲρ τὸ δέον. 91. τὰν, Γλ. δι' ἣν. 92. αὐτῷ, Γλ. κατ' αὐτοῦ. 93. τὸν, Γλ. ὃν· μενοινῶν, Γλ. φροντίζων, μεριμνῶν· προθυμούμενος. 94. ἀλᾶται. Γλ. πλανᾶται 95. ἀπάλαμον Σχ. ἀμήχανον, ἀσθενές· παλάμη, χείρ, τέχνη. Παλαμῆς ἔργον τοῦ τεχνώτου (Στέφ. παλάμη.). 109. φυὰν, Γλ. φύσιν. 116. ἄπυεν, Γλ. ἔκραξε. 122. Ποσείδαον, Σχ. ταύτην (ἀλ. τὴν) κλητικὴν οἱ μὲν Δἰολεῖς Πόσειδον, οἱ δὲ Δωριεῖς Ποσείδαον (ἄλ. προφέρουσι. 127. ὀλέσας Σχ. γρ. ὀλέσαις· ταῖς μετοχαῖς τῶν ἀορίστων προστιθέασι τὸ ι. 132. τί, Σχ. γρ. τά· τὸ τί τὰ λέγουσι. 136. δίδοι, Σχ. τὸ δίδου δίδοι, καὶ τὰ ἄλλα ὁμοίως τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν προφέρουσι· 144. λαγέτας Σχ. Ὁμήρος· ὦ λαοί τ' ἐπιστεράφεται καὶ τόσσα μεμήλει (Ἰλιάδ. β, 25.) 148. κλινεῖς, Γλ. πεσῶν καὶ ταφείς. 158. εὐδίαν, Σχ. ὅτε μὲν ἄρα νίκην ἔνεγκαν πάλης καὶ δρόμων καὶ τοιούτων (ἄλ. καὶ) ἐτόλμησαν ἐπέχεσθαι λεγομένου πράγματος ὑπὸ πολλῶν εὐδαίμονος (ἀνάγν. πράγματος ὑπὸ π. εὐδ. λ.) 167. ἴδριν, Γλ. ἐπιστήμονα, ἔμπειρον. 172. μήδεται, Γλ. βουλεύεται, τεχνάζεται. 178. εὐδείελον, Γλ. εὖ πρὸς δείλην κείμενον, οἷον πρὸς δύσιν εὐπόριστον. 183. πάπταινε, Γλ. περίβλεπε. 183. πόρσιον, Γλ. πόρρω, πόρρωθεν, ἔμπροσθεν. 188. παντᾶ. Σχ. τὸ πάντα περισπῶσι, παντᾶ λέγοντες, Δωριεῖς.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Β'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ δευτέρου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. Τὸ ά, περιοδικὸν, ἦγουν ἐκ δύο ἰάμβων καὶ δύο τροχαίων· περιοδικὸν δὲ λέγεται, διότι περιοδεύει τὸ μέτρον, ὡς

γίνεσθαι τὸ ἀπ' ἀρχῆς ὅμοιον τῷ ἀπὸ τέλους· υ-υ--υ-υ. Τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας ἀρχόμενον, οἰκίας τῷ Ἰωνικῷ· ὁ δὲ πρῶτος ποὺς διαλύεται εἰς τρίβραχυν χορεῖον· πολλάκις δὲ καὶ ὁ δεύτερος υ υ υ-υ--υ. Τὸ γ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον παραδιδοῦσι δὲ οἱ ῥυθμικοὶ, ὅτι ἐν τῷ ἀντισπαστικῷ ὁ πρῶτος ποὺς τοῦ ἀντισπάστου πρώτου εἰς πόδας τέσσαρας τοὺς δισυλλάβους μεταλλάσσεται, ὡς καὶ ἐνταῦθα· ὅρα γάρ.... ἡ δευτέρα συζυγία ἰαμβικὴ ἐστιν οἰκεία τῷ ἀντισπάστῳ υ υ-υυυ-υ-. Τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ πρώτου σπονδείου· --υυ-υ υ. Τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος χορεῖος· υ-υυυ--. Τὸ ς' ἀντίσπαστος καὶ συλλαβὴ, δηλονότι μονόμετρον ὑπερκατάληκτον· υ--υ-. Τὸ ζ' Ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας.... τῷ Ἰωνικῷ ἀρχομένῳ, δίμετρον καταληκτικόν· -υ-υυ υ-. Τὸ η' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· --υυ--υ-. Τὸ θ' παιωνικὸν δίμετρον καταληκτικὸν, πλὴν ὁ ἁ τέταρτος παίων, ὁ δεύτερος πρῶτος παίων, λειπούσης καὶ τῆς βραχείας· υ υ υ-υ υ. Τὸ ι' ἀντισπαστικὸν δίμετρον καταληκτικόν· ἄρχεται δὲ ὁ δεύτερος ἀντίσπαστος ἀπὸ πυρριχίου· υ--υυυ-. Τὸ ιά' ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς, ἤγουν ἀντίσπαστος καὶ συλλαβή· υ--υ-. Τὸ ιβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· υ-υ--. Τὸ ιγ' ἰαμβικὸν ἑφθημιμερές· ὁ δὲ τρίτος ποὺς τρισύλλαβος· --υ-υυυ-. Τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ-υ-υυ υ.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κῶλων ὀκτώ. Τὸ ά χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, οἰκείας τῷ μέτρῳ· --υ--υυ-υ-. Τὸ β' δίμετρον ὑπερκατάληκτον· ἐπιχοριαμβικὸν, οὐ χοριαμβικὸν καθαρόν· ἔχει ἐπιμιξίαν πρὸς τροχαϊκὴν συζυγίαν τὴν πρώτην, ἀνοικείαν τῷ χοριάμβῳ· -υ-υ-υυ--. Τὸ γ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· ἄρχεται δὲ τὸ δεύτερον μέτρον ἀπὸ σπονδείου, κατὰ τὴν φύσιν τοῦ ἀντισπάστου ἀλλασσομένου κατὰ τὸν πρῶτον δισύλλαβον πόδα· υ--υ--. Τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον· ὁ ά τέταρτος παίων, καὶ ὁ δεύτερος συνεπτυγμένα ἔχει τὰ δύο βραχέα εἰς ἓν μακρόν· υυυ--υ-.

Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ δεύτερον χορεῖον ἔχει· υ - υ υ υ - - υ - -. Τὸ ς' ἰαμβικὸν ἐπίμικτον πρὸς τροχαϊκὰς συζυγίας· ὃ ἐλέγετο περιοδικὸν· ἀνοίκειοι γὰρ οἱ πόδες - - υ - - υ - - υ υ υ - - . Τὸ ζ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον· ἐπιωνικὸν δὲ καὶ οὐκ Ἰωνικὸν λέγεται, ὅτι ἐπιμίγνυται ἰαμβικὴ συζυγία ἀνοικεία τοῖς Ἰωνικοῖς· - - υ υ υ - υ - . Τὸ ἡ ἰαμβικὸν μικτὸν ἀπὸ τροχαϊκῆς συζυγίας τρίμετρον καταληκτικόν· - υ - - υ - υ - - -.

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ β' εἴδους.

Τοῦ β' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ' τὸ πρῶτον τῆς στροφῆς περιοδικόν, ἤτοι δύο ἰαμβοι καὶ δύο τροχαῖοι καλεῖται δὲ περιοδικόν, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος ἰαμβικοῦ ἢ τροχαϊκοῦ ἢ ἑτέρου τινός, ἀλλ' ἁπλῶς περίοδος καλεῖται τὸ ὑπεράνω τῶν τεσσάρων συλλαβῶν σύστημα· μέχρι γὰρ τεσσάρων συλλαβῶν γνώριμοι οἱ πόδες, τὸ δὲ πλέον περίοδος· τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ ἀ εἰς τρεῖς βραχείας· τὸ τρίτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ πρῶτος ἀντίσπαστος διαλύεται εἰς δύο βραχείας καὶ μακρὰν μίαν· καὶ ἡ καταλλαὶς ἰαμβικὴ· τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ ἀ σπονδείου· τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος πους χορεῖος· τὸ ς' ἀντίσπαστος καὶ συλλαβή· τὸ ζ' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς Ἰωνικοῖς γὰρ οἰκεῖοι οἱ τροχαῖοι· τὸ ὄγδοον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· τὸ ἔνατον παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ Κρητικοῦ· τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες· ἡ τελευταία ἀδιάφορος· τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ· τὸ δωδέκατον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· τὸ τρισκαιδέκατον ἰαμβικὸν ἑφθημιμερές· ὁ τρίτος πους τρίβραχυς· τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ὀκτὼ· ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἰαμβικὸν τὸ πρῶτον ἤτοι σπονδειος· συγγενεῖς γὰρ τῷ χοριάμβῳ· τὸ δ' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀρχόμενον ἀπὸ τροχαίων, ὁ μᾶλλον ἐπιχο-

ριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον· τὸ τρίτον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ Ϛ' τῆς στροφῆς, συνηρημένας ἔχον τὰς β' βραχείας συλλαβὰς τοῦ β' ποδὸς εἰς μίαν μακράν· τὸ έ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ ἕκτον μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ Λάϊον συνίζησις· τὸ ἑβδομον ἐπιωνικὸν δίμετρον· ἐπιωνικὸν δὲ διὰ τοὺς ἰάμβους, ἀνοίκειοι γάρ· οἰκεῖοι οἱ τροχαῖοι· τὸ ὄγδοον ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ δευτέρου εἴδους. Παλαιόν. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν έ.

Τοῦ δευτέρου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κῶλων ἑκάστη ιδ'. Τὸ πρῶτον περιοδικὸν ἤτοι δύο ἴαμβοι καὶ δύο τροχαῖοι· καλεῖται δὲ περιοδικὸν, ὅτι οὐκ ἔστι μέτρου τοῦ εἴδους ἡ ἰαμβικοῦ ἡ τροχαϊκοῦ ἡ ἑτέρου τινὸς, ἀλλ' ἁπλῶς περιόδου καλεῖται τὸ ὑπεράνω τῶν τεσσάρων συλλαβῶν σύστημα· μέχρι γὰρ τεσσάρων συλλαβῶν γνώριμοι οἱ πόδες τὸ δὲ πλέον περίοδος. Τὸ δεύτερον ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ πρώτου εἰς τρεῖς βραχείας. Τὸ τρίτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ πρῶτος ἀντίσπαστος διαλύεται εἰς δύο βραχείας καὶ μακρὰν μίαν, καὶ ἡ κατακλεὶς ἰαμβική· ἐμοὶ δὲ δοκεῖ ὡς ἰωνικόν ἐστι δίμετρον ἀκατάληκτον, τῆς πρώτης μακρᾶς τοῦ ἰωνικοῦ διαλυθείσης εἰς δύο βραχείας τοῦ δὲ δευτέρου ποδὸς παίωνος ὄντος δευτέρου ἀντὶ ἰωνικοῦ, ἔν τισι δὲ καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. Τὸ τέταρτον χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ πρώτου σποδείου. Τὸ πέμπτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος ποὺς χορεῖος. Τὸ ἕκτον ἀντίσπαστος καὶ συλλαβή· ἔν τισι δὲ διαλύεται ὁ ἀντίσπαστος κατὰ τὴν δευτέραν μακράν, καὶ γίνεται πεντασύλλαβος. Τὸ ἕβδομον ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς ἰωνικοῖς γὰρ οἰκεῖοι οἱ τροχαῖοι. Τὸ ὄγδοον ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ὁ δεύτερος δὲ ποὺς διάμβος ἐστὶ πεντασύλλαβος· ἐντεῦθεν δὲ μανθανέτω πᾶς, ὡς καὶ ἐν τοῖς ἰωνικοῖς εὑρηνται ἴαμβοι, ἀλλ' οὐ μόνον τροχαῖοι. Τὸ

ἔννατον παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ πυρίχου τετάρτου καὶ Κρητικοῦ. Τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες· ἡ τελευταία ἀδιάφορος· ἔν τισι μὲν γάρ ἐστιν ὁ δεύτερος ποὺς τρίβραχυς, ἔν τισι δὲ ἀνάπαιστος. Τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. Τὸ ὠοβέτατον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ τρισκαιδέκατον ἰαμβικὸν ἐφθημιμερὲς· ὁ τρίτος ποὺς τρίβραχυς. Τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ τρίτος ποὺς τρίβραχυς ἢ ἀνάπαιστος· ἑξῆς δὲ ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ἡ. Τὸ πρῶτον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον· ἡ πρώτη συζυγία ἰαμβικὴ ἐκ σπονδείου· συγγενεῖς γὰρ τῷ χοριάμβῳ οἱ ἴαμβοι. Τὸ δεύτερον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἀρχόμενον ἀπὸ τροχαίων, ὃ μᾶλλον ἐπιχοριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον. Τὸ τρίτον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται διὰ τὸ ἔχειν τόν τε ὁλόκληρον πόδα καὶ τὸ ἥμισυ τούτου. Τὸ τέταρτον παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ ἐννάτῳ τῶν στροφῶν. Τὸ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δεύτερος ποὺς τρίβραχυς. Τὸ ἕκτον μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ Λάϊον συνέζησις. Τὸ ἕβδομον ἰωνικὸν δίμετρον ἀκατάληκτον· ἔν τισι δὲ καὶ ἐκ παιωνὸς ἔστι καὶ διϊάμβου. Τὸ ὄγδοον ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν· ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι ἐξ ἐπιτρίτου δευτέρου καὶ διϊάμβων· οἰκεῖοι γὰρ οἱ πόδες ἀντισπάστῳ. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ τὰ ῥηθέντα σημεῖα.

Aliud. ex Vratisl. A. D. Pal. C.

Τῆς δευτέρας ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ ιβ'. Τὸ πρῶτον περιοδικὸν, διπλοῦς ἴαμβος καὶ διπλοῦς, τροχαῖος. Τὸ δεύτερον ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίου. Τὸ τρίτον ἀντισπαστικὸν ἀπὸ διαφόρου τοῦ πρώτου ποδὸς δίμετρον ἀκατάληκτον ἰαμβικὸν ἀπολείπει. Τὸ τέταρτον χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας. Τὸ πέμπτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ἕκτον ἀντίσπαστος καὶ συλλαβή. Τὸ ζ' ἰωνικὸν ἀπ' ἐλάσ-

τονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίου. Τὸ ή Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ' παιωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ί ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιά ὅμοιον τῷ ς' τῆς στροφῆς. Τὸ ιβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ' ἐρθημιμερὲς ἰαμβικόν. Τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ ή. Τὸ ά χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ ἰαμβικοῦ. Τὸ β' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ γ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ έ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' μικτὸν τροχαϊκὸν ἀπὸ συζυγίας ἰαμβικῆς· ἡ δὲ ἀπόδοσις ἐν τῷ Λάϊον τοῦ δεκάτου πάσχει ὑρίζησιν. Τὸ ζ' ἀπὸ Ἰωνικοῦ καὶ ἰαμβικῆς ἐπιφερομένης. Τὸ ή ἰαμβικὸν μικτὸν ἀπὸ τροχαϊκοῦ.

Θήρωνι Ἀκραγαντίνῳ] Γέγραπται ὁ ἐπινίκιος Θήρωνι Ἀκραγαντίνῳ ἅρματι νικήσαντι τὴν ἑβδομηκοστὴν ἑβδόμην Ὀλυμπιάδα ἦν δὲ ὁ Θήρων ἀνέκαθεν ἀπὸ Οἰδίποδος· ἐκήδευτε Γέλωνι τῷ τυράννῳ δοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον προτωνομάσθη νόμισμα· καὶ αὐτὸς δὲ ὁ Θήρων τὴν Πολυζήλου τοῦ ἀδελφοῦ Ἱέρωνος ἔγημε θυγατέρα, καθά φησι Τίμαιος· ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου.

1. Ἀναξιφόρμιγγες ὕμνοι.] Οἱ τῆς φόρμιγγος ἀνάσσοντες· πρῶτον γὰρ τὰ ἄσματα συντίθενται, εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται· ἢ οὕτως· ὦ ὕμνοι οἱ ὑπὸ τῆς φόρμιγγος ἀνιστάμενοι· πρῶτον γὰρ ἔκρουσεν, εἶτα ἐπῇδον καὶ τοῦτο μάρτυς Ὅμηρος· (Ὀδ. α, 155.)

Ἦτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

ἐμφανίζει δὲ τὸν μουσόληπτον· ὡς ἐπιζητῶν γὰρ, τίνα ὀφείλει ὑμνῆσαι, εἶτα καθ' ἑαυτὸν δοκιμάζων. Ἄλλως· ἀναξιφόρμιγγες ἦτοι τῶν φορμίγγων ἀνάσσοντες· ἔπονται γὰρ τοῖς ὕμνοις αἱ φόρμιγγες, δι οὓς ἀπεδείχθησαν· ἢ οἱ ἀνιστάμενοι ὑπὸ φορμίγγων ὕμνοι· πρότερον γὰρ ἐνδίδωσι μέλος ὁ κιθαριστής, ἔπειτα ἡ ᾠδὴ λέγεται, ὡς καὶ ἐν Πυθιονίκαις· Χρυσέα φόρμιγξ Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον· τὴν αἰτίαν παρέστησε, παρ' ἣν τοὺς τρεῖς ἐπαινεῖ· Δία μὲν γὰρ, ὅτι τούτου ἱερὸς ὁ τόπος· Ὀλυμπιά-

δα δ' ἔστησεν Ἡρακλῆς, διὸ ὑμνητέον αὐτὸν ὡς ἥρωα· ἄνθρωπον δὲ Θήρωνα· τυποῖ δὲ ὁ Πίνδαρος, ὅτι δεῖ καθ' ἕκαστον ἐπίνικον τοὺς τρεῖς ὑμνεῖν· Θεὸν, ἥρωα, ἄνθρωπον. — † Ἀναξιφόρμιγγες.] Ἦγουν ἄνακτες τῆς φόρμιγγος· ὑπουργὸς γὰρ ἡ φόρμιγξ τῶν ὑμνων, καὶ πρὸς αὐτοὺς αὐτὴ ἁρμόζεται· καὶ τοῦνομα δὲ ἐνέργειαν δηλοῖ ἀεὶ, καὶ οὐδέποτε πάθος· ὡς τὸ ἀλεξίκακος καὶ παυσίκακος καὶ πλήξιππος, καὶ ἀλεξιάρη παρ' Ἡσιόδῳ.

2. Τίνα Θεόν.] Θεὸν βουλόμενος καὶ ἥρωα καὶ ἄνθρωπον ὑμνῆσαι, ἵν' εὐπορίαν σχῇ ποὸς τὸ φανερὰν τὴν ἑαυτοῦ καταστῆσαι γνώμην, ἐν ἐρωτήσει σχηματίζει τὸν λόγον· ποιεῖται δὲ τὴν ἐρώτησιν πρὸς τὴν ἑαυτοῦ Μοῦσαν τὴν συντιθεῖσαν τοὺς ὕμνους· τοὺς ὕμνους γὰρ τίθησιν ἀντὶ τῆς δυνάμεως τῆς συντιθείσης αὐτούς· εἶτα οὐ γυμνὰ ἐπάγει τὰ ὀνόματα τῶν ὑμνητῶν, ἀλλὰ μετὰ τῶν αἰτιῶν, δι' ἃς αὐτοὺς ὑμνεῖν βούλεται, ἵνα καὶ τὸ προσῆκον ἀποδιδοῖτο τοῖς ἐγκωμιαζομένοις· φησὶ γὰρ· ὦ ὕμνοι ἄνακτες τῆς φόρμιγγος, τίνα Θεὸν μέλλομεν ὑμνῆσειν, τίνα ἥρωα, τίνα δὲ ἄνθρωπον; ἡ Πίσα μὲν δή ἐστι τοῦ Διὸς ἱερὰ, ὥστε ὑμνητέον ἐστὶ Θεὸν τὸν Δία τὴν Ὀλυμπιάδα δὲ, ἥγουν τὸν ἀγῶνα τὸν ἐν Πίσῃ ὁ Ἡρακλῆς ἔστησε, τουτέστι συγκροτεῖσθαι ἐποίησεν, ἀκρόθινα πολέμου, ἀντὶ τοῦ ἐξαίρετον ἀνάθημα ὃ παρέσχεν ὁ πόλεμος, ὃς ἐπολεμήθη δηλονότι αὐτῷ πρὸς Αὐγείαν, ἐπεὶ οὐκ ἐδίδου αὐτῷ τὸν συμπεφωνημένον τῆς ἐξαιρέσεως τῆς κόπρου τῶν βρεμμάτων αὐτοῦ μισθόν· πρέπον δὴ οὖν δηλονότι καὶ ἥρωα ὑμνεῖν τὸν Ἡρακλέα.

3. Κελαδήσομεν.] Δοξάσομεν καὶ τιμήσομεν.

4. Ἤτοι Πίσα μὲν Διός.] Διὰ τοῦτο κελαδήσομεν τὸν Δία, Θεὸν ὄντα· ὅς ἐστι Θεός. — Ἤτοι Πίσα μὲν Διός.] Ἡ μὲν Πίσα τοῦ Διός ἐστιν ἱερὸν, ὅτι ἦν ὑμνεῖν τὸν Θεὸν δεῖ· τὸν δὲ Ὀλυμπιακὸν ἀγῶνα ἔστησεν Ἡρακλῆς· ἦν γὰρ κατά τινας παραμεληθείς.

5. Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης.] Ἱστορία ὅπως Ἡρακλῆς τὰ Ὀλύμπια ἔστησεν. Ἡρακλῆς στερηθεὶς τῶν μισθῶν, οὓς ὑπέσχετο αὐτῷ δοῦναι Αὐγείας ὁ τῆς Ἤλιδος βασιλεὺς διὰ τὴν τῆς κόπρου ἐκφόρησιν ἐστράτευσε κατ' αὐτοῦ μετὰ τὸ τετελευτηκέναι τοὺς ὡδεκα ἄθλους· καὶ πόλεμον συνάψας καὶ τοῦτον ἀνῃρηκὼς τήν τε πόλιν Ἤλιν λαμβάνει καὶ ἐκ τῶν σκύλων πανήγυριν ἔστησεν εἰς τιμὴν τοῦ Διός.

Διὰ τοῦτο κελαδήσομεν τὸν Ἡρακλέα ἥρωα ὄντα.

7. Ἀκρόθινα πολέμου.] Πρὸς Αὐγέαν πολεμήσας τὸν Ἠλίδος τύραννον καὶ νικήσας ἐκ τῆς λαφυραγωγίας τὰς ἀπαρχὰς τῶν λαφύρων προσαγαγὼν ἔκτισε τὸν ἀγῶνα. — Ἀκροθίνια πολέμου.] Ζηνόδοτος μετὰ τοῦ ι γράφει, ἀκροθίνια, ἅπερ κυρίως λέγει παρὰ τοὺς τῶν καρπῶν θῖνας, τουτέστι σωροὺς, οἷον τὰ τῆς θινὸς ἀπάργματα καὶ ἄκρα· λέγει δὲ ἡ λέξις μεταφορικῶς ἅπαντος ἀπάργματος κορυφαῖον καὶ κάλλιστον. — Ἀκρόθινα.] Εἰς χαρίσματα.

8. Θήρωνα δέ.] Τοῦτον οὖν τὸν Θήρωνα τεθριππου νικήσαντα ὑμνήσωμεν· ὁ δὲ νοῦς αὐτῷ· σεμνύεται μὲν ὁ Ὀλυμπιακὸς ἀγὼν τῷ Διὶ καὶ τῷ καταβεβληκότι τὴν ἀρχὴν Πραξιδίκῃ· οὐδὲν δὲ ἧττον καὶ τρίτον σεμνύεται Θήρωνι νενικηκότι. Θήρων υἱὸς ἦν Αἰνησιδάμου· εἶχε δὲ συγγενῆ Κάπυν καὶ Ἱπποκράτην, οἵτινες ἦσαν ἀδελφοὶ περὶ ὧν Ἱππόστρατος ἐν τῷ ς φησίν. — † Θήρωνα δέ.] Τὸν Θήρωνα δὲ ἐνδέχεται μέλετιν ὑμνεῖν· τοῦτο γὰρ τὸ Γεγωνητέον ἀπὶ ἕνεκα τετραορίας, ἀντὶ τοῦ ἀγῶνος διὰ ἅρματος νικηφόρου· δίκαιον ξένον, τουτέστιν δίκαιον ὄντα κατὰ τὴν φιλίαν τῶν ξένων· ἔρεισμα, ἤγουν στήριγμα, ἀσφάλειαν τῆς Ἀκράγαντος καὶ εὐκλεῶν πατέρων· ἐξαίρετον υἱὸν ἀπὸ τοῦ Κάδμου γὰρ κατήγετο.

10. Γεγωνητέον.] Ἄξιόν ἐστιν ὑμνῆσαι διὰ φωνῆς λαμπρᾶς ὄντα ἄνδρα καὶ νικαφόρον. — Τετραορίας.] Τοῦ ἅρματος· ἡ λέξις παρὰ τὸ ἀρηρέναι καὶ ἡρμόσθαι τοῖς ἵπποις.

11. Δίκαιον ξένον.] Τὸν μετὰ δικαιοσύνης τοὺς ξένους ὑποδεχόμενον.

12. Ἔρεισμ' Ἀκράγαντος.] Τείχισμα ὄντα τῆς Ἀκράγαντος· καὶ Ὅμηρος. (Ἰλ. η, 211.) Ἔρκος Ἀχαιῶν. Ἀκράγας δὲ πόλις καὶ ποταμὸς Σικελίας. — Ἔρεισμα.] Ἑδραίωμα.

13. Εὐωνύμων.] Ἐνδόξων. — Πατέρων.] Προγόνων· πάνυ δὲ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκώμιον· καὶ ἐνδόξων προγόνων, ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου εἶχε τὸ γένος, κατ' ἐπίτασιν αὐτὸν ἄνδρα λέγων· τῶν καλῶς ὀνομαζομένων πατέρων ἀπάνθισμα.

14. Ἄωτον.] Ἀπάνθισμα. — Ὀρθόπολιν.] Εὐθύνοντα τὴν πόλιν. — Ὀρθόπολιν.] Τὸν τῇ ἑαυτοῦ δικαιοσύνῃ ὀρθοῦντα καὶ σῴζοντα τὰς πόλεις, ὡς ἐρυσίπτολιν καὶ σωζόπολιν· ἐνταῦθα διὰ τὸ ἐνσκῆψαι τὴν Ἀκράγαντα ὁμώνυμον οὖσαν τῷ ὁμωνύμῳ ποταμῷ Ἀκράγαντι συνέκτισε καὶ αὐτὸς τὴν Ἀκράγαντα· ἡ ὀρθὸν ἐν τῇ πόλει, ἡ ὀρθὴν πόλιν ἔχοντα.

— Ὀρθόπολιν.] Τουτέστι συνιστᾶν καὶ ἀνορθοῦν τὰς πόλεις ἐπιτήδειον. Ἱστορία· ὅπως ἦλθον εἰς Ἀκράγαντα οἱ τοῦ Θήρωνος πρόγονοι· φασὶν Αἵμονα τὸν Κάδμου ἔγγονον, ἀποκτείναντά τινα ἐμφύλιον ἐκ Θηβῶν Ἀθήναζε παραγεγενῆσθαι, τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταναστάντας Ῥόδον σὺν Ἀργείοις οἰκῆσαι· καὶ μετὰ ταῦτα στάσεως αὐτοῖς ἐνταυθοῖ γενομένης εἰς Σικελίαν ἐλθόντας Ἀκράγαντα κτίσαι, πολλὰ καμόντας περὶ τὴν κτίσιν διὰ τὸ ὑπὸ τῶν ἐκεῖ κωλύεσθαι· ἄρχοντες δὲ τῶν ἀποικίαν στειλαμένων Ἀντίφημος καὶ Ἔντιμος ἦσαν, ὧν μετὰ εἰκοστὴν ἑβδόμην γενεὰν Θήρων οὗτος γέγονεν· ἱερὸν δὲ οἴκημα ποταμοῦ λέγει τὴν Σικελίαν, ἐπειδὴ ἐντὸς αὐτῆς ποταμὸς Ἀκράγας ὁμώνυμος τῇ πόλει· ἡ Γέλλας ὁμώνυμον τῇ ἐκεῖ πόλει Γέλλᾳ. ῥέει· ἱερὸν δὲ ἡ τὸ μέγα ἢ τὸ ἔχον ἱερά, ἢ ὅτι ἡ ἐν Σικελίᾳ Ἀκράγας Περσεφόνῃ ἐδόθη παρὰ Διὸς εἰς ἀνακαλυπτήρια.

15. Καμόντες.] Κοπιάσαντες. — Καμόντες οἱ πολλά.] Ὁ λόγος καθαρός, ἐπεὶ περὶ τῶν προγόνων τοῦ Θήρωνος, οἱ πρῶτον μὲν ἦλθεν εἰς Γέλλαν κἀκεῖθεν εἰς Ἀκράγαντα· οὐ γὰρ λέγει ὁ Πίνδαρος, ὅτι καμόντες τὴν Ἀκράγαντα ἔκτισαν, ἀλλ' ὅτι καὶ καθόλου καμόντες πολλὰ τοῦ Θήρωνος οἱ πρόγονοι ἔσχεν τὴν Ἀκράγαντα· οἱ πατέρες, φησί, τοῦ Θήρωνος. Ῥόδιοι γὰρ ὄντες ἄνωθεν καὶ στάσιν ἐμφύλιον ἀποφεύγοντες μεκῴκησαν εἰς τὴν Σικελίαν, καὶ αὐτόθι πρός τινας βαρβάρους πολεμήσαντες ἔκτισαν τὴν πόλιν. — † Καμόντες οἱ πολλά.] Οἵτινες, οἱ πατέρες αὐτοῦ δηλονότι, πολλὰ κατὰ τὴν ψυχὴν καμόντες, ἤγουν πολλὰ λυπηθέντες, πολλὰ ἀγωνιάσαντες πρότερον ἐν ταῖς ἀπὸ Ῥόδου εἰς Γέλλαν, εἶτα ἐκεῖθεν εἰς Ἀκράγαντα μετοικήσεσιν, ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, ἤγουν τὴν Ἀκράγαντα, ἣν πρὰ τῷ ποταμῷ ἱδρύσαντο τῷ Ἀκράγαντι· ἱερὸν δὲ διὰ τὸ εἶναι αὐτόθι νεὼν τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς ἀνακαλυπτήρια ὑπὸ τοῦ Διὸς ἐδόθη τῇ Περσεφόνῃ· τῶν ἐν τῇ Σικελίᾳ τε ἦσαν ὀφθαλμός, ἀντὶ τοῦ οἱ περιφανέστατοι καὶ ἡγεμονικώτατοι, βίος τε ἐπηκολούθει εὐτυχὴς πλούτου τε καὶ ἐπαγωγὸν δύναμιν ἐπάγων ἀρεταῖς γνησίαις, ἤγουν οἰκείαις τῷ γένει αὐτῶν.

16. Ἱερὸν ἔσχον οἴκημα.] Ἱερὸν δὲ εἶπεν οἴκημα τὴν Ἀκράγαντα διὰ τὸ Ἀθηνᾶς αὐτόθι νεὼν εἶναι περιττῶς ἀγιστευόμενον, ἢ διὰ τὸ τὴν Ἀκράγαντα τῇ Περσεφόνῃ εἰς τὰ ἀνακαλυπτήρια ὑπὸ Διὸς δοθῆναι· ὅτι δὲ περὶ Ἀκράγαντός ἐστι τῷ Πινδάρῳ ὁ λόγος, σαφὲς ἐξ ὧν περὶ τοῦ πλούτου τοῦ

Θήρωνος διεξιὼν φησίν· Ἐπί τοι Ἀκράγαντι τανύσαις αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόω, τεκεῖν μή τιν' ἑκατόν γ' ἐτέων πόλιν φίλοις μᾶλλον εὐεργέταν πραπίσιν, ἀφθονήστερον χεῖρα Θήρωνος. Ἱππόστρατος δὲ ἱστορεῖ αὐτὸν πλούτῳ διενηνοχέναι· ἀλλ' οἵ γε πρόγονοι τῶν Ἀκραγαντίνων Γελλῷοι οὐχ οὕτως εὐπορήκεσαν, ἀλλὰ καὶ πᾶν τοὐναντίον μόγις καὶ ταπεινῶς διέζων ἐπὶ φυλακῇ τῆς πόλεως μισθαρνοῦντες· ἔνιοι δέ φασιν, ὅτι οἱ τοῦ Θήρωνος πρόγονοι οὐδόλως εἰς τὴν Γέλλαν κατῆραν, ἀλλ' εὐθὺς ἀπὸ Ῥόδου εἰς τὴν Ἀκράγαντα· ὡς καὶ ὁ Πίνδαρος λέγει· Ἐν δὲ Ῥόδον κατῴκισθεν, ἔνθ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται, πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες, ἕσπετο δ' ἀεννάου πλούτου νέφος· καὶ τοῦτο ἐξ αὐτοῦ τοῦ Πινδάρου σαφηνίζεται, ὡς καὶ Τίμαιός φησιν. Ἀρίσταρχος τὴν πόλιν οἴκημα ποταμοῦ προσηγορεῦσθαί φησι διὰ τὸ ὁμώνυμον εἶναι τῷ ποταμῷ Ἀκράγαντι· τὴν γὰρ ὀνομοσίαν ἡ πόλις ἀπὸ τοῦ ποταμοῦ ἔσχεν. Ἀρτέμων δὲ ὁ ἀπὸ Περγάμου τὴν Γέλλαν οἴεται δεῖν ἀκούειν, οὕτω καλουμένην πόλιν ἐν Σικελίᾳ παρὰ τῷ ποταμῷ τῷ Γέλᾳ, ὡς Καλλίμαχος·

Οἱ δὲ Γέλα ποταμοῦ κεφαλῇ ἐπικείμενον ἄστυ.

καὶ γὰρ ταύτην ὁμώνυμον εἶναι Γέλλᾳ τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαντίνους Γελλῴων εἶναι ἀποίκους· ὥστε τὸ πατέρων ἄωτον ἐν Γέλλᾳ ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντετάχθαι· κεφαλαιώδει δὲ χρῆται τῷδε· τὸ δὲ καμόντες, ἔφη, προσήκειν μᾶλλον ἀκούειν ὑπὲρ τῶν τὴν Γέλλαν ἐκτικότων, ἀλλ' οὐ τὴν Ἀκράγαντα· οἱ μὲν γὰρ ἀπὸ τοῦ ῥᾴστου συνῳκίσθησαν, οἱ δὲ χαλεπῶς καὶ μόλις· Ἀντίφημος γὰρ ὁ Ῥόδιος καὶ Ἔντιμος ὁ Κρὴς οἱ τὴν εἰς Γέλλαν στείλαντες ἀποικίαν πρῶτον μὲν περὶ τὴν συναγωγὴν ἔκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης, εἶτα περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν κατοικισμὸν, καὶ πάλιν διαγωνισάμενοι πρὸς τοὺς Σικανούς Μενεκράτης δέ φησι ληρεῖν τὸν Ἀρτέμονα· μὴ γὰρ καμεῖν τοὺς περὶ Ἀντίφημον περὶ τὴν ἀποικίαν, ἀλλὰ μᾶλλον κατὰ εὐπέτειαν πολλὴν αὐτοῖς πάντα συμβεβηκέναι· ἔχοι δ' ἂν μᾶλλον τὸ δεύτερον λόγον· μετὰ γὰρ καμάτου ἐκτίσθη, Ἀντιφήμου τοῦ Ῥοδίου καὶ Ἐντίμου τοῦ Κρητὸς κατὰ χρησμὸν Ἀπόλλωνος μαχεσαμένων Σικελιώταις περὶ τοῦ χωρίου περὶ τίνων οὖν λέγει, Καμόντες οἳ πολλά; περὶ τῶν Θήρωνος προγόγων· τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι. Κάδμον γὰρ

НБ ОНУ імені І.Мечникова

Πολύδωρος· τοῦ δὲ Λάβδακος· τοῦ δὲ Λάϊος· τοῦ δὲ Οἰδίπους· εἶτα Ἐτεοκλῆς· τοῦ δὲ Πολύδωρος· τοῦ δὲ Λάμων· τούτου δὲ ἐν κυνηγεσίῳ ἐμφύλιόν τινα ἀποκτείναντα Ἀθήναζε μεταστῆναι· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταστάντας σὺν τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι μέχρι τινῶν γενεῶν, καὶ μετὰ ταῦτα ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος τὰς ἁπάσας γενεὰς ἑπτὰ πρὸς ταῖς ὀκτὼ συναριθμεῖσθαι· ταῦτα ἱστορεῖ ἐν Ἐγκωμίῳ, οὗ ἡ ἀρχή· Βούλομαι παίδεσσιν Ἑλλάνων· ἴσως οὖν πρὸς ταῦτα ἀφορῶν ὁ Πίνδαρος φησὶ· Καμόντες οἱ πολλὰ θυμῷ ἱερὸν ἔσχον οἶκημα ποταμοῦ· οἶκημα δὲ ποταμοῦ τὴν πόλιν εἶπε διὰ τὴν ὁμωνυμίαν· λείπει δὲ ἡ ἐπί, ἵνα ᾖ τὸ ἐπὶ τοῦ ποταμοῦ σῆμα ἔσχον, τὴν πόλιν.

17. Σικελίας τ' ἔσαν ὀφθαλμός.] Οἱονεὶ τὸ ἐξαίρετον καὶ λαμπρότερον ἦσαν τῆς Σικελίας· ἀξιολογώτερον γὰρ ἐν τῷ σώματι ὁ ὀφθαλμός· ἢ οὕτως· εὔμοιρος βίος ἐπηκολούθησεν αὐτοῖς ἐκ περπρωμένης τινὸς ὡς καὶ παρ' Ὁμήρῳ. (Ἰλ. γ. 182.) Μοιρηγενὲς, ὀλιόδαιμον· οὐχ ὁ μεμοιραμένος, ἀλλ' ἀντὶ τοῦ εὐμοίρους.

19. 20. Μόρσιμος.] Δυστυχής. — Χάριν.] Εὐφροσύνην.

21. Γνησίαις.] Ἰδίαις· γνήσια γὰρ τὰ ἴδια ποιήματα καὶ τὰ ἐκ καμάτων καὶ οὐκ ἐξ ἐπεισάκτων· ἢ γνησίαις ἀρεταῖς, ταῖς ἐκ γένους συγγεγενημέναις αὐτοῖς.

22. Ἀλλ' ὦ Κρόνιε παῖ.] Ἀλλ' ὦ τοῦ Κρόνου καὶ τῆς Ῥέας παῖ Ζεῦ τὸν οὐρανὸν κατοικῶν, ὅστις τοῦ Ὀλυμπιακοῦ ἀγῶνος διοικεῖς τὸ ἔδαφος καὶ τὸν πόρον τοῦ Ἀλφειοῦ, ἡσθεὶς τούτοις τοῖς ὕμνοις ἔτι καὶ ἐπίπλεον ἀβλαβῆ αὐτοῖς τὴν πατρῴαν γῆν διαφύλαξον τοῖς περὶ Θήρωνα. — Κρόνιε.] Οὐ μόνον ὅτι Κρόνου παῖς, ἀλλ' ὅτι Κρόνιος λόφος καλεῖται ὁ ἐν Ὀλυμπίᾳ. — Ἀλλ' ὦ Κρόνιε παῖ.] Οὐ πατρωνυμικὸν, ἀλλ' ἀπὸ τοῦ λόφου· εὔχεται δὲ τῷ Διΐ, ἐπειδὴ καὶ τοῦ ἀγῶνος, καθ' ὃν νενίκηκε, προστάτης ὁ Ζεύς. — Ἀλλ' ὦ Κρόνιε.] Ἀλλ' ὦ Ζεῦ ἐν τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας, ὁ διοικῶν τὸ ἔδαφος τοῦ οὐρανοῦ, περιφραστικῶς ἤγουν τὸν οὐρανὸν, καὶ τὴν κορυφὴν τῶν ἄθλων, τουτέστι καὶ τὰ ἐξαίρετα ἆθλα τὰ ἐν Ὀλυμπίᾳ διδόμενα, καὶ

τὸ ῥεῦμα τοῦ Ἀλφειοῦ, ἤγουν τὸν Ἀλφειὸν, τερφθεὶς τοῖς παροῦσιν ὑμνοις, εὔρρων, ἀντὶ τοῦ ἀσμένως, ἐπιπλέον ἐπιμελείας ἀξίωσαν τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ τὴν γῆν, χάριν τοῦ ἐπιλοίπου γένους αὐτῶν· τὸ δὲ τέλος τῶν πεπραγμένων ἐν δίκᾳ τε καὶ παρὰ δίκαν, ἤγουν δικαίως καὶ ἀδίκως, τουτέστιν ἐν παντὶ τρόπῳ, ἀποίητον, ἤγουν μὴ γεγενημένον, οὐδὲ ὁ χρόνος ὁ πάντων πατὴρ δύναιτο ἂν ποιῆσαι· λήθη δὲ τοῦ πεπραγμένου γένοιτ' ἂν οὐν τύχῃ εὐτυχεῖ ὑπὸ γὰρ τέρψεως ἀγαθῶν βλάβη δαμασθεῖσα θνήσκει, ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκτίπτει τῆς μνήμης, παλίγκοτος γινομένη θηλυνότι, ἤγουν εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύπης τοῦ κακοῦ τρέπουσα.

23. Νέμων.] Οἰκῶν· καὶ Ὅμηρος. (Ἰλ. β, 499.) Οἵ τ' ἀμφ' Ἄσιν ἐνέμοντο, ἀντὶ τοῦ ᾤκουν· ἢ ἐν τῷ Ὀλύμπῳ οἰκῶν· δύναται δὲ καὶ τὸ νέμων νοεῖσθαι ἐπὶ τοῦ διοικῶν καὶ θείπων. — Νέμων.] Διοικῶν, κυβερνῶν.

24. Κορυφάν.] Ὀλυμπιακὸν ἀγῶνα, καθὰ ἐξέχει τῶν ἄλλων ἀγώνων· ἀπὸ κοινοῦ τὸ νέμων· τῶν ἀγωνισμάτων τῶν ἐν τῇ Ὀλυμπίᾳ γενομένων· αὐτῷ γὰρ ὁ ἀγὼν οὗτος ἀνακεῖται· ἔδος δὲ Ὀλύμπου τὴν Ἦλιν· ἀπὸ κοινοῦ δὲ συναπτέον τὸ οἰκῶν ἢ διοικῶν.

26. Ἰκνθεὶς.] Εὐρρωθεὶς.

27. Εὔρρων.] Καλῶς διανοούμενος, εὐμενὴς ὤν, ἔτι καὶ ἐπιπλέον τὴν πατρῴαν γῆν αὔξησαν τῷ λοιπῷ γένει· λέγει δὲ αὐτῷ τῷ Θήρωνι· ἔτι, ἵνα τῇ προσούτῃ εὐδαιμονίᾳ ἔτι καὶ τοῦτο ὁ Ζεὺς παράσχῃ.

28. Κόμισον.] Αὔξησον· εὔχεται τοὺς ἀπογόνους Θήρωνος ἄρχειν τῶν Ἀκραγαντίνων· ἐπιμελείας ἀξίωσον, ἀπὸ μεταφορᾶς τῶν κομῶν, τουτέστι τριχῶν, αἱ ἐπιμελείας ἀξιοῦνται· οἱ δὲ ἐπιμελείας ἀξίωτον· ὡς γάρ τινες, φυγὰς ἦν· ἀνακόμισον οὖν αὐτὸν εἰς τὴν πατρίδα.

29. Λοιπῷ γένει.] Τοῖς περὶ Θήρωνα καὶ Ξενοκράτην ἀδελφοὺς συγγενεῖς δὲ οὗτοι Ἱέρωνος τοῦ Δεινταίων βασιλέως. — Πεπραγμένων.] Συμβάντων ἔργων· ἢ τὰς κακοπαθείας, ἃς ὑπέστησαν καὶ ἐν τῇ Ῥόδῳ καὶ ἐν τῇ Σικελίᾳ. — Τῶν δὲ πεπραγμένων.] Ὁ Θήρων θυγατέρα ἑαυτοῦ ἐξέδωκε πρὸς γάμον Ἡλυζήλῳ τῷ ἀδελφῷ Ἱέρωνος, ὃς πεμφθεὶς ὑπὸ Ἱέρωνος πολεμῆσαι τοῖς περιοίκοις Σικελιώταις βαρβάροις ἔπαυσε τὸν πόλεμον χωρὶς τῆς τοῦ Ἱέρωνος γνώμης, καὶ διὰ τοῦτο ἐν ὑποψίᾳ ἦν. Θρασυδαίου δὲ τοῦ Θήρωνος υἱοῦ

πείσαντος τὸν Πολύξηλον ἐπιθέσθαι τῷ Ἱέρωνι, ὑπισχνουμένου αὐτοῦ τοῖς πράγμασι συναντιλήψεσθαι, γνοὺς ὁ Ἱέρων κρίνειν αἱρήσειν τὴν Ἀκραγαντα καὶ Θήρωνα καὶ Θρασυδαῖον· μελλόντων δὲ τῶν φίλων ἔτι μπε Σιμωνίδης ὁ λυρικὸς πρὸς αὐτὸν συμβουλεύων, ἐκταράξαι μᾶλλον βουλόμενος τῷ μηνύειν τὴν μέλλουσαν αὐτῷ προδοσίαν ἔσεσθαι καὶ τοὺς προδιδόντας· ὁ δὲ εὐλαβηθεὶς ἐξεχώρησε τῶν πραγμάτων τῷ Ἱέρωνι, ὕστερον δὲ ἀπέλαβεν ἀπ' αὐτοῦ τὴν τυραννίδα, καὶ διελύθησαν τῆς ἔχθρας, ὡς καὶ κηδείαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν Θήρωνος ἀδελφὴν γυναῖκα· ὅθεν ὁ Πίνδαρος παραπέμπεσθαι παραινεῖ τὰ προγεγενημένα. Ἄλλως· ζητεῖται διὰ τί ἂν αἰτίαν εὐξάμενος τῷ Θήρωνι τὰ κάλλιστα καταπουτιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία· καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κεκμηκέναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων στασιαζομένων, καὶ οὕτω τὴν εἰς τὴν Σικελίαν μετοικεσίαν στειλαμένων· ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται μάρτυρα Τίμαιον τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας προηρημένος· ἡ δὲ ἱστορία οὕτως ἔχει· Θήρων ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ· τοῦ δὲ Γέλωνος τελευτᾶν τὸν βίον μέλλοντος Πολύξηλος ἀδελφὸς τὴν στρατηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται κατὰ τὰς Γέλωνος τοῦ ἀδελφοῦ προστάξεις, ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς τὸν Πολύξηλον μετατεθεῖσθαι· λαμπρῶς δὲ αὐτῷ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρων φθονήσας ὁ ἀδελφὸς καὶ πρόφασιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον ἀπελαύνει τῆς πατρίδος· ἀλλὰ καὶ τοῦτον κατόρθωσε τὸν πόλεμον ὁ Πολύξηλος· ὁ δὲ μὴ φέρων γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ· καὶ οὕτω τὸν Θήρωνα ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ συρρῆξαι πρὸς Ἱέρωνα πόλεμον παρὰ Γέλλᾳ τῷ Σικελιωτικῷ ποταμῷ, οὗ Καλλίμαχος μέμνηται. Οἱ δὲ Γέλᾳ ποταμῷ ἐπικείμενον ἄστυ· μή γε μὴν εἰς βλάβην μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον· φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν· τούτοις οἰκείως τοῖς φθάσασιν εὔχεσθαι τῷ Διὶ φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὥστε λοιπὸν αὐτοῖς εἰρηναῖον εἶναι τὸν βίον· ἡ οὖν διάνοια αὐτῇ σὺ μέν, ὦ Ζεῦ, παράσχοις

πάντα τὰ κάλλιστα, καὶ πρὸς τῇ οὔσῃ εὐδαιμονίᾳ πλείονα θοίης ἀγαθά· εἰ δέ τι ἐν τοῖς φθάσασι χρόνοις συμβέβηκεν ἄτοπον, εἴτε δικαίως εἴτε μή, τοῦτο οὐχ οἷόν τε ἐστὶν οὔτε αὐτῷ τῷ χρόνῳ ὥστε μὴ γεγενημένον ποιῆσαι τὸ γὰρ γενόμενον ἀγένητον ποιῆσαι ἀδύνατον· ἴσως δὲ λήθη ἂν τις γένοιτο τῶν κακῶν, ἀγαθῆς μοίρας διαδεξαμένης. Δεινομένους παῖδες δ' ἐγένοντο, Γέλων, Ἱέρων, Πολύζηλος, Θρασύβουλος· κηδεστὴς δὲ ἐγένετο Θήρων τῷ Πολυζήλῳ καὶ τῷ Γέλωνι· γαμβρῶν οὖν γεγονότων αὐτῶν Ἱέρων λαμπρόν τινος τοῦ Πολυζήλου ὑπάρχοντος καὶ σφόδρα παρὰ τοῖς Σικελικοῖς εὐδοκιμοῦντος, ὑπὸ φθόνου τὸ μὲν πρῶτον εἰς ἀνοικισμὸν αὐτὸν Συβάσεως ἐξέπεμψε, τῷ μὲν λόγῳ χρηστὴν αὐτῷ καὶ λαμπρὰν ἐλπίδα τιθείς, τοῖς δὲ ἔργοις μεταστὰς αὐτὸν ἐκ τῆς Σικελίας.

Ἐδειδὴ τὸ γένος πλῆθός ἐστι, διὰ τοῦτο εἶπε τὸ σρίσιν· ἔστιν οὖν τὸ μὲν κόμισον πρὸς τὸ λοιπῷ γένει, τὸ δὲ πατρίαν πρὸς τὸ σρίσιν, ἵν' ᾖ τὴν πατρικὴν αὐτοῖς γῆν· τῷ λοιπῷ δὲ γένει νέει ἤτοι ἀπὸ γένους τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι καὶ τοῖς περὶ αὐτόν, ὃ καὶ κρεῖττον· δέον δὲ εἰπεῖν εὔρροια πρὸς τὸ ἄρουραν, εὔρροιν εἶπε πρὸς τὸ κόμισον· λέγει δὲ ὅτι, εἰ καὶ οἱ πατέρες τοῦ Θήρωνος πολέμοις καὶ στάσεσιν ἐχρήσαντο, ἀλλ' εἰρηναίαν τὴν ζωὴν Θήρωνι καὶ τοῖς περὶ αὐτὸν ποίησον. Ἱστορία περὶ τῶν πεπραγμένων Θήρωνος καὶ Ἱέρωνος Θήρων οὗτος Ἀκραγαντίνων βασιλεύων Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην· τοῦ δὲ Γέλωνος τελευτήσαντος Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ τὴν βασιλείαν καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται· λαμπρῷ δὲ ὄντι αὐτῷ κατὰ τὴν Σικελίαν Ἱέρων ὁ ἀδελφὸς φθονήσας καὶ προφασισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει τοῦτον τῆς νήσου· κατωρθωκότος οὖν καὶ τοῦτον τὸν πόλεμον Πολυζήλου, ὁ Ἱέρων οὐκ ἔχων ὅ,τι καὶ γένοιτο, πρὸς αὐτὸν ἐπειρᾶτο νεωτερίζειν· Θήρων οὖν ὑπεραγανακτήσας Θυατρὸς ἅμα καὶ γαμβροῦ συνάξαι πρὸς Ἱέρωνα ἠβούλετο πόλεμον, ὃν, Σιμωνίδης ὁ λυρικὸς καταπαύει διαλλάξας, ὡς καὶ κηδείαν πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν τοῦ Θήρωνος ἀδελφήν· φασὶ δέ τινες τὸ πεπραγμένων ἀντὶ τοῦ συμβάντων τοῖς προγόνοις καμάτων· ἄνω γὰρ εἶπε· Καμόντες οἱ πολλὰ θυμῷ· τὸ θεοῦ ἢ πρὸς τὸ ὄλβον οὕτω τὸν ὄλβον τοῦ θεοῦ· ἤτοι τὴν παρὰ θεῶν ἀνθρώποις εὐδαι-

μονίαν· ἡ πρὸς τὸ μοῖρα, οἱ γὰρ θεοὶ τοῖς ἀνθρώποις τὴν μοῖραν ἐκπέμπουσιν.

30. Ἐν δίκᾳ τε καὶ παρὰ δίκαν] Καὶ μετὰ δικαιοσύνης καὶ ἔξω δικαιοσύνης.

31. Ἀποίητον.] Ἀνενέργητον. — Οὐδ' ἂν χρόνος.] Τῶν πεπραγμένων ἔργων τὸ τέλος ἀποίητον καὶ ἀγένητον θέμεν οὐδ' ἂν ὁ πάντων πατὴρ χρόνος δύναιτο, ἀλλ' ἔστιν ἀδύνατον· καὶ Ὅμηρος (Ἰλ. ι, 249)

Οὐδέ τι μῆχαρ
Ῥεχθέντος κακοῦ οὔτ' ἄλος εὑρεῖν.

34. Λάθα δὲ πότμῳ] Τῶν δὲ κακῶν γίνοιτ' ἂν λήθη, διαδεξαμένης εὐδαιμονίας· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οἱ περὶ Θίρωνα τὸ ἀνέκαθεν δεδυστυχήκασιν, ἀλλ' εἰς λήθην αὐτῶν ἐξέπεσεν ἡ δυστυχία διὰ τὴν ἐπισυμβᾶσαν εὐτυχίαν· τοῦ δὲ κακοῦ λήθη γένοιτ' ἂν ὑπ' ἀγαθοῦ τινος ἐπιγινομένου τὸ γὰρ παλίγκοτον πῆμα οὕτως ἂν μόνως ἀποθνήσκοι χάριτός τινος ἐπιγινομένης.

35. Χαρμάτων.] Τερψέων. — Ἐσθλῶν γὰρ ὑπὸ χαρμάτων] Ὑπὸ γὰρ τῆς χαρᾶς τῆς τῶν γεγενημάτων ἀγαθῶν τὸ κακὸν ἀφανίζεται· καὶ τὸ παλίγκοτον καὶ ἄτοπον δαμασθὲν καὶ ἀναιρεθὲν ὑφ' ἡδονῆς θνήσκει, μάλιστα ὅλβου ἐπιγινομένου ὑψηλοῦ ἐκ θείας μοίρας.

36. Πῆμα θνάσκει] Τὸ δὲ τραχὺ πῆμα νικᾶται ὑπὸ τῆς ἀγαθῆς χαρᾶς καὶ ἀφανίζεται, ὁπόταν εἰς ὕψος τὴν εὐδαιμονίαν ἀναφέρῃ ἡ μοῖρα· [καὶ ὅταν τὴν εὐδαιμονίαν εἰς ὕψος ἄγῃ] παλίγκοτον δὲ τὸ χαλεπὸν καὶ ἐναντίον τῷ ἀγαθῷ. — Δαμασθέν.] Ἀντὶ τοῦ ἡττηθέν, εἰς τοὐπίσω τὸν κόπον ἀποβαλὸν καὶ εἰς λήθην ἐκπίπτον τῶν κακῶν· ἡ παλίγκοτον, ἵνα εἴπῃ τὸ ἰσχυρὸν παρὰ τὸ β' ἐπιρρητῶν δύνασθαι.

37. Ὅταν Θεοῦ μοῖρα.] Ἤγουν εὐτυχία, τουτέστιν ὅταν θεὸς πέμπῃ μεγάλην εὐδαιμονίαν ἀνελὰς, ἤγουν εἰς παράτασιν χρόνου μακράν.

38 Ἀνελᾷ.] Ἄνωθεν ἡ ἄνω· ὅταν ἡ τοῦ θεοῦ μοῖρα τὸν ὅλβον ἄνω αὐξήσῃ

39. Ἕπεται δὲ λόγος.] Οἰκειότατον πρὸς τὴν γνώμην ἑαυτοῦ καὶ τὸ παράδειγμα ἐκφέρει, ὅτι τοὺς προδυστυχήσαντας εὐδαιμονία διαδέχεται, ὥσπερ καὶ τὰς Κάδμου θυγατέρας· ὁ αὐτὸς γὰρ λόγος διαδέχεται αὐτὰς καὶ ἐπ' αὐτῶν ἁρμόσει· οὗται γὰρ τῷ μὲν πρότερον εἰς τοσαύτην δυστυχιῶν ὑπερβολὴν ἐληλύθασιν, ὥστε καὶ τραγικαῖς ὑποθέ-

σεται χορηγίαν παραπχεῖν· ἀλλ' ἐφάμιλλος καὶ εὐδαιμονία τὰς κόρας ἐπεδέξατο· τούτων δὲ μέμνηται, ἐπεὶ ὁ Θήρων εἰς Λάϊον ἀνάγει τὸ γένος. Ἄλλως· ἕπεται δὲ λόγος· οὗτος ὁ λόγος ἀκολουθεῖ καὶ ταῖς τοῦ Κάδμου κόραις· μεγάλων γὰρ κακῶν τυχοῦσαι πάλιν ἐκ μεταβολῆς μεγάλων ἀγαθῶν ἐκοινώνησαν, εὖ δὲ τῶν Κάδμου θυγατέρων τὸ παράδειγμα φέρει, ἵνα οἰκείῳ παραδείγματι χρήσηται· τὸ γὰρ τοῦ Θήρωνος γένος ἐνθένδε κατάγεσθαί φησιν ὁ Πίνδαρος ἐν Ἐγκωμίῳ οὗ ἡ ἀρχὴ Βούλομαι παίδεσσιν Ἑλλάνων. — Ἕπεται δὲ λόγος.] Ἀκολουθεῖ δὲ οὗτος ὁ λόγος, ἥτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου ταῖς νῦν ἐνδόξοις τάξει ἰδρυμέναις, αἵτινες ἔπαθον συμφορὰς μεγάλας· τὸ πένθος δὲ τὸ μέγα ἠρανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγαθῶν τῶν ἐπικρατεστέρων. ζῇ μὲν ἡ Σεμέλη ἡ ἐπιπολὺ τεταμένας ἔχουσα τὰς τρίχας ἐν τοῖς θεοῖς τοῖς τὸν Ὄλυμπον οἰκοῦσι, τουτέστιν ἐν τῇ μετὰ τῶν θεῶν διατριβῇ, ἀποθανοῦσα τῷ βρόμῳ τοῦ κεραυνοῦ, ἀντὶ τοῦ κεραυνῷ φιλεῖ δὲ αὐτὴν ἡ Ἀθηνᾶ ἀεὶ διὰ τὸ τὸν πατέρα αὐτῆς τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας, ὅθεν Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς· καὶ ὁ Ζεὺς ὁ πατὴρ πάντων φιλεῖ αὐτὴν καταπολύ· φιλεῖ δὲ αὐτὴν καὶ ὁ παῖς αὐτῆς ὁ κισσοφόρος, ἤγουν ὁ Διόνυσος, ᾧ ἐστιν ὁ κισσὸς ἀριερωμένος· λέγουσι δὲ τετάχθαι, ἤγουν κεκυρῶσθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτῆς κατὰ πάντα τὸν χρόνον διατριβὴν ἄφθαρτον ἐν τῇ θαλάσσῃ σὺν ταῖς θυγατράσι τοῦ Νηρέως ταῖς Θαλασσίαις Ὁμηρικῶς ζῇλος τὸ εὐθρόνοις· ἐκείνος γὰρ τοῖς ἐπιθέτοις κοσμεῖ τὰς γυναῖκας, ἤγουν Λευκώλενος Ἥρα καὶ Γλαυκῶπις Ἀθάνα καὶ Ἀργυρόπεζα Θετις. — Εὐθρόνοις.] Τοῦτο πρὸς τὴν διακεξαμένην εὐτυχίαν ἀκουστέον.

40. Ἔπαθον οἷ μεγάλα.] Ἰὼ, Σεμέλη, Αὐτονόη, Ἀγαυὴ· ἐπεὶ καὶ αὗται παθοῦσαι ἐν ἀρχῇ ὕστερον ἔτυχον τῆς ἐκ θεῶν τιμῆς πιτνεῖ δὲ, καταπίπτει· τὸ δὲ βαρὺ πένθος πιτνεῖ καὶ ἀραγίζεται τῶν κρεισσόνων διακεξαμένων ἀγαθῶν. Ἄλλως· ἵσταται γὰρ τὸ κακὸν ὑπὸ τῶν ἀγαθῶν καὶ λύσις ἐστὶ τῆς συμφορᾶς, ὅταν ἀγαθόν τι ἐπιγένηται· ἐὰν δὲ χωρὶς τοῦ ζ γράφεται, ἔστασι τὸ νόημα τοιοῦτον· πρὸ τῶν ἀγαθῶν τοῖς ἀνθρώποις γὰρ τὰ κακὰ, ὅπερ καὶ ἐν ἑτέῳ φησὶν· Ὁπότε Διὸς ἀνδρὶ χάρμα πέμψῃ, πρὶς μέλεναν καρθίαν ἐστυφέλιξεν.

42. Πιτνεῖ.] Ἡ πιτνεῖ ἡ προκατάρχει.

44. Ζώει μὲν ἐν Ὀλυμπίοις.] Ἱστεύσατο πρὸς τὴν τῆς εὐτυχίας ὑπερβολήν, ὅτι δοκήσει μὲν τέθνηκεν ἡ Σεμέλη τῷ βρόμῳ τοῦ πυρὸς τοῦ κεραυνίου, ζῇ δὲ νῦν συνδιατρίβουσα τοῖς οὐρανίοις θεοῖς. — † Ζώει μὲν ἐν Ὀλυμπίοις.] Ἱστορίας περὶ τῆς Σεμέλης· ἡ τῆς Σεμέλης ἱστορία ὅλη, ὅτι ἐγκυμονοῦσα Διόνυσον Ἥρας ἐπιβουλαῖς εἰποῦσα τῷ Διὶ μετὰ κεραυνοῦ ἐλθεῖν πρὸς αὐτὴν κατεκαύθη, καὶ πρὸς οὐρανὸν ἀνῆλθε, Διὸς ἐῤῥαφαμένου τῷ μηρῷ τὸν Διόνυσον, ἄχρις ἂν ὁ προσήκων ἔλθῃ καιρός· λέγεται δὲ φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς οὐρανοὺς ἀνῆλθεν, ἢ ὅτι Θηβαία ἐστὶν· ἐν Θήβαις ἱερὸν Ἀθηνᾶς Ὄγκας καλουμένης Φοινίκων γλώττῃ.

45. Βρόμῳ.] Ἤχῳ πυρός· ἐκεραυνώθη γάρ.

46. Τανυέθειρα.] Μακρόθριξ.

48. Παλλὰς εἰσί.] Διὰ τὰ περὶ αὐτῆς εἰρημένα. — Φιλεῖ δὲ μὲν Παλλὰς αἰεί.] Τοῦτο οἱ μὲν ἁπλῶς διὰ τὴν ἐν Θεοῖς διατριβὴν λέγουσιν, οἱ δὲ ὅτι ὡς ἐπιχωρία Θεὸς ἄγαλμα γὰρ αὐτῆς ὁ Κάδμος ἱδρύσατο ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας. Ὀγκαία οὖν ἡ Ἀθηνᾶ τιμᾶται. Παλλὰς Ἀθηνᾶ ἡ πολιοῦχος τῶν Ἀθηναίων· οὐκ εἶπε δὲ τὴν Ἥραν, ὅτι μητρυιά. — Φιλέοντι δὲ Μοῖσαι.] Οἱ μὲν διὰ τὰ περὶ αὐτῆς τοῖς ποιηταῖς εἰρημένα, οἱ δὲ διὰ τὸν Ἑλικῶνα, ὅς ἐστι τῆς Βοιωτίας· καὶ αὗται οὖν ἐπιχώριοι. Ἄλλως· ἔστι περισσὸν τὸ κῶλον ὡς πρὸς τὴν ἀντίστροφον· ὅθεν καὶ ὀβελὸς αὐτῷ παράκειται· πᾶσαι γὰρ εἰσιν ἰδ' ὁμοῦ κῶλων, αὕτη δὲ μόνη πεντεκαίδεκα εὑρίσκεται ἔχουσα· φιλέοντι δὲ Μοῖσαι, ὡς Θηβαίων οὖσαν· φιλόλογοι δὲ Ἀθηνᾶ καὶ Ζεὺς κατήρ· τὸ κῶλον τοῦτο ἀθετεῖ Ἀριστοφάνης· περιττεύειν γὰρ αὐτὸ φησι πρὸς ἀντιστρόφους. — Φιλέοντι δὲ Μοῖσαι.] Δημητρίου τοῦ Τρικλίνου. Περισσὸν ἦν ἐνταῦθα τὸ κῶλον τὸ Φιλέοντι δὲ Μοῖσαι· τῶν γὰρ ἄλλων στροφῶν καὶ ἀντιστροφῶν ἀνὰ ἰδ' ἐχουσῶν κῶλα αὕτη μόνη πεντεκαίδεκα εἶχεν, ὅπερ ἦν ἄτοπον· οὐ γὰρ ἐν ἑτέροις τοιοῦτό τι εὕρηται· διὸ ἐξελλήθη παρ' ἐμοῦ, ὡς καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων ποιητῶν πολλὰ περιττὰ ὄντα· οἶμαι δὲ, ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο τοιαῦτα πεπονηκότας, ἀλλ' ἐννοήσας, ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν, θαυμάσειεν ἂν μᾶλλον ἐπὶ τῇ ἐπονδῇ.

50. Παῖς ὁ κισσοφόρος.] Ἐπιθετικῶς ὁ Διόνυσος· παῖς δὲ ἤτοι ὁ νεαρὸς, ἢ πρὸς αὐτὴν τὴν Σεμέλην.

51. Λέγοντι δ' ἐν καὶ Θαλάσσᾳ.] Φασὶ δὲ καὶ τὴν Ἰνὼ Κάδμου θυγατέρα μετὰ τῶν θυγατέρων τοῦ Νηρέως ἐν τῇ Θαλάσσῃ διὰ παντὸς τοῦ χρόνου ἄφθαρτον οὖσαν διάγειν καὶ τετάχθαι· αὕτη δὲ ἡ Λευκοθέα, Νηρὶς γενομένη· οὕτω γὰρ καλεῖται· ἡ γὰρ Ἰνὼ μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς φυγοῦσα ἦλθεν εἰς τὸν Ἰσθμὸν, καὶ ἐκεῖθεν ἥλατο εἰς τὴν Θάλασσαν. Δωρίδος καὶ Νηρέως αἱ Νηρηΐδες· καὶ ἡ Ἰνὼ ποτε κακωθεῖσα ὕστερον εἰς ἀθανασίαν μετέβαλεν, ἁλίας γενηθεῖσα θεός· μαρτυρεῖ δὲ καὶ Ὅμηρος. (Ὀδ. ε, 333.)

Τὴν δ' εἶδεν Κάδμου θυγάτηρ, Καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
Νῦν δ' ἅλὸς ἐν πελάγεσσι θεῶν ἔξέμμορε τιμῆς.

— Λέγοντι δ' ἐν καὶ Θαλάσσᾳ.] Ἀντὶ τοῦ καὶ ἐν Θαλάσσῃ· πρῶτος γὰρ ὁ σύνδεσμος, εἶτα ἡ πρόθεσις.

55. Ἤτοι βροτῶν.] Ἀντὶ τοῦ δὴ, ἵνα ᾖ ἡ ἀρχὴ τοῦ λόγου οὕτω· τῶν δὴ βροτῶν οὐκ ἔστιν οὐδὲν κεκριμένον πέρας θανάτου· ἄδηλον γὰρ, πότε συμβήσεται ὁ θάνατος τοῖς ἀνθρώποις. Ἄλλως· τοῖς ἀνθρώποις τὸ τέλος τοῦ θανάτου κατ' οὐδὲν σαφές ἐστιν· ἢ οὕτω· τοῖς ἀνθρώποις τὸ τέλος τοῦ βίου κατ' οὐδὲν σαφές ἐστιν, οὐδὲ ποδαπὴν τὴν ἐπιοῦσαν ἔξουσιν ἡμέραν ἴασιν.

56. Πέρας οὔτι κέκριται.] Οὐδὲ τοῦτο διακεκριμένον ἐστὶν οὐδὲ ἀναμφισβητήτιμον καὶ ἑστηκὸς, ποίαν ἡμέραν εἰρηναίαν καὶ ἀγαθὴν διάξομεν· παῖδα δὲ ἡλίου, τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων· ἀνὴρ γὰρ ὑπὸ ἡλίου φωτιζόμενος ποιεῖ τὴν ἡμέραν. — Κέκριται.] Πεφανέρωται· ἤγουν οὐδεὶς οἶδεν, εἰ χρηστὸν ἢ τοὐναντίον τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐπέλθοι, ἀλλ' οἱ μὲν πρὶν εὐτυχοῦντες ἐγγὺς θανάτου δεδυστυχήκασιν, οἱ δὲ τοὐναντίον. ἡ Σύνταξις· ὄντως τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν ὁ θάνατος ἐπάγει, οὐδαμῶς ἐστι διακεκριμένον, τουτέστι γνώριμον, ὁποῖον ἔσται ὁπλονότι· ἤγουν ὁ θάνατος τοῖς ἀνθρώποις ἄδηλός ἐστι καὶ ἄγνωστος· οὐδὲ ὁπότε ἀνύσομεν ἡμέραν ἡσυχίας, ἤγουν ἀναπαύσεως μετέχουσαν, παῖδα ἡλίου λέγω, σὺν ἀγαθῷ μὴ ὑπὸ κακοῦ τινος καταπονουμένῳ, κέκριται ὁπλονότι· ἡμέραν δὲ ἡσυχίας τὸν θάνατον λέγει, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν· παῖδα δὲ ἡλίου τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν γεννᾷ.

Репозиторий Мочникова

58. Οὐδ' ἀτύχιμον.] Ἄτυχον, ἀπράγμενα, εὐτυχῆ· οὐδὲ πότε ἐν εὐτυχίᾳ ἐσόμεθα ἀθορύβως καὶ ἀταράχως ἐν τῷ τοῦ ζῆν χρόνῳ, οὐδὲ πότε διατελέσομεν ἡμέραν ἄτυχον· ἡμέρα δὲ ἀτύχιος ἡ τοῦ θανάτου, ἐπεὶ ἐν αὐτῇ θανόντες ἀτυχήσομεν. Λέγει ὅτι ἀβίωλος ἡ τύχη τῶν ἀθρώπων· τὴν δὲ ἡμέραν θυγατέρα τῆς νυκτὸς ἔφη Ἡσίοδος· ἐκεῖνος γὰρ φησιν· Λίθήρ τε καὶ ἡμέρα ἐξεγένοντο, καθὸ ἐκ τῶν νυκτῶν ἡμέρα γεννᾶται· ἀμφιβολον δὲ πότερον αὐτῷ ὁ λόγος καὶ ἐπὶ τοῦ θανάτου· οὐδὲ ὁπότε τελευτήσομεν τὴν ἐσχάτην ἡμέραν· ἢ ὅτι ἀθορύβως ἐν τῷ τοῦ ζῆν χρόνῳ. οὕτω δὲ καὶ Ἀρίσταρχος ἀκούει.

60. Ἀτειρεῖ οὖν ἀγαθῷ.] Ἀβλαβεῖ, ἀκαταπονήτῳ, ἀνεμποδίστῳ· ὁπότε οὖν τῷ ἀβλαβεῖ ἀγαθῷ τελευτήσωμεν· — Ἀτειρεῖ.] Ἀδαμάντῳ.

61. Τελευτάσομεν.] Τεθνήξομεν, διαβιβάσομεν.

62. Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι.] Ῥεύματα δὲ ἀλλοῖα καὶ πάλιν ἀλλοῖα μετ' εὐθυμιῶν καὶ μετὰ μόχθων εἰς τοὺς ἀνθρώπους ἀνέρχεται· θέλει δὲ εἰπεῖν, ὅτι οὐκ οἶόν τε ἐστὶν ἀνθρώπους ὄντας ἀεὶ ἐν εὐθυμίᾳ διάγειν, ἀλλὰ πάντως καὶ ἀτόποις ἐντυγχάνειν ἀνάγκαις. Ἄλλως· ῥεύματα, μεταβολαί, αἱ τῆς τύχης φοραὶ ἄλλοτε ἄλλαι εἰς ἀνθρώπους μεταβαίνουσιν ἢ εὐθυμίαν ἢ πόνον παρέχουσαι. — Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι.] Ῥεύματα δὲ τύχης ἄλλοτε ἄλλα εἰς τοὺς ἀνθρώπους ἔβηταν, ἀντὶ τοῦ ἔρχονται, καὶ μετὰ τέρψεων καὶ λυπῶν.

63. Οὕτω δὲ μοῖρ' ἅ τε ἕως τοῦ ἄλλῳ χρόνῳ.] Ἐνταῦθα ἡ ἀνταπόδοσις τῆς διανοίας καὶ ἧς ἐξέθετο γνώμης· οὕτω δὴ καὶ τὸν αὐτὸν τρόπον τὰ ῥεύματα τῆς τύχης ἄλλοτε ἄλλως φέρεται ἐπί τε καλῶν καὶ κακῶν, καὶ οὐκ ἔστιν ἐπίμονα· ὥστε δείκνυσθαι ἐκ τοῦ κατὰ Θήρωνα γένους· τούτου μὲν γὰρ εὔφρονα καὶ καλλίστην γένεσιν ὑπέδειξεν ἀπὸ προγόνων, ἐκ τοῦ τοὺς Θεοὺς ἀνορθωκέναι αὐτοῦ τὴν εὐδαιμονίαν· ἐπάγει δέ τι καὶ πῆμα ἐναντιώτατον τῷ ἀγαθῷ ἔστιν ὅτε· ἀρ' οὗ πήματος ἔστι θεάσασθαι κακῶς διατεθὲν καὶ τὸ Λαΐου γένος, ὃν δὴ συμβῆναι ὑπὸ τοῦ ἰδίου παιδὸς φονευθῆναι Οἰδίποδος, ἐν ὁδῷ περιτυχόντα κατὰ τὴν Φωκίδα, καὶ ἐπὶ πέρας ἀγαγεῖν τὸ πρότερον αὐτῷ χρησμοδοτηθέν·

Μὴ σπεῖρε παίδων ἄλοχα δαιμόνων βίᾳ.

ὁ δὲ Θήρων τὴν συγγένειαν ἔχει πρὸς τὸ γένος τὸ τοῦ Οἰδίποδος, καὶ διὰ τοῦτο οἰκείως τοῖς περὶ αὐτὸν ἐχρήσατο λόγοις· πῶς δὲ συγγενής ἐστιν, ἐροῦμεν ἔξῆς· ἑρμηνεύεται

δὲ καὶ οὕτως· οὕτω δὲ ἅτε πατρῷον· ὃν τρόπον κατὰ τῶν προγόνων τῶν περὶ τὸν Θήρωνα κατέχει τὸν εὔρροον πότμον ἡ τύχη, καθαπερ τὸ πατρῷον κατέσχε, τουτέστι τῶν Καδμείων· οὕτω δὲ ἐπὶ τούτων τῶν περὶ τὸν Θήρωνα ἡ πατρικὴ μοῖρα κακῶν φέρει, καὶ πάλιν ἀγαθὸν ἡ ἐξ ἀρχῆς τοῦ γένους τούτου μοῖρα· ἡ ἐξ ἀρχῆς ἀπὸ γένους μοῖρα ἅμα τοῖς ἀγαθοῖς καὶ πήματα ἄγει, ἀφ' οὗ ἀνεῖλεν ὁ Οἰδίπους τὸν Λάϊον. Ἄλλως· οὕτω δὲ καὶ ἐπὶ τούτων τῶν περὶ τὸν Θήρωνα ἡ πατρῴα κακὸν ἄγει μοῖρα, καὶ πάλιν ἀγαθόν. Ἄλλως· ὅτι δὲ ἐκ πλούτου κακὸν ἄγει ἡ μοῖρα ἐν ἄλλῳ χρόνῳ, τεκμήριον ὁ Λαΐου παῖς. — † Σύνταξις.] Οὕτω δὲ ἡ μοῖρα καὶ ἡ τύχη, ἥτις ἔχει καὶ συνέχει τὸν εὔρροον καὶ εὐρραντικὸν πότμον τὸν πατρῴων καὶ τὴν εὐδαιμονίαν τῶνδε, ἤτοι τῶν προγόνων τῶν σῶν, σὺν ὄλβῳ καὶ εὐδαιμονίᾳ Θεόρτῳ καὶ Θεοπέμπτῳ· ἐκ γὰρ Θεῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει καὶ ἐπί τι πῆμα παλιντράπελον ἐν ἄλλῳ χρόνῳ· λέγει δὴ τὸ τοῦ Οἰδίποδος· λέγει δὲ, ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα τὴν ἀνωθεν ἐκ Θεῶν ἐπελθοῦσαν τοῖς τοῖς προγόνοις εὐδαιμονίαν ἐπὶ δυστυχίαν μετέβαλεν· ἔχει δὲ λόγον τὸ πατρῴον καὶ πρὸς τὸ πῆμα συνάψαι, ἤγουν πρὸς πατρικὸν ἄγει πῆμα, διὰ τὸ τοῦ Οἰδίποδος πάθος, ὃ καὶ ἐπάγει. † οὕτω δὲ ἡ μοῖρα, ἥτις συνέχει τὴν πατρῴαν τύχην τούτων ἡδεῖαν σὺν ὄλβῳ, ἤγουν εὐδαιμονίᾳ ὑπὸ Θεοῦ ὡρμημένη, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ κατά τινα χρόνον, καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν ἐπὶ τὸ ἐναντίον τετραμμένην, ἐξ ἐκείνου τοῦ χρόνου, ἀφ' οὗ ἔκτεινε τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ ὁ ἐκ μοίρας δαίμονος τεταγμένος ἀποκτενεῖν αὐτὸν συναντήσας, τὸν παλαιὸν δὲ χρησμὸν τὸν χρησθέντα ἐν τῇ Πυθῶνι τελεσθῆναι ἐποίησεν.

66. Ἔχει.] Φυλάσσει.

67. Θεόρτῳ.] Θεοκινήτῳ.

68. Ἐπί τι καὶ πῆμ' ἄγει.] Ἐπάγει δὲ ἡ μοῖρα καὶ κακόν τι ἐναντίον ἑτέρῳ χρόνῳ· τὸ δὲ ἤ ἐστιν ὅτε καὶ κακῶν πεῖραν ἡ μοῖρα δίδωσιν· εἶτ' ἐκ παραδείγματος τοιγαροῦν καὶ τὸ γένος Λαΐου τάδε ἔπαθεν· Θεόρτῳ δὲ, ὑπὸ Θεοῦ ὀρθουμένῳ, ἀσφαλεῖ, Θεοδωρήτῳ· παλιντράπελον δὲ, ἀντεστραμμένον· ᾧ δὲ ὅλη διάνοια οὕτως ἔχει· ἡ ἀπὸ τοῦ γένους μοῖρα ἐπὶ τὸν περὶ τὸν Θήρωνα εὔρροον πότμον καὶ ὄλβον, ὃν ὁ Θεὸς ὁρίνει καὶ δίδωσιν, ἐπάγει τι καὶ ἀντιστραμ-

μένον πῆμα ἐν ἄλλῳ χρόνῳ· ἐπάγει δέ τι, χρόνος ἀντὶ χρόνου, ἀντὶ τοῦ ἐπήγαγεν· παλιντράπελον, ἢ τὸ ἐναντίον τῷ κακῷ ἢ τὸ ἀηδές.

70. Ἐξ οὗπερ.] Ἀφ' οὗ χρόνου Λάϊον ἐφόνευσεν Οἰδίπους· εἰσὶ γὰρ ἀπόγονοι τούτων οἱ περὶ Θήρωνα. — Μόριμος υἱός.] Ἤτοι ὁ κατὰ μοῖραν αὐτῷ γενόμενος, ἢ ὁ μόρον ἐπενεγκών· ὁ δὲ χρησμὸς ὁ δοθεὶς Λαΐῳ δημώδης· Λάϊε Λαβδακίδη καὶ τὰ ἑξῆς. Ἄλλως· μόρσιμος, ὡς εἶπον, ἢ ὁ μεμοιραμένος ἢ ὁ μόρου αἴτιος τῷ πατρί· ὁ ἀναγκαίως κατὰ μοῖραν αὐτῷ γεγονώς· γράφεται καὶ μόρσιμος, ὁ μόρον ἐπενεγκών ἢ ὁμαρτημένος, διὰ τοῦ σ· μόρσιμον υἱὸν τὸν Οἰδίπουν, καθὸ μοῖραν ἐπήνεγκε τῷ πατρὶ Λαΐῳ· ἐν δὲ τοῖς Πα.ᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει·

Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων.

71. Ἐν δὲ Πυθῶνι χρησθέν.] Τὸ δὲ μαντεῖον τὸ δοθὲν τῷ Λαΐῳ κατὰ τὴν Πυθῶνα παρ' Ἀπόλλωνος τοῦτον πατραποκτονήσας εἰς πέρας ἤγαγεν ὁ Οἰδίπους.

72. Παλαίφατον.] Τὸ πάλαι πεφατισμένον καὶ ῥηθὲν Λαΐῳ.

73. Ἰδοῖσα δ' ὀξεῖ' Ἐριννύς.] Ἤτοι ὀξέως βλέπουσα ἢ ὀξέως τιμωρουμένη ἐστύγησεν, ὥστε ἀλληλοφονίαν γενέσθαι τοῦ γένους αὐτοῦ. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης ἀλλήλους ἀνεῖλον· τοῦτο δὲ ὀξέως θεασαμένη ἡ Ἐριννὺς, τὸ γεγονὸς ὑπὸ Οἰδιπόδους, ἀνεῖλεν αὐτοῦ τὸ γένος καὶ δι' ἀλλήλων χωρῆσαι ἐποίησε· λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην. — † Σύνταξις. Ἰδοῖσα δέ.] Ἰδοῦσα γὰρ ὀξέως ἡ ἔφορος τῶν ἀσεβούντων Θεὸς φονευθῆναι ἐποίησε τὸ γένος, ἤγουν τοὺς υἱοὺς αὐτοῦ, τοῦ Οἰδίποδος ἠλονότι, τοὺς ἀρχαίους, τουτέστι τοὺς πολεμικοὺς καὶ γενναίους, ἢ τοὺς ἀπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονίας· πεσόντος δὲ τοῦ Πολυνείκους, ἤγουν φονευθέντος, ὑπελείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νέοις ἁρμόζουσι καὶ ἐν μάχαις πολέμου, βλάστημα τῶν Ἀδραστίδων, ἀντὶ τοῦ τῆς Ἀδραστίδος, τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου, βοηθὸν τῶν δόμων· οὗτος γὰρ σὺν τῷ Διομήδει ἐπιστρατεύσας ταῖς Θήβαις ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον· ὅθεν, ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, ἔχουσι τὴν ἀρχὴν τοῦ σπέρματος, τουτέστι τοῦ γένους, οἱ περὶ τὸν Θήρωνα ἠλονότι.

74. Πέρνεν·] Ἐφόνευσεν· τεθνάναι ἐποίησεν.

75 Γένος ἀρήϊον.] Ἤτοι γενναῖον τὰ πολεμικά· ἢ ὅτε

ὃπ' Ἄρεος τὸ γένος κατῆγον διὰ τὴν Ἁρμονίαν. — Ἀρήιον.] Πολεμικὸν, ἤγουν τὸν ἐξ Ἄρεος καταγόμενον· ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος Ἁρμονία ἡ προμήτωρ αὐτῶν.

76. Λείφθη δὲ Θέρσανδρος.] Θέρσανδρος ἐπὶ μὲν γάμῳ ἔσχε Δαμώνασσαν τὴν Ἀμφιαράου, ἀδελφοὶ δὲ αὐτοῦ Τιμίας καὶ Ἄλαστωρ· τὸ ἐξῆς· ἐλείφθη δὲ τοῦ Πολυνείκους πεσόντος Θέρσανδρος, Ἀνδρότιμος, Ἄλαστος· ὁ δὲ Θέρσανδρος ἐν Μυσίᾳ τρωθεὶς ὑπὸ Τηλέφου τελευτᾷ. Ἄλλως· ἐλείφθη δὲ λοιπὸν ὁ υἱὸς Πολυνείκους ἀναιρεθέντος Θέρσανδρος, ὅστις αὐτῷ ἐξ Ἀργείας τῆς Ἀδράστου θυγατρὸς γέγονεν.

77. Ἐριπόντι.] Ἀποθανόντι.

78. Νέοις ἐν ἀέθλοις.] Ἐν τοῖς ἀκινδύνοις ἀγωνίσμασι καὶ πρέπουσι νέοις· λέγει δὲ τοῖς οἱ ἀγῶνος· ἐν μάχοις τε καὶ ἐν πολέμοις ὁ τίμιος καὶ γενναῖος τυγχάνων.

80. Τιμώμενος.] Ὁ Θέρσανδρος· γίνεται γὰρ Ἀργείας τῆς Ἀδράστου θυγατρὸς καὶ Πολυνείκους, εἰς ὃν ἀναφέρεται τὸ γένος ὁ Θήρων. — Ἀδραστείδας.] Ἐνταῦθα ἀντὶ ἑνικοῦ πληθυντικὸν ἐξήνεγκεν· ἔστι γὰρ Ἀδραστείδης· ἐκ μιᾶς γὰρ τῆς Ἀδράστου θυγατρὸς Ἀργείας γέγονε τὸ δὲ Ἀδραστείδαν οὐ περισπαστέον· ἔστι γὰρ βαρύτονον, καὶ ἔχει τὴν εὐθεῖαν Ἀδρηστεῖς, Ἀδραστείδων· εἴρηται γὰρ ἀπὸ τοῦ Ἀδραστίδες, Δαναΐδες· τὸ γὰρ ἀρσενικὸν περισπᾶται, οἱ Ἀδραστίδαι, τῶν Ἀδραστιδῶν.

81. Θάλος.] Τὸ γέννημα, ὁ κλάδος. — Θάλος ἀρωγὸν δόμοις.] Τὸ βλάστημα τοῦ Ἀδράστου γένους· ἀπὸ γὰρ Θερσάνδρου καὶ Κάδμου οἱ πρόγονοι τοῦ Θήρωνος· ἐπεὶ Θέρσανδρος καὶ Διομήδης οἱ ἐπίγονοι ἐπιστρατεύσαντες ταῖς Θήβαις τῶν προαναιρεθέντων πατέρων ἐξελύκησαν τὸν φόνον. — Δόμοις.] Τοῖς πατρικοῖς, ἤτοι ταῖς Θήβαις· ὕστερον γὰρ μετὰ Διομήδους ἐπιστρατεύσας αὐτὰς παριστήσατο ἐκδικήσας τὸν αὐτοῦ πατέρα· ἢ ἀρωγὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον.

82. Ὅθεν σπέρματος ἔχοντι.] Ἀφ' οὗ γένους, τοῦ Θερσάνδρου ἔχουσι τὴν ῥίζαν οἱ περὶ Θήρωνα· τὸ δὲ γένος Λαΐου καὶ Οἰδίποδος ὁ Θήρων οὕτω κατάγει· Λαΐου Οἰδίπους· τούτου Πολυνείκης· οὗ Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτεσίων· οὗ Θήρας· οὗ Σάμος· οὗτος ἔσχεν υἱοὺς δύο Τηλέμαχον καὶ Κλύτιον, ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ

Χαλκιοπεύς· οὗ Ἐμμενείδης· οὗ Αἰνησίδαμος· οὗ Θήρων ἔ. στι μὲν καὶ οὕτω διαστεῖλαι· ὅθεν σπέρματος ἔχοντι ῥίζαν· εἶτα ἀπ' ἄλλης ἀρχῆς· πρέπει τὸν Αἰνησιδάμου ὁ καὶ ὁ Διΐδυμος ἀποδέχεται. Ἀρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχοντι ῥίζαν τὸν Αἰνησιδάμου, ὡς τῶν ἴσων εἶναι τὸ ἀφ' ὧν ἔχοντι τὸ σπέρμα τῷ, Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν· γίνεται δὲ, φησὶν ὁ Διΐδυμος, κατὰ τὴν ἐκφορὰν ταύτην παρέλκον τὸ τυγχανέμεν· τὴν δὲ αἰτιατικὴν πτῶσιν τοῖς ἄνω συναπτέον ὡς προείρηκα, καὶ τὸ πρέπει τὸν Αἰνησιδάμου ἀπὸ ἄλλης ἀρχῆς· ὁ δὲ Θήρων τοῦ σπέρματος ἔχει ῥίζαν ἀπὸ τούτων· ὅθεν σπέρματος, ἀπὸ γὰρ Οἰδίποδος οἱ περὶ Θήρωνα· Αἰνησιδάμου γὰρ παῖδες Θήρων καὶ Ἴφερ. — Ὅθεν.] ἦγουν ἀπὸ τοῦ Θερσάνδρου, οὕτως· ἐκ Λαΐου Οἰδίπους· Οἰδίποδος Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους Θέρσανδρος· οὗ Τισαμενός· οὗ Λύτεσίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο Τηλέμαχον καὶ Κλύτιον, ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατώκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιοπεύς· οὗ Ἐμμενείδης· οὗ Αἰνησίδαμος ὁ τοῦ Θήρωνος πατήρ.

83. Πρέπει τὸν Αἰνησιδάμου.] Πρέπει τὸν Αἰνησιδάμου υἱὸν τὸν Θήρωνα τυγχάνειν ἐγκωμιαστικῶν τε μελῶν καὶ λυρῶν, ἀντὶ τοῦ καὶ λυρικῶν μελῶν· κατὰ μὲν γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδέξατο, ἐν τῇ Πυθῶνι δὲ καὶ τῇ Ἰσθμοῖ κοινῶν ἵππων χάριτες εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν ἐν τῷ αὐτῷ κλήρῳ ὄντα ἄνθη ἤγαγον, ἀντὶ τοῦ τὰ ἐξαίρετα, τὰς νίκας τῶν δυοκαίδεκα δρόμων τῶν ἁρμάτων· δωδεκάκις γὰρ περιήρχετο τὸν δρόμον τὰ τέλεια ἅρματα· τὸ δὲ τυχεῖν τινα ἀγωνίας, ἀντὶ τοῦ νίκης, ἐν ἀγῶνι πειρώμενον, τοῦτέστι ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει, ἀντὶ τοῦ ἀπολύει· ἐλευθεροῖ τῶν ἀγώνων· εὔρροον τὸ ἡδύ, δύσρροον τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν· ὁ δὲ πεπονημένος ἀρεταῖς, τουτέστιν ὁ τῶν ἀρετῶν πλοῦτος διδάσκει τὸ ἔγκυρον τῶν καὶ τῶν, ἀρίστων ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγαθῶν καὶ λυπηρῶν, διάνοιαν δ' οὖν βαθεῖαν, ἤγουν συνετήν, ἀγροτέραν, τουτέστιν ἀγρευτικὴν τῶν καλῶν, ἀστὴρ ὢν δηλονότι διάδηλος, φῶς ἀνθρώπῳ ἀληθινόν· τοῦτο λέγει ὅτι αἱ τῷ Ξενοκράτει κατορθωθεῖσαι νῖκαι διὰ τετρώρων εἰς τε τὰ Πύθια καὶ τὰ Ἴσθμια καὶ τοῦ Θήρωνός εἰσιν ἢ ὅτι τοὺς

ἕπτους κοινεὺς ἐκέκτηντο, μεθ' ὧν μόνος Ξενοκράτης ἀπελθὼν ἐνίκησεν, ἢ ὅτι τῶν Ξενοκράτους στεφάνων καὶ Θήρων μετέχει· εἰ γὰρ τὰ τῶν φίλων κοινά, πόσῳ γὲ ἐκ μᾶλλον τὰ τῶν ἀδελφῶν;

87. Ὀλυμπίᾳ μὲν γὰρ αὐτός.] Καθ' ἑαυτὸν γέρας ἔλαβεν, ἀντὶ τοῦ ἐν Ὀλυμπίᾳ ἐνίκησεν, ἔσχε δὲ καὶ κοινὰς πρὸς τὸν ἀδελφὸν Ξενοκράτην νίκας ἐν Ἰσθμῷ καὶ Πυθοῖ ἐξ ἑνὸς γὰρ οἴκου πρὸς ἱπποτροφίαν διδόντες καὶ ἀπὸ κοινῶν χρημάτων ἀμφότεροι καὶ ταῖς νίκαις ἀνεγράφοντο· καὶ οἱ μὲν βούλονται ἀκούειν οὕτως· οἱ κοινοὶ αὐτῶν ἵπποι νικήσαντες ἀμφοτέροις παρεσχήκασι κοινὴν καὶ τὴν δόξαν· οἱ δὲ, ὅτι ἐν τοῖς κοινοῖς ἵπποις ἀμφότεροι, ἕκαστος ἰδίᾳ ἐν αὐτοῖς, τοῖς ἵπποις, ἐνίκησε τέθριππον, ὃ καὶ μᾶλλον. Ἄλλως· Ὀλύμπια μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο, ἀντὶ τοῦ μόνος. Πύθια δὲ καὶ Ἰσθμια Ξενοκράτης· κατὰ δὲ τὴν τοῦ Ἀριστοτέλους Πυθιονίκης μόνος Θήρων ἀναγέγραπται· ἤτοι οὖν συλληπτικῶς εἴρηκεν, ἢ ἐπεὶ Θήρωνος ἵπποις ὁ Ξενοκράτης ἐνίκησε διὸ καὶ συνανεκήρυξε Θήρωνα. Εἰς μὲν τὰ Ὀλύμπια ἐνίκησε μόνος, εἰς δὲ τὰ Πύθια μετὰ Ξενοκράτους τοῦ ἀδελφοῦ τὸ γὰρ παλαιὸν ποιοῦνται ἀμφότεροι τὰς δαπάνας ἴσας ἑπέμπτον ἅρματα εἰς τὸν ἀγῶνα, καὶ νικώντων αὐτῶν κοινῶς καὶ τὴν νίκην εἶχον.

89. Ὁμόκλαρον εἰς ἀδελφεόν.] Ἤτοι διὰ τὴν συγγένειάν φησιν, ἢ ὡς ὁμοῦ ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζομένων, καὶ ὁσοῦ νικησάντων Ἰσθμια τεθρίππῳ· φησὶν οὖν, ὅτι ἐν Ἰσθμῷ αἱ χάριτες τῆς νίκης τῆς ἐν τῷ τεθρίππῳ κοινὰ ἤγαγον αὐτοῖς τὰ ἄνθη τῶν στεφάνων· ἀπὸ σελίνων γὰρ τὸ στέμμα. Ἡ οὖτως· αἱ δὲ χάριτες αἱ ἐν Πυθῶνι καὶ Ἰσθμῷ τὰ ἄνθη τῶν τεθρίππων εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἤνεγκαν. Ὁμόκληρον δὲ τὸν ἀδελφεὸν, ἢ διὰ τὸ τοῦ αὐτοῦ κλήρου καὶ φύσεως μετέχειν, ἢ ὅτι Ἰσθμια καὶ Πύθια ὁμοίως ἐνίκησε, διὰ τοὺς δύο στεφάνους μετασχὼν καὶ τῆς αὐτῆς δόξης. Ἄλλως· Ξενοκράτης ἦν Θήρωνος ἀδελφός· οὗτος ἐνίκησεν ἱπποτροφῶν καὶ Πύθια καὶ Ἰσθμια, καὶ γέγραφε Πίνδαρος εἰς τὰς τούτου νίκας· κοινὰς οὖν φησιν αὐτῶν εἶναι τὰς νίκας διὰ τὸ ἐκ τοῦ αὐτοῦ οἴκου εἶναι τὰς χορηγίας καὶ τὰς ἐπιμελείας τῆς ἱπποτροφίας· τὴν γοῦν Ἰσθμικὴν νίκην ὑμνῶν Θρασύβουλον προτερώνησε τὸν τοῦ Ξενοκράτους υἱόν. Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες οὕτως ἡγοῦντο κοινὰς τὰς νίκας.

90. Ἰσθμοῖ τε.] Ἐπιῤῥηματικῶς λέγει ὡς οἶκοι.

91. Ἄνθεα] Τὰς ἀρετάς.

92. Δυωδεκαδρόμων.] Ὅτι δώδεκα δρόμους ἔτρεχον τὰ τέλεια ἅρματα, τουτέστι ἑ καὶ β' καμπτῆρας.

93. Τὸ δὲ τυχεῖν πειρώμενον.] Οὕτως· ἐπιτυχὼν οὐκέτι ἐν ἀγωνίᾳ ἐστί, παρόσον ἄρρονας μὲν λέγουσι τοὺς ἀγωνιζομένους, τοὺς δὲ νικήσαντας οὐκέτι· ἡ οὖν τὸ πειρώμενον τοῦ ἀγωνίσματος τυχεῖν λύσιν ποιεῖ τῆς ἀφροσύνης, ὥσπερ τὸν μὴ νικῶντα ἄφρονα ποιεῖ. Ἄλλως· τὸ δὲ ἐπιτυχεῖν καὶ νικῆσαι ἀποπειρώμενον ἀγῶνος τῶν δυσκόλων φροντίδων τῶν ἐπὶ τῇ νίκῃ ἀπολύει. Ἄλλως· τὸ νικῆσαι δέ, φησί, τὸν ἀγωνιζόμενον παράλυσιν ποιεῖ τῆς ἀφροσύνης καὶ τῆς λύπης· δύναται δὲ καὶ κυρίως κεῖσθαι ἡ ἀφροσύνη, ἵν' ᾖ ὁ νικήσας νομίζηται ἐκτὸς ἀφροσύνης εἶναι· κρίνουσι γὰρ καὶ τὸ εὖ βεβουλεῦσθαι διὰ τὸ ἐλθεῖν ἐπὶ τὸν ἀγῶνα· τὸ δὲ τυχεῖν πειρώμενον ἀγωνίας καὶ λύπην λύει καὶ τὴν ἀθυμίαν ἐκβάλλει τῷ ἐπιτυγχάνοντι· κοινὸν ἔγκλημα ἡ ἄνοια καὶ ἡ ἀφροσύνη· ὁ νοῦς· πρῶτον μὲν τὸ πειρᾶσθαι ἀγῶνος παρίχει κάματον τοῖς ἀγωνιζομένοις, ὕστερον δὲ πόνων λύσιν καὶ εὐκλειαν ἔχει. — Τὸ δὲ τυχεῖν πειρώμενον.] Τὸ δὲ πειρώμενον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον κατορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι· τοῦτο γάρ ἐστι τὸ τυχεῖν· παραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα τῶν δυσφρόνων, ἤτοι τῶν πρὶν προσόντων αὐτῷ ἀλγεινῶν ἢ δυστυχιῶν· ἡ γὰρ τῆς νίκης λαμπρότης λήθην τῶν ἔμπροσθεν τίθησιν· εἰκότως δὲ δύφρονα τὰ ἀλγεινὰ λέγει ἢ τὴν δυστυχίαν· ἥ τε γὰρ δυστυχία καὶ ἡ λύπη καὶ τὸν συνετώτατον τοῦ λελογισμένου κατάγει· τοῦτο δὲ λέγει εἰς τὸν αὐτὸν σκοπὸν, εἰς ὃν ἔμπροσθεν ἔλεγε. Τῶν δὲ πεπραγμένων ἐν δίκᾳ, καὶ τὰ ἑξῆς· ὁ πλούτῳ κεκοσμημένος καὶ ἀρεταῖς κατάκοσμος οὔτε ὑπὸ τῆς ἐπελθούσης αὐτῷ εὐτυχίας ἐπαίρεται οὔτε ὑπὸ δυστυχίας χαυνοῦται διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς, εἰ μέλλει καλῶς τὸν ἅπαντα αἰῶνα διάξειν φησὶ δὲ καὶ Καλλίμαχος·

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἀνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

καὶ Σαπφώ. Ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀγαθὸς σύνοικος· ἡ δ' ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον· τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ.

94. Πειρώμενον.] Δοκιμάζοντα.

96. Ὁ μὲν πλοῦτος.] Οἱ μετ' ἀρετῆς πλουτοῦντες εὐγενῶς φέρουσι τὰ δύο, τά τε ἀγαθὰ καὶ τὰ κακά· οὔτε γὰρ τὸν πλοῦτον ἀποδέχονται οὔτε τὴν ἀρετὴν, ἀλλὰ τὰ δύω ἡνωμένα· φησὶ γάρ· ὁ πλοῦτος καινωθεὶς τῇ ἀρετῇ ποιεῖ τοὺς ἀνθρώπους εὐ-

γενῶς φέρειν τὰ ἀγαθὰ καὶ τὰ κακὰ ὑπὸ τὸν αὐτὸν καιρὸν, τὴν βαθεῖαν αὐτοῦ μέριμναν ὑπέχων, ὃ ἐστιν ὑπεράνω ὧν τῶν προσπιπτόντων ἀγαθῶν τε καὶ κακῶν· τὸ δὲ ἀγροτέραν σημαίνει ἀγρευτικὴν καὶ ἐρευνητικήν. Ἄλλως· ὁ νοῦς· ὁ δὲ πλοῦτος οὐ μόνος ὢν καθ' ἑαυτὸν, ἀλλὰ καὶ ἀρετῇ κεκοσμημένος, καιρίως τῶν τε ἑαυτοῦ ἀγαθῶν καὶ τῆς ἀρετῆς ἀπολαύει, συνετὴν ἔχων τὴν φροντίδα πρὸς τὸ ἀγρεύειν τὰ καλὰ· τούτων γὰρ τὸ ἕτερον καθ' ἑαυτὸ οὐχ ἡδύ· ὡς καὶ Καλλίμαχος

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον·

καὶ ἡ Σαπφώ. Πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος· ἡ δ' ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον· τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. Ἄλλως· ὁ πλοῦτός γε μὴν ταῖς ἀραταῖς κεκοσμημένος καὶ τῶν ἐξ αὐτοῦ εὐρραινόντων καὶ τῶν ἐκ τῆς ἀρετῆς κοσμούντων δίδωσι καιρὸν καὶ ἡδονὴν, τὴν πολλὴν καὶ βαθεῖαν καὶ συνετὴν διάνοιαν εὔκολον καὶ εὔληπτον καὶ ἀγροτέραν διδούς· ὁ μὲν, ἀντὶ τοῦ ὅταν· ὁ δὲ νοῦς· ὅταν ᾖ πεποικιλμένος ὁ πλοῦτος σὺν ἀρετῇ, πορίζει τὰ εὐρραίνοντα καὶ τὰ ἑαυτοῦ καὶ τὰ ἀπὸ τῆς ἀρετῆς περιγινόμενα ἑαυτῷ· ἀρετὴν μὲν γάρ τις ἔχων, ἀχόρηγος δὲ ὢν διὰ τὸ πένης εἶναι, στέρεται τῶν εὐρραινόντων· πλούσιος δὲ ὢν ἀρετὴν μὴ ἔχων οὐ χοᾶται τοῖς εὐρραίνουσι· καὶ πλοῦτος τῇ ἀρετῇ κεκοσμημένος καὶ τῶν ἐξ αὐτοῦ εὐρραινόντων καὶ τῶν ἐκ τῆς ἀρετῆς κοσμούντων δίδωσι καιρὸν καὶ ἡδονὴν, πολλὴν καὶ συνετὴν τὴν διάνοιαν πρότερον παρασχών· μετὰ ταῦτα καὶ τὰς ἰδίας ὁ πλοῦτος καὶ τὰς τῆς ἀρετῆς εὐφροσύνας παρέχει, προπαρασχὼν τὴν μέριμναν δι' ἧς πάντα ἀγρεύεται· βαθεῖαν συνετὴν, ἀπὸ τῶν ἐν βάθει ὑδάτων· ἀγροτέραν ἀντὶ τοῦ εὐαγροτέραν, τὴν ἅπαντα ἀγρεύουσαν καὶ θηρευτικὴν εἰς τὸ πορίζειν· κατὰ λέξιν· βαθεῖαν, τὴν συνετὴν· ὑπέχων, ὑποτιθείς· ἀγροτέραν, ἀγρευτικὴν τῶν ἡδέων, θηρευτικωτέραν πρὸς τὸ πορίζειν τὰ ἀγαθά. — Φέρει τῶν τε καὶ τῶν.] Τῶν αὐτοῦ καλῶν καὶ τῆς ἀρετῆς· ἢ τῶν ἐπὶ τῇ ἀθλήσει καμάτων ἐκείνων φησὶ καὶ τούτων τῶν καλῶν. — Φέρει.] Προτείνει — Τῶν τε καὶ τῶν.] Τῶν φανερῶν καὶ ἀφανῶν πραγμάτων.

99. Βαθεῖαν.] Φρονίμην.

100. Μέριμναν.] Σκῆψιν, γνῶσιν.

101. Ἀστὴρ ἀρίζηλος.] Ὁ μετὰ ἀρετῆς πλοῦτος ὡς ἀστὴρ

ἐστιν ἔκδηλος, ἀληθινὸν φῶς τοῖς ἀνθρώποις. — Ἀριζηλος] Φανερός· δηλονότι ἀστὴρ ὢν διάδηλος, ἀληθινὸν φῶς ἀνθρώπο. Ἀλαθινὸν γράφε, ἵν' οἰκεῖον ᾖ τὸ μέτρον, καὶ μὴ ἔτυμον· καὶ ἔχει, μὴ ἔχων· οὐ γὰρ ἔχει καλῶς τὸ ἔχων πρὸς σύνταξιν.

102. Εἰ δέ μιν ἔχει.] Εἰ δέ τις τοῦτον ἔχων τὸν πλοῦτον ὁρᾷ καὶ πρὸς τὸ μέλλον, ὅτι τῶν ἀδίκων τελευτησάντων τὸν βίον τιμωρίαι καὶ κρίσις παρὰ τοῖς ἀποιχομένοις ἐστὶν, οὐκ ἂν αὐτῷ εἰς ἀδικίαν ἐχρήσατο. — Εἰ δέ νιν ἔχων τις] Ὁ' λόγος τοιοῦτος· ὁ μετὰ τῆς ἀρετῆς πλοῦτος ἀστὴρ ἐστιν ἀριζηλος καὶ ἀληθινώτατον ἀνδρὶ φέγγος· εἰ δέ τις αὐτῷ χρήσηται εἰς βίον καὶ οὐκ εἰς ἀδικίαν κατατιθέμενος τὴν δύναμιν αὐτοῦ, ἀλλὰ τοὐναντίον εἰς δικαιοσύνην . . . . Ἀρίσταρχος ἐξηγεῖται οὕτως· εἴ τις οἶδε τὸ μέλλον, ὅτι ποινὴν τίνουσιν οἱ ἐν ᾅδου παρανομήσαντες· ὁ γὰρ λόγος ὡς τῶν αὐτῶν πλεονάκις ἀναβιούντων καὶ ἐνθάδε ἢ καὶ ἐκεῖ δίκας διδόντων τῶν ἁμαρτημάτων· ἔνιοι δὲ ἁπλούστερον ἀκούουσι τὸν λόγον οὕτως· εἴ ἔχων τις τὸν πλοῦτον οἶδεν, ὅτε ἐν τῷ ὑστέρῳ χρόνῳ οἱ ἀποθανόντες καθ' ᾅδου δίκας διδόασιν — † Σύνταξις. Εἰδέ μιν ἔχει.] Εἰ γὰρ ἔχει τις αὐτὸν, ἄγουν τὸν τῆς ἀρετῆς πλοῦτον· οἶδε τὸ μέλλον, ὅτι τῶν θανόντων μὲν αἱ ψυχαὶ αἱ ἀπάλαμνοι, τουτέστιν αἱ ἀδιόρθωτοι, αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι μηχανήσασθαί τι, ἐνθάδε αὐτίκα, ἀντὶ τοῦ τάχιστα, τιμωρίας ἔτισαν, ἀντὶ τοῦ ὑπέχουσι, τὰ δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διὸς, ἄγουν τὰ ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις, ἤγουν ὁ Πλούτων, ἀπέφασιν δοὺς ἀνάγκης ἐχρᾶς, τοῖς κολαζομένης δηλονότι.

104. Ὅτι θανόντων μὲν ἕως ἐχθρᾷ λόγον φράσας ἀνάγκα] Ἐγκρίνει τὴν παλιγγενεσίαν· λέγει οὖν· εἴ τις οἶδε τὸ μέλλον, ὅτι οἱ μὲν ἐν τῷ ζῆν ἁμαρτάνοντες ἐν ᾅδου κολάζονται, οἱ δὲ ἐν ᾅδου ἐν τῷ ἡμετέρῳ βίῳ ἐν τῇ τοῦ Διὸς ἀρχῇ· ταύτην γὰρ εἶπε τὸν ὑποκείμενον τῷ οὐρανῷ τόπον· καὶ ἐάντις ἐν ταῖς τρισὶν ἀναβιώτσειν, ἃς ὑρίσταται, ἀναμάρτητος εἰς τὰς τρεῖς ἑκατέρωθεν μένῃ, τοῦτόν φησιν εἰς τὰς τῶν μακάρων νήσους προπέμπεσθαι· τὸ δὲ περὶ τῆς παλιγγενεσίας ἀρχαιότερόν ἐστι· παραδίδοται γὰρ ἔτι ἀνέκαθεν, ὡς Ὁμηρός φησιν. (Οδυσ. σ, 78)

Νῦν μὲν μήτ' εἴης, βουγαῖε, μήτε γένοιο.

πρῶτος δοκεῖ τούτῳ τῷ δόγματι χρήσασθαι Πυθαγόρας· τῷ

δὲ ἀπάλαμνοι φρένες συναπτέον τὸ ἐνθάδε· ὅτι τῶν ἐνταῦθα ἀδίκων ἀπάλαμνοι φρένες αὐτίκα καὶ εὐθέως τελευτησάντων ποινὰς καὶ τιμωρίας ἔκεῖ δεδώκασιν· ἔξωθεν οὖν χρῆσθαι αὐτῷ πρὸς εὐσεβειαν δεῖ. Ἄλλως. — Ὅτι θανόντων] Χρύσιππος οὕτως ἀκούει· ἐνθάδε μὲν ὑπὸ τῶν θανόντων ἐτιμωρήθησαν, κάτω δὲ ὑπὸ τῶν κάτω δικαζόντων, εἴτε Λίδης ἐστὶν εἴτε ἕτερός τις· οὐκ ἀπίθανον δὲ, φησὶν ὑπὸ τῶν τελευτησάντων τιμωρεῖσθαι τοὺς ζῶντας· μεστὴ γὰρ τούτων ἐστὶν ἡ τραγῳδία, ὅτι οἱ ἀδικούμενοι εὐχῆς τοῖς καταχθονίοις ἤρωσι ποιοῦνται, ἵνα ἐπικουρήσωσιν αὐτοῖς· οἷον Ἠλέκτρα τῷ Ἀγαμέμνονι· ἔνιοι δέ φασι τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν· τὰς γὰρ ψυχὰς εἰς ἕτερα σώματα ἐνδυνούσας ἀνανεοῦσθαι ὥστε ὅσοι μὲν ὑπὲρ γῆς ὄντες ἐπλημμέλουν, τούτους ἐν ᾅδου δίκην ὑπέχειν· ὅσοι δ' ἀνάπαλιν ἐν ᾅδου ἐνεωτέρισαν, ὑπὲρ γῆς γινόμενοι δίκας τίνουσιν, ὥστε μηδαμόθεν αὐτοὺς ἀποφυγεῖν τὴν προσήκουσαν τοῖς ἡμαρτημένοις δοῦναι δίκην. — Ὅτι θανόντων] Τὸ ἐνθάδε πρὸς τὸ ἀπάλαμνοι συναπτέον, τὸ δὲ αὐτίκα πρὸς τὸ ἔτισαν, οὕτως· αἱ ἀπάλαμνοι καὶ βίαιοι φρένες τῶν θανόντων, ἤγουν οἱ συκοφάνται καὶ οἱ πονηροὶ καὶ βίαιοι ἐν τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν αὐτίκα ἐν ᾅδου.

105. Ἀπάλαμνοι.] Ἀπαίδευτοι.

106 Διὸς ἀρχᾷ.] Διὸς ἀρχὴν φησι τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν· φησὶν οὖν ὅτι τὰ ἐν τοῖς ζῶσιν ἁμαρτήματα κατὰ γῆς δικάζει τις· λέγει δὲ τὸν Πλούτωνα τιμωρεῖσθαι αὐτούς· λείπει τὸ διδούς, τουτέστι διδοὺς τῇ ἐχθρᾷ ἀνάγκῃ, εἰπὼν τὸν λόγον τῆς τιμωρίας· ἐχθρᾷ δὲ τοῖς πονηροῖς· τὸν δέ, φησὶ, σύνδεσμον ἀντὶ τοῦ γὰρ δεῖ ἀκούειν . . . . . καθιστάναι τὸν λόγον· ὁ γὰρ τῇ τοῦ Διὸς ἀρχῇ ἀλιτρά . . . . λέγει γὰρ τοῦτο ὁ Πίνδαρος· ἐπεὶ οἱ ἐν τῷ ζῆν ἁμαρτάνοντες μετὰ τὸν θάνατον δίκας ὑπέχουσιν, οἱ δὲ καθ' ᾅδου ἄδικοι τὰ μὲν κατὰ τὸν τοῦ ζῆν χωρισμὸν, ὅταν ἀναβιώτωσιν, ἐν μέρει πάλιν δίκας ὑπέχουσιν ἐν τῷ ζῆν τοῖς Ὀλυμπίοις θεοῖς· εἶται γὰρ ἀναβιοῦν τὰς ψυχὰς Πυθαγορικῇ δόξῃ χρώμενος· ταῦτα δὲ τῶν ἀσεβῶν σκάπτειν ἐν λίμναις τε πελαγίζεσθε. — Διὸς ἀρχᾷ] Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κόσμος Ποσειδῶνος θάλασσα καὶ πάντα τὰ ὕδατα, Πλούτωνος τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος.

107. Κατὰ γᾶς] Ὑπὸ γῆν, τουτέστι καθ' ᾅδου· ὑρίσταται δὲ ἐν ᾅδου τινὰ Ἀνάγκην ὀνόματι καὶ ταύτῃ παραδίδοσθαι

τοὺς ἀσεβεῖς. Διὸς ἀρχὴν τοὺς ἐπιγείους βούλεται εἶναι, λέγει δὲ τοὺς ζῶντας.

108. Φράσας ἀνάγκᾳ.] Τὸν τῆς τιμωρίας λόγον σωματοποιεῖ· ἐνταῦθα δαίμονα τὴν Ἀνάγκην, ἢ τὰς ἁμαρτίας λέγουσιν οἱ ἀκούοντες. — Λόγον.] Λέγει τὴν ἀπόφασιν· σύναπτε δὲ τὸ ἐχθρᾷ ἀνάγκᾳ πρὸς τὸ δικάζει, τὸ δὲ λόγον φράσας διὰ μέσου, οὕτω· δικάζει τις ἐν τῇ ἐχθρᾷ καὶ ἀποτόμῳ ἀνάγκᾳ· φησὶ τὸν λόγον καὶ τὴν τῆς καταδίκης ἀπόφασιν· εἰκότως δὲ εἶπε τὸ ἐχθρᾷ καὶ τὸ ἀνάγκᾳ· τὸ μὲν ἀνάγκᾳ, διότι ἀπαραίτητόν ἐστι τὸ ἐκεῖ δικαστήριον, τὸ δὲ ἐχθρᾷ, διότι οὐδεὶς ἐκεῖ φίλος, ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων δικαιοῦται καὶ κατακρίνεται· οἱ δὲ ἆθλοι καὶ ἀγαθοὶ ἔχοντες αἰεὶ καὶ πάντοτε ἥλιον ἐπίσης ἐν ἡμέραις καὶ νυξί, τουτέστι ὅσον καιρὸν ἡμεῖς ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλαμπόμενοι νέμονται βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ.

109. † Ἴσον δὲ νύκτεσσιν.] Σύνταξις· οἱ δὲ ἀγαθοὶ ἐπίσης ἐν ταῖς νυξὶν, ἐπίσης δὲ ἐν ταῖς ἡμέραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονέστερον, ἀντὶ τοῦ ἄπονον, ἀκοπίατον ζωὴν νέμονται, τουτέστι διάγουσιν, οὐ χθόνα ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν, ἤγουν οὐ γεωργοῦντες, οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες, ἤγουν οὐδὲ ναυτιλίᾳ χώμενοι διὰ ματαίαν τροφὴν, οἷα κάμνουσιν ἐν τῇ παρούσῃ ζωῇ οἱ ἄνθρωποι, ἵνα βίον πορίσωνται· ἀλλὰ παρὰ μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτωνι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον βίον διάγουσιν ἐκεῖνοι, οἵτινες ἔχαιρον εὐρηλίαις, τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις· οἱ δὲ, ἤγουν οἱ τῆς ἑτέρας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαιδαγωγήτους ἔχοντες γνώμας, πόνον ἀχέοντι, τουτέστιν ὑρίστανται, ἀπὸ μεταφορᾶς τῶν ὀχημάτων, ἄπρος-όρατον, ἤγουν μέγαν καὶ οὐ προσβλέπεσθαι δυνάμενον, μεταφορικῶς ἀντὶ τοῦ ἀνύποιστον. Ἴσον γράφε καὶ ἴσα, ἵ' ὀρθῶς ἔχει τὰ κῶλα πρὸς τὸ μέτρον.

110. Ἴσα δ' ἐν ἀμέραις.] Ἴσον ἡμῖν τοῖς ζῶσι χρόνον ἐπιβάλλει ὁ ἥλιος καὶ τοῖς ἐν ᾅδου δικαίοις· οὐκέτι περὶ τῶν ἀδίκων δὲ ὁ λόγος, ἀλλ' ἐπὶ τῶν δικαίων· φησὶν οὖν, ὅτι τοῖς ζῶσιν ἡμῖν τὸν ἴσον χρόνον ἐπιτελεῖ καὶ τοῖς ἐν ᾅδου ἀγαθοῖς ὁ ἥλιος, καὶ τόπον ἔχουσι τοιοῦτον, καθ' ὃν ἐπιλάμπει αὐτοῖς ὁ ἥλιος, ἀπονέστερον δὲ ἡμῶν διάγουσι τὸν χρόνον. — Ἅλιον.] Φῶς ἄδυτον.

111. Ἀπονέστερον.] Ἄθλιον καὶ ἄλυπον.

113. Οὐ χθόνα ταράσσοντες.] Οὔτε γεωργοῦντες οὔτε πλέοντες, διὰ τὸ κενὰ αὐτοῖς εἶναι τὰ τῆς δικαίτης. — Οὐ χθόνα ταράσσοντες.] Τουτέστιν οὐκ ἐργαζόμενοι τὴν γῆν· χερὸς δὲ ἀμαχῆ ἀντὶ τοῦ καρπῷ τῷ ἐπὶ τῆς χειρὸς νῦν, καθὸ καὶ Ἀρίσταρχος· ἔνιοι δὲ χερὸς δὲ ἀκμῇ ἀντὶ τοῦ τῇ ἀλκῇ, οἱ ἀλληγορικῶς ἀκούουσιν· οὐ χθόνα γὰρ οἷον οὐ πολεμοῦντες κατὰ γῆν· οὐδὲ πόντιον ὕδωρ· οἷον οὐδὲ στόλους κατ' ἀλλήλων ἐπάγοντες· κενεὰν δὲ παρὰ δίκιταν, παρὰ τὰ κενεὰ αὐτῶν κρίματα· ἄμεινον δὲ Ἀρίσταρχος παρὰ τὰ μὴ πλήρη τὰ τῆς διαγωγῆς ἐκεῖ, οἷον εἴ τις λέγει· μὴ ἐργαζόμενος οὔτε κατὰ γῆν οὔτε κατὰ θάλατταν δι' ἔνδειαν.

114. Ἐν χερὸς ἀκμᾷ.] Τῷ καρπῷ τῷ ἐπὶ τῆς χειρός· ἢ οὕτως· οὐκ ἀρνοῦντες οὐδὲ σκάπτοντες τῇ ἀκμαζούσῃ χειρὶ τῶν νέων καὶ δυνάμεων ἐργάζεσθαι· τινὲς δὲ ἀλληγορικῶς ἀκούουσιν· οὔτε πολεμοῦντες κατὰ γῆν οὔτε ἀλλήλοις στόλον ἐπάγοντες κατὰ θάλατταν, τουτέστι ναυμαχοῦσιν. Ἄλλως· οὐ χθόνα ταράσσοντες, οὐ διὰ μόχθου καὶ καμάτου τὴν ἐπιθυμίαν καρπούμενοι· οὐδὲ γὰρ γεωργία προσέχουσιν ἀναταράσσοντες τὴν γῆν· τινὲς δὲ χερὸς ἀκμᾷ τὸ ἄροτρον ἢ τὸ δόρυ· οὐδὲ πόντιον ὕδωρ, ἀπὸ κοινοῦ τὸ ταράσσοντες, ἀντὶ τοῦ· οὐδὲ κατὰ θάλατταν κινδυνεύοντες ἔχουσι τὴν ζωήν.

116 Κεινὰν παρὰ δίκιταν.] Διὰ τὴν κενὴν καὶ ἄπορον δίκιταν· λέγει δὲ τὴν πενίαν· οὐδὲ γὰρ παρὰ τὴν αἰτίαν τὴν πενίαν· τιμίοις Θεῶν, τῷ Πλούτωνι καὶ τῇ Περσεφόνῃ· οἵτινες οὖν, φησίν, ἔχαιρον τοῖς δικαίοις, ἀπόνως καὶ ἀβασανίστως καὶ ἀδακρυτὶ διάγουσι τὸν ὅλον αἰῶνα πρὸς τῷ μήποτε ἀρότριᾳν μήτε ἐνθαλαττεύειν, ἀλλ' ἐν ταῖς μακάρων νήσοις διάγειν· παρὰ τούτοις γὰρ διατρίβουσι τοῖς τιμωρουμένοις ὑπὲρ Θεῶν, οἵτινες δίκαιοι ἦταν ζῶντες. — Κεινὰν παρὰ δίκιταν.] Δέον εἰπεῖν «κενῶς καὶ ματαίως· ματαίως γὰρ οἱ ἄνθρωποι περὶ τὸ ζῆν σπεύδουσιν, ἐπεὶ καὶ τὸ ζῆν μάταιον· κεινὰν εἶπε πρὸς τὸ δίκιταν.

117. Τιμίοις.] Τοῖς τιμωμένοις Θεοῖς.

121. Τοῖς δ' ἀπροσόρατον.] Οἱ ἀσεβεῖς ἀπροόρατον δι', ἤτοι ὃν οὐκ ἂν τις ὑπομείνειεν, δεινόν· ἢ ἀνεπίδεικτον καὶ Θεοῖς πόνον ἔχουσιν, οὐδὲ ὑπὸ Θεῶν δυνάμενον προορᾶθῆναι.

122. Οἱ δ' ἀγχέοντε πίν ν.] Οἱ ἄδικοι ὑφίστανται καὶ βαστάζουσιν ἀπροόρατον καὶ ἀπροσδόκητον πόνον, ὃν οὐδὲ προιδεῖν οἷόν τε ἐστίν, ἢ ὃν οὐδεὶς ἰδεῖν ἐθελήσειε· λέγει δὲ ὅτι

οἱ δυσσεβεῖς ἀνεπίδεκτον καὶ θεοῖς πόνον ἔχουσιν, ὃ ἐστιν, οὐδὲ ὑπὸ θεῶν προσραυθῆναι δυνάμενον. Ἄλλως· τοὶ δ' ἀπροσόρατον, φοβερὸν, ὃ οὐ τολμᾷ τις προσβλέψαι. — † Ὀχέοντι.] Ὄχος γὰρ τὸ ὄχημα, ὡς ἐν ἄλλοις οὕτως.(Ὀλυμπ. Ϛ'. 23)

Ὅρρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄχνον.

Ὀχεῖς λέγεται τὸ μετέχον τοῦ ὀχήματος. ἦγουν βίες, ἵπποι, ἡμίονοι, οἵτινες ὑρίσταναι το ὄχημα, ὥσπερ ἄδικον ἡ ἀδικία λέγεται καὶ τὸ μετέχον τῆς ἀδικίας.

123. Ὅσοι δ' ἐτόλμασαν εἰς τρίς.] Ὅσοι δὲ ἐκ τρίτου ὑπέμειναν ἐν ἑκατέρῳ τόπῳ μείναντες ἔν τε τῷ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν, ἀπέχεσθαι τῶν ἀδίκων ἔργων καὶ δίκαια πράσσειν, ἐστάλησαν ἣν ὁδὸν ἔταξεν ὁ Ζεὺς, ἣν μακάρων νῆσον ὀνομάζουσιν· ἣν δὴ Κρόνου τύρσιν προσηγόρευσαν. Ἄλλως ὅσοι δὲ ἐλαρτέρησαν μέχρι τρῶν μετεμψυχώσεων εἰς ἑκάτερα τὰ μέρη, εἴς τε τὸν ἐν ᾅδου μετὰ θάνατον εἴς τε τὸν τῆς ζωῆς χρόνον δίκαιοι γενέσθαι, τὴν ψυχὴν δικαίως καὶ ὁσίως φυλάξαι, οὗτοι ἐστάλησαν εἰς ἣν ἔταξεν ὁ Ζεὺς, ὅ ἐστιν εἰς τὰς τῶν μακάρων νήσους, ἔνθα Κρόνος ἔχει τὴν ἐκεῖ κατοίκησιν· ἐν αἷς νήσοις πλησίον οὖσαις τοῦ Ὠκεανοῦ αἱ πλεῖστοι καὶ ἡδεῖαι αὖραι τέρπουσαι πνέουσι, καὶ τὰ ἐν αὐταῖς ἄνθη ὡς χρυσὸς στίλβει, τὰ μὲν ὄντα ἐκ τῆς γῆς, τὰ δὲ ἐκ τῶν δένδρων τῶν ἐν τῇ χέρσῳ, τὰ δὲ ἐκ τῆς τῶν ὑδάτων ἀπορρύσεως τρεφόμενα, οἷονεὶ ῥόδα, ὑάκινθος, ἐν ταῦτα γὰρ ὕδατι τρέφεται ἐξ ὧν ἀνθέων οἱ δίκαιοι ταῖς ἑαυτῶν χερσὶν ὅρμους πλέκουσι καὶ στεφάνους· ἐνδείκνυται δὲ τὸ ὑπισθάλλον τῆς τέρψεως· τὴν δὲ τῆς μετεμψυχώσεως γνώμην Πυθαγόρας πρῶτος εἰσηγήσατο, ᾧ νῦν ὁ Πίνδαρος ἀκολουθεῖ· τοῦτο Πυθαγόρου φήσαντος ἐπῆνεσε Πλάτων τὸ ῥῆμα, ὅτι τρίτον ἡ ψυχὴ δικαζομένη ἐν ᾅδου τρίτον εἰς σῶμα μετεμψυχοῦται, καὶ τοὺς τοσαυτάκις δικαιοπραγήσαντας ἐν βίῳ ἄγειν τὸν Δία εἰς τὰς μακάρων νήσους καὶ παρὰ τὴν τύρσιν τοῦ Κρόνου, τουτέστι τὰ τείχη καὶ τὴν τοῦ Κρόνου βασιλείαν· λέγει δὲ τὰς μακάρων νήσους περιφραστικῶς· εἰς τρὶς ἤτοι ἀριθμοῦ ἢ ἀντὶ τοῦ πολλάκις ὅσοι εὐνυήθησαν ἐν γῇ καὶ ἐν ᾅδου, ὡς παρὰ Πλάτωνι ἡ ἐς τρὶς ἀδόλως φιλοσοφήσασα ψυχή. † Ἐς τρίς.] Ἐνιοί φασι τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν· οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώματα εἰσδυούσας φησὶν ἀνακυεῖσθαι. Ἄλλως· τῷ τῆς μετεμψυχώσεως δόγματι καὶ Πίνδαρος κέ-

χρηται ἀρχὴν ἐξ Ὁμήρου ἔχων· λέγει γὰρ ἐκεῖνος. Μήτ' εἶης, βουγάϊε, μήτε γένοιο· (Ὀδυσ. σ, 78.) ὁ Πυθαγόρας ἐνδεξάμενος πλατύτερον εἰς μέσον ἐξήνεγκεν· ὅτι δὲ καὶ Πλάτων τῶν τοῦτο πιστευόντων ἦν, μαρτυρεῖ Φαίδων· ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλησαν ἔχειν τὴν ψυχὴν ἄπο κακῶν καὶ μακρὰν τῶν ἀδίκων πάμπαν καὶ παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἑκατέρωθι, ἦγον ἐν τῷ βίῳ καὶ ἐν τῷ ἅδῃ, ἔτειλαν καὶ ἐπορεύθησαν Διὸς ὁδὸν, ἦγουν ἣν αὐτοῖς ὁ Ζεὺς ἔταξε, παρὰ τὴν τύρσιν καὶ τὴν πόλιν τοῦ Κρόνου, ἦγουν ἐν ταῖς τῶν μακάρων νήσοις· ἐγένετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ἅδῃ εἰς ὀκίμον ἀκριβῶς· αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ Ὠκεανῷ εἰσιν, ὡς φησιν Ὅμηρος. (Ὀδυσ. δ, 568.)

Ὠκεανος δ' ἀνίκησι [παραψυχὴν] ἀναψύχειν ἀνθρώπους. ὅσοι ἐτόλμησαν, τουτέστιν ὑπέμειναν μέχρι τρίτης μετεμψυχώσεως ἐν ἑκατέροις τοῖς μέρεσιν, ἦγουν ἐνταῦθα καὶ ἐν τῷ ἅδῃ μείναντες ἀπέχειν τὴν ψυχὴν, τουτέστι κεχωρισμένην ἔχειν τῶν ἀδικίων, ἔτειλαν, ἀντὶ τοῦ ἐστείλαντο ἦγουν ἐκρατύθησαν τὴν τοῦ Διὸς ὁδὸν, ἣν ὁ Ζεὺς δηλονότι αὐτοὺς πορεύει, λέγω παρὰ τὴν πόλιν τοῦ Κρόνου, τουτέστι παρὰ τὴν πόλιν ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν, ἔνθα τὰς νήσους τῶν μακάρων αἱ τοῦ Ὠκεανοῦ αὖραι περιπνέουσιν, ἀντὶ τοῦ ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι ὑπὸ τῶν αὖρῶν τοῦ Ὠκεανοῦ περιπνεόμεναι.

124. Μείναντες] Βαστάσαντες.

125. Ἀπὸ — ἔχειν] Ἀποχωρίζειν.

126. Ἔτειλαν.] Ἐτελείωσαν· παρὰ τὴν τοῦ Κρόνου βασιλείαν ἐτελείωσαν, ἦγουν, ἐπορεύθησαν. Διὸς δὲ ὁδὸν, ἣν ἔταξε τοῖς δικαίοις, τὴν ὑπὸ Διὸς δεδειγμένην αὐτοῖς, ἢ τὴν ὑπὸ τοῦ Διὸς νομοθετηθεῖσαν· λέγει δὲ πρὸς τοῦ Διὸς κρίνεσθαι τοῦτον· τὸν γὰρ ἑκατέρωθεν μείναντα ἀναμάρτητον εἰς τῶν μακάρων νήσους πέμπεσθαι.

127. Τύρσιν.] Πόλιν, κυρίως δὲ τὸ τεῖχος· λέγονται γὰρ πρῶτοι Τυρσηνοὶ τὴν τῶν τειχῶν κατασκευὴν εἰρηκέναι· ὅτε ἐν τῷ Ὠκεανῷ αἱ τῶν μακάρων νῆσοι λέγονται εἶναι καθ' Ὅμηρον· φησὶ γὰρ,

Ὠκεανὸς ἀνίκησιν ἀναψυχὴν ἀνθρώποις.

128. Μακάρων.] Ἁγίων.

129. Νᾶσος.] Νᾶσος χρὴ γράφειν διὰ τὸ μέτρον. Μοεκ. Β τὸ Ἠλύσιον πεδίον.

130. Αὖραι.] Αἱ πνοαί. Παρὰ τὸ Ὁμηρικόν. (Ὀδυσ. δ, 567.)
Ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντας ἀήτας.

131. Ἄνθεμα δὲ χρυσοῦ.] Λείπει τὸ ὡς· ἵν' ᾖ, ὡς χρυσοῦ φλέγει ἄνθη· ἢ οὕτω· τὰ μὲν ἄνθη λάμπουσιν ὡς ἀπὸ χρυσοῦ. — Ἄνθεμα δὲ χρυσοῦ φλέγει.] Ἄνθη δὲ χρυσοῦ λαμπρότατα λάμπει, τὰ μὲν ἀπὸ τῆς γῆς ἀπ' ἀγλαΐαν, ἀντὶ τοῦ εὐθαλῶν δένδρων· ἄλλα δὲ τρέφει τὸ ὕδωρ· ἀφ' ὧν ἀναπλέκουσι ταῖς χερσὶ τοὺς περιτραχηλίους κόσμους καὶ στεφάνους κατὰ τὰς κρίσεις τὰς δικαίας τοῦ Ῥαδαμάνθυος, ὃν ὁ πατὴρ πάντων ὁ Κρόνος ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον, τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης Θρόνον ὑψηλότατον πάντων.

132. Τὰ μὲν χερσόθεν.] Διέστειλεν ἀπὸ τῶν δένδρων τὰ κατὰ τὴν γῆν βλαστήματα, τουτέστι τὰ χρείαν ἔχοντα ἀρδεύεσθαι ἄνθη ἀπὸ δένδρων, ἐλαίας, μυρσίνης, κισσοῦ καὶ τάδε ἄνθη· ἴα, κρόκος· τὰ μὲν γὰρ ἀπὸ στελέχους καὶ χωρὶς ὕδατος ἀνθεῖ, τὰ δὲ χαμαίζηλα ἐπαρδευόμενα διατηρεῖται θάλλοντα καὶ ἀκμαῖα.

135. Ὄρμοισι τῶν χέρας.] Ὄρμους· ἀντὶ τῆς αἰτιατικῆς τῇ δοτικῇ ἐχρήσατο ὄρμοις οὖν λέγει τοῖς ἐλίγμασιν, οἷς τὰς κεφαλὰς στεφανοῦνται καὶ τὰς χεῖρας. Ἄλλως· ὄρμοιτι, τοῖς ἑνόρμασιν, οἷς τὰς χεῖρας στεφανοῦνται καὶ τὰς κεφαλάς· κατ' ἀναλλαγὴν δὲ πτώσεως εἶπεν ἀντὶ τοῦ χερσὶν ἀναπλέκουσιν ὄρμους καὶ στεφάνους. — Ὄρμοισι τῶν.] Τοῦτο οὕτω λέγε· τῶν καὶ ἀφ' ὧν ἀναπλέκουσι τὰς χεῖρας ἐν ὄρμοις καὶ ἐν στεφάνοις, τὰς ἑαυτῶν κεφαλὰς ὀνονότι· καὶ ἔστιν ὅμοιον τῷ παρ' Εὐριπίδῃ· (Ὀρέστ. 1086.)

Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον
Μὴ λαμπρὸς αἰθήρ·

τὸ πνεῦμά μου ὀνονότι.

137. Βουλαῖς ἐν ὀρθαῖς.] Τέτακται γὰρ οὗτος, ὡς καὶ Πλάτων λέγει, τοὺς δικαίους πέμπειν εἰς τὰς μακάρων νήσους. † Ἄλλως· ὡς τοῦ Ῥαδάμανθυς τοῦτο τοῖς δικαίοις παρεχομένου· ὑφίσταται γὰρ αὐτὸν τῶν μακάρων ἄρχοντα νήσων· ἢ ὡς τούτων μεταλαβόντων φύσεως δαιμονίας, οἵτινες ὀρθοὶ κατὰ βουλὴν καὶ δίκην τὸν τρόπον ἔχοντες, ὡς καὶ ὁ Ῥαδάμανθυς· ἢ συγχωροῦντος τοῦ Ῥαδαμάνθυος· οὗτος γὰρ δικαιονομεῖ τοῖς ἐν ᾅδου· ἢ οὕτω· βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος· ὁ γὰρ Ῥαδάμανθυς διακονεῖ τοῖς κάτω, ὑπηρετῶν τῷ Κρόνῳ.

138. Ὃν πατὴρ ἔχει Γῆς ἕτοιμον.] Τὸν δίκα τοῦ κληθῆναι ἐλθόντα. — Ὃν πατήρ.] Ὄντινα Ῥαδάμανθυν ἔχει κάρεδρον καὶ συγκάθεδρον ἕτοιμον καὶ πρόχειρον καὶ αὐτόκλητον ὁ πατὴρ πάντων Κρόνος, ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης Θρόνον ὑπέρτατον καὶ ἔξοχον πάντων. Οἱ γράφοντες ὕπατον ἀγνοοῦσι τὰ μέτρα.

139. Πάρεδρον.] Πλησίον αὐτοῦ καθήμενον.

140. Πόσις.] Ὁ μὲν Ἀρίσταρχος πόσιος γράφει ὁ πάντων, καὶ τὸν Δία ἀκούει συμπότην εἶναι τοῦ Ῥαδαμάνθυος, ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον· ὄντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων ὁ Κρόνος, ὁ τῆς Γῆς παῖς· ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης Θρόνον Ῥέας ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. — Πόσις ὢν Ῥέας.] Παῖς δὲ τῆς ὕπατον ἐχούσης Θρόνον· τῆς Πίσης γὰρ τῶν Τιτάνων ὁ Θρόνος, οἱ Γῆς εἰσιν υἱοί· Θρόνον δὲ αὐτοῦ μέγιστον εἰληφέναι ὡς πάντα φέρουσαν καὶ τοῦ κόσμου νομιζομένην εἶναι θεῶν τροφόν, ὡς καὶ ὁ ποιητής. Ζείδωρον ἄρουραν· ἔνιοι πόσιν ἠκουσαν τὸν συμπότην.

142. Πηλεύς τε καὶ Κάδμος.] Συγκαταλέγονται δὲ ἐν τούτοις τοῖς δικαίοις ὅ τε Κάδμος καὶ ὁ Πηλεύς. — Σύνταξις.] Ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις τοῖς τῶν μακάρων νήσοις λαχοῦσιν, οἰκεῖν ὀφλονότι, συγκαταλέγονται· καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ περφθῆναι ἐποίησεν, ἡ μήτηρ αὐτοῦ ἡ Θέτις, ἐπεὶ διὰ δεήσεων ἔπεισε τὴν ψυχὴν τοῦ Διός· ὃς, ἤγουν ὁ Ἀχιλλεύς, ἔσφηλεν, ἀντὶ τοῦ κατέστρεψε, τὸν Ἕκτορα, τὸν ἀκλινῆ κίονα τῆς Τροίας, τὸν ἄμαχον, τουτέστι τὸν ἀνιπόστατον ἐν ταῖς μάχαις· καὶ τὸν Κύκνον, τὸν τοῦ Ποσειδῶνος ὀφλονότι, τῷ θανάτῳ παρέσχεν, ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἠμέρας τὸν Μέμνονα, τὸν ἀπὸ Αἰθιοπίας, εἰκότως εἶπε τὸν Ἕκτορα κίονα· ἐκεῖνος γὰρ ἦν ἔρεισμα τῆς Τροίας, οὗ πεσόντος ἐπὶ σαθροῦ τὸ Ἴλιον εἱστήκει. — Ἐν τοῖσιν ἀλέγονται.] Ἀριθμοῦνται, συγκαταλέγονται ἐν τοῖς εὐσεβέσι τοῖς κατοικοῦσι τὰς τῶν μακάρων νήσους· καὶ τὸν Ἀχιλλέα δὲ ἡ μήτηρ τεθνηκότα αὐτόθι ἤγαγεν, ἐπειδὴ τοῦ Διὸς τὴν ψυχὴν ἔπεισεν ἱκεσίαις.

144. Αἰταῖς.] Παρακλήσεσιν.

146. Ἄμαχον.] Δύσμαχον, ἀκαταγώνιστον, ἀκαταπόνητον. — Ἄμαχον, ἀστραβῆ κίονα.] Μεταφορικῶς εἶπεν· ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρὸς καὶ μὴ ῥᾳδίως συστρεφόμενος· ἄτρεπτον καὶ ἀμετακίνητον· καὶ ἔστι κατὰ μετάθεσιν τοῦ

ε. εἰς τὸ α καὶ ἀποβολὴν τοῦ λ· ἔστι γὰρ ἀτρεβὴ, οἷον ἄστρεπτον, ἀτραβὴ· ἀκατακμάχητον, ἀκατάστρεπτον, οὐκ εἰσδιδόντα εἰς φυγὴν τὰ νῶτα, ἀκίνητον, ἀτάλευτον· κίσσα δὲ οὐ στῦλον λέγει, ἀλλ' ἔστι παντὶ οἴκῳ τόπος στῦλος λεγόμενος, ἐφ' οὗ κεῖνται οἱ πίνακοι, καὶ λέγεται ὅλην ἔχειν τὴν οἰκίαν.

147. Κύκνον τε θανάτῳ πόρε.] Παρέδωκε, τὸν Ποσειδῶνος καὶ Σαμανδροδίκης, οἱ δὲ Ἀρπάλης· ἄλλοι δὲ Καλυκίαν φασί. Κύκνοι δὲ δύο, ὁ μὲν Ἄρεος, ὁ δὲ Ποσειδῶνος· καὶ τὸν μὲν Ἄρεος κακῶς τὰ περὶ Θετταλίαν διαθέντα Ἡρακλῆς ἀπέκτεινε, τὸν δὲ Ποσειδῶνος Ἀχιλλεὺς στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσίν. — Ἱστορία περὶ τοῦ Κύκνου· δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεος υἱὸς ὁ ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεραλαῖς ναὸν ἀνεγεῖραι τῷ πατρὶ, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναῦς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσὶν, στάμενος ἐν στενῷ τῆς ἐλεῖ Θαλάσσης καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι, ὑπ' Ἀχιλλέως ἀπέκτεινεν.

148 Λοῦς τε παῖδ' Αἰθίοπα.] Τὸν Μέμνονα τὸν Τιθωνοῦ τοῦ Λαομέδοντος καὶ Ἠμέρας· ταῦτα δὲ λέγουσιν οἱ τὰ μεθ' Ὅμηρον γράψαντες οὕτω· Τιθωνῷ γίνονται ἐξ Ἠμέρας παῖδες δύο, Μέμνων καὶ Ἠμαθίων· καὶ Μέμνων μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, Ἠμαθίων δὲ ὑπὸ Ἡρακλέους κατὰ τὴν ἀπέλασιν τῶν Γηρυόνου βοῶν. — Ἱστορία περὶ τοῦ Μέμνονος· Τιθωνοῦ καὶ Ἠμέρας δύο παῖδες γίνονται, Μέμνων καὶ Ἠμαθίων, ὧν ὁ μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, Ἠμαθίων δὲ ὑφ' Ἡρακλέους κατὰ τὴν ἀπελασίαν τῶν Γηρυόνου βοῶν· ἐμυθεύσαντο δὲ αὐτοὺς Ἠμέρας εἶναι παῖδας διὰ τὸ Αἰθίοπας ὄντας λευκοὺς καὶ ὡραίους εἶναι.

149. † Πολλά μοι ὑπ' ἀγκῶνος.] Πολλὰ βέλη ταχέα ὑποκάτω τοῦ ἀγκῶνός μού εἰσιν, ἔνδον τῆς βελοθήκης, φωνάντα, ἤγουν φωνὴν ἀφιέναι δυνάμενα συνετοῖσιν, παρὰ τοῖς φρονίμοις, ἀντὶ τοῦ, πολλὰ νοήματα ὀξέα ἐν τῇ ψυχῇ μού εἰσι ζῶντα παρὰ τοῖς φρονίμοις, ὡς ἐπίπαν δὲ ἑρμηνέων ἔχει χρείαν· φωνήεντα, τὰ φωνὴν ἀφιέναι δυνάμενα· φωνήεντα δὲ γράμματα τὰ φωνῆεν μόνον δυνάμενα, κατ' ἐναντιότητα τῶν συμφώνων, ἃ σὺν τοῖς φωνήεσιν ἀεὶ ἐκφωνῆται καὶ οὐδέποτε μόνα.

150. Ὠκέα βέλη.] Τροπικῶς ὁ λόγος· βέλη δὲ τοὺς λόγους εἴρηκε διὰ τὸ ὀξὺ καὶ καίριον τῶν ἐγκωμίων· φαρέτρης δὲ,

τῆς διανοίας· τὸ δὲ ὑπ' ἀγκῶνος, ὡς πρὸς τὸ φαρέτρας ἀκουστέον· οὕτω καὶ ὁ Βουκόλος (Θεόκριτος ιζ', 30) Ὑπωλένιόν τε φαρέτραν λέγει. Ἄλλως. — Πολλά μοι ὑπ' ἀγκῶνος] Ἀντὶ τοῦ πολλὰ λέγειν ἔχω· βέλη δὲ εἴρηκε τὰ ποιήματα. Σκυθικὰ δὲ βέλη τὰ ποιήματα λέγει· εἰώθασι γὰρ οἱ Σκύθαι ὑπὸ τῶν ἀγκώνων βέλη βαστάζειν· οἱ δὲ Κρῆτες κατὰ τῶν ὤμων.

152. Φωνάντα.] Συμφωνοῦντα. — Φωνάντα συνετοῖσιν.] Λανθάνοντα τοῖς συνετοῖς τῶν ἀνθρώπων εἶναι, εἰς δὲ τὸ κοινὸν ἀφέμενα ἑρμηνέως χρῄζειν τοῦ σαφηνίζοντος αὐτά, ὡς οὐ πᾶσι καταδήλως φράζων· ὥστε τοῖς μὲν σοφοῖς σοφὰ διαλέγεσθαι καὶ μὴ ἔκθεσμα, τοῖς δὲ ἰδιώταις μὴ κατάδηλα γενέσθαι· φωνὴν ἀφιέντα καὶ σαφῆ παρὰ σαφοῖς.

153. Ἑρμηνέων χατίζει.] Εἰς δὲ τὸ κοινὸν καὶ εἰς τοὺς πολλοὺς καὶ χυδαιοτέρους ἐρχόμενοι ἑρμηνείας χρῄζουσιν· τινὲς δὲ, ὅτι πολλὰ ἔχων λέγειν εἰς τὸ πάντα εἰπεῖν καὶ διατίθεσθαι προσδεῖσθαι ἑρμηνέων· ὡς Ὅμηρος·

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι. (Ἰλιάδ. β, 488.)

ἤτοι περὶ τῶν ποιημάτων ἑαυτοῦ διαλέγεται· οἶδε γάρ, ὅτι πολλῇ ἱστορίᾳ κέχρηται καὶ σχήμασιν ἐξηλλαγμένοις καὶ φράσει ποικίλῃ· ἔχει γὰρ ὑπερβατὰ πολλὰ τὰ ποιήματα οὖν, φησί, τὰ ἐμὰ ἑρμηνέων χρῄζει, οἷον, οὐδὲν ἔστιν ὃ μὴ χρήζει ἑρμηνέων· αὐτὸς γὰρ οὐ δύναται διὰ τὸ πλῆθος ἐξειπεῖν πάντα· ὅμοιον δέ ἐστι τῷ,

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω.

154. Σοφὸς ὁ πολλὰ εἰδώς] Ὁ λόγος γνωμικός· καὶ φησι, σοφός ἐστιν ὁ πλεῖστα ἐπιστάμενος ἐκ φύσεως, ὁ φύσει πρός τι ἔχων· τῶν γὰρ μανθανόντων οἱ ἐκ φύσεως ἔμπειροι βελτίους· ἐπειδὴ καὶ πρεσβυτέρα τῶν μαθημάτων ἡ φύσις· οἱ δὲ ἀπὸ μαθήσεως βουλόμενοι ἥκειν καὶ ἐκ πολλῶν συνείροντες, ὃν τρόπον καὶ οἱ κεραῖται κόρακες καὶ μάτην φιλοροῦντες, ἀτελῆ καὶ περιττὰ καὶ ἀσύνετα φθέγγονται πρὸς τὸν συνετὸν καὶ Θεῖον ὄρνιν τοῦ Διὸς τὸν ἀετὸν ἀντιθοῶντες· ἀποτείνεται δὲ πρὸς τὸν Βακχυλίδην· γέγονε γὰρ αὐτῷ ἀνταγωνιστὴς τρόπον τινὰ καὶ εἰς τὰ αὐτὰ καθῆκεν αὐτόν· — Ὁ πολλὰ εἰδώς.] Ὁ τῇ φύσει πολύπειρος καὶ εὑρετικός· οὗτός ἐστιν ὁ τῷ ὄντι σοφὸς καὶ μὴ πάντα διδακτὰ ἔχων. — Κόρακες.] Οἷον ὡς κόρακες πρὸς ἀετὸν ἀντιθοῶντες, οὕτως οἱ μαθόντες πρὸς τὸν φύσει σοφὸν αἰνίττεται Βακχυλίδην, καὶ Σιμωνίδην ἑαυτὸν λέγων ἀετὸν, κόρακας δὲ τοὺς ἀντιτίχνους,

τοὺς εὐφυεῖς ἀετοῖς παραβάλλων, τοὺς ἀφυεῖς κόραξιν· τὸ γαρύετον δυϊκὸν οὐκ ὀρθῶς κεῖται, οὐδὲ τηροῦτι πάνυ τὸ τοιοῦτον οἱ ποιηταὶ οὗτοι. — Σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ.] Ἀντὶ τοῦ φύσει, τουτέστιν ἀπὸ φύσεως· φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος, ἐνταῦθα δὲ φυᾷ ἀντὶ τοῦ φύσει· οἱ μαθόντες δὲ, ἀντὶ τοῦ οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ κόρακες λάθρως γαρύουσιν, ἀντὶ τοῦ κράζουσιν ἀπέραντα, παγγλωσίᾳ, τουτέστι συγκεχυμέναις φωναῖς, πρὸς τὸν Θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν τὸν ἀετόν. Σύνταξις· φυᾷ, ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα· τοιοῦτος δὲ ἐγὼ πάντα σχήμασι καταποικίλλων τὰ ποιήματα καὶ φράσει ποικίλῃ καὶ πολλοῖς ἄλλοις, ἃ οἴκοθεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεῦρον καὶ ἐμηχανησάμην· οἱ δὲ μαθόντες γαρύετον καὶ βοῶσιν ἄκραντα καὶ ἀτελείωτα, λάθροι καὶ σφοδροὶ ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ κόρακες πρὸς τὸν Θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν ἐμέ· τουτέστιν οἱ μὲν ἄλλοι ποιηταί· λέγει δὲ διὰ τὸν Βακχυλίδην, οὗτος γὰρ αὐτήριζεν αὐτῷ· περιττολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι καὶ ἄκραντα λέγουσιν· ἐγὼ δὲ τὸ προσῆκον πανταχοῦ τηρῶ καὶ οὐκ ἐκφέρομαι τοῦ εἰκότος, ὥστε ἐκεῖνοι μὲν τοιοῦτοι ὄντες κόρακές εἰσιν ὡς πρὸς ἐμὲ, ἐγὼ δὲ ἀετὸς· ὅσῳ γὰρ ἀετὸς κόρακος κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων.

165. Λάθροι.] Στόματι ἀνεῳγμένῳ βοῶσιν ἀτελείωτα.

158. Ἄκραντα γαρύετον.] Οἱ φύσει χρώμενοι λαμπροί, εἰ δὲ μαθόντες ἄκραντα γαρύειν ἡσσονές εἰσι τῶν καθ' αὑτοὺς ὅτι οὐδέποτε μαθόντων ἢ ἐπισταμένων· τὸ δὲ γαρύετον κακῶς τινες λέγουσιν εἰρῆσθαι· οὐ γὰρ ἐπὶ δυϊκοῦ βούλεται ἡ λέξις, οὐδὲ ὑπὲρ δύο κοράκων, ἀλλ' ὑπὲρ πολλῶν· ὥσπερ κόρακες φιλονεικοῦσι πρὸς ἀετὸν, οἱ διδάκτοι πρὸς τοὺς φύσει αὐτοδιδάκτους· εἰ δέ πως πρὸς Βακχυλίδην καὶ Σιμωνίδην κινίττεται, καλῶς ἄρα ἐξείληπται τὸ γαρύετον δυϊκῶς· καὶ οὕτως ὄντως ἔχει ὁ λόγος.

160. Ἔπεχε.] Ἔντεινε. — Ἔπεχε νῦν σκοπῷ] Μελέλεων ἑαυτὸν φησὶν· ἐπὶ τὸν σκοπὸν ἐπίτεινον τὸ τόξον. Ἄλλως· ἀπέστρεψε τὸν λόγον πρὸς ἑαυτὸν καί φησιν ὅτι, ἐπάνελθε εἰς τὸν ἐξ ἀρχῆς σκοπὸν καὶ τὴν σπουδὴν τὴν περὶ τοὺς Θήρωνος ἐπαίνους· δι' ὅλου δὲ τὴν τοῦ τόξου ἐφύλαξε τροπήν· τὸ δὲ τίνα βάλλομεν, τίνα ἔχομεν θαυμάσαι ἐκ τῆς ἰδίας διανοίας· τίνα βάλλομεν, δηλονότι σκοπὸν, τὸν νικηφόρον·

μή ποτε δὲ βέλτιον ἀκούειν σκοπὸν τὸν Ἀκράγαντα καὶ γὰρ ἐπιφέρει· Ἐπί τοι Ἀκράγαντι τανύσαις· ἐκ δὲ τούτου σημείωσαι τὸν εὔκαιρον καὶ εὔστοχον λόγον. — Ἔπεχε νῦν.] Ἀντὶ τοῦ ἐπέχων ἤδη ἔντυνε, ὦ Θυμέ, κατὰ τοῦ σκοποῦ τὸ τόξον· ἀντὶ τοῦ χαλιναγωγῶν τὸν λόγον ἀπὸ τῶν ἔξω τοῦ καιροῦ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. † Σύνταξις· ἄγε, εἰπέ, ὦ Θυμέ, ἤγουν, ὦ ψυχή, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, οἵστοὺς πέμποντες ἐνδόξους ἀπὸ ἡμέρου καὶ φιλικῆς φρενός; τουτέστι τίνα ἐγκωμιάζομεν; ἐπὶ τὴν Ἀκράγαντα τάνυτον, ἤγουν ἕλκυσον, τὸ τόξον ὀηλονότι, ἀντὶ τοῦ ἐπὶ τὴν Ἀκράγαντα ἀπότεινε τὸν λόγον.

162. Ἐκ μαλθακᾶς αὖτε φρενός.] Τοῦτο εἶπε Θηραπεύων τὸ σκληρὸν τοῦ λόγου· τὸ γὰρ ἀπὸ τόξου βάλλειν, ὡς φησι δύσφρονός ἐστι κατὰ τοῦ βαλλομένου· τῆς οὖν προσηνοῦς καὶ οὐ πολεμικῆς διανοίας· ἐπεὶ παρέθαλε τῷ τόξῳ καὶ τοῖς θέλεσι τὰ ποιήματα κατὰ μέρος, ἵνα μὴ ᾖ ἐκ τραχυτῆτος, ἐκ προσηνοῦς φησι φρενὸς τὸν ὕμνον ἀφεθήσεσθαι. — Εἰκότως εἶπε τὸ μαλθακᾶς, πρὸς ἀντιδιαστολὴν τοῦ τόξου· τὸ μὲν γὰρ σκληρὸν ἐστι καὶ πικρίαν ἐμποιοῦν, πρὸς οὓς πέμπει τὰ βέλη· αὕτη δὲ εὐφροσύνης αἰτία τοῖς ἐγκωμιαζομένοις καθίσταται.

164. Ἐπί τοι Ἀκράγαντι τανύσαις.] Ἐπὶ σκοπὸν τὴν Ἀκράγαντα τείνας τὸ τόξον μεθ' ὅρκου λέγω τὸ ἀληθὲς καὶ ἀπομνύμι· τοῦτο ὡς ἐν συνοίᾳ γενόμενος καὶ μαθὼν τίνα ὀφείλει ἐγκωμιάσαι, φησίν, ὅτι ἐπὶ τῇ Ἀκράγαντι τῇ πόλει τοῦ Θήρωνος λέγει τὸ τόξον, ὅ ἐστι τὸν λόγον, τείνειν.

166. Λυδάσομαι ἐνόρκιον.] Λόγον ὄμνυμι ἐνόρκιον καὶ ἀληθέστατον· ἵνα δείξῃ τὸ πιστὸν ὧν λέγει· περὶ γὰρ ὧν τις πέποιθεν, ὅρκοις διϊσχυρίζεται· τί δέ φησιν; ὄμνυμι μή τινα πόλιν ἄλλην πρὸ ὅλων ἑκατὸν ἐτῶν τεκεῖν τοιοῦτον ἄνδρα μηδὲ ἄλλον εἰς εὐεργεσίαν τῶν φίλων πρόχειρον ἢ πρὸς ἐκδοσιν χρημάτων ἀφθονέστερον τοῦ Θήρωνος· τοῦτο αὐτὸ τὸ τῆς εὐδοξίας ἀγαθόν. Ἄλλως· Λυδάσομεν ἐνόρκιον.] Ἀκράγας πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη, ὁ δὲ Θήρων ὃς ἢ ὃς ἐνίκησε· γίνεται οὖν τὰ μεταξὺ ἀπὸ τῆς κτίσεως ἕως τοῦ Θήρωνος νίκης ρϑ' ἔτη· ὁ δὲ Πίνδαρος τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. Ἕλληνες δὲ κτίζουσιν Ἀκράγαντα· ἐξ οὗ, φησίν, ἐκτίσθη ἡ πόλις τῶν Ἀκραγαντίνων, οὐκ ἄλλος ἐγένετο ὁμοίως Θήρωνι εὐεργετικὸς καὶ συνετὸς καὶ μεγαλόφρων

οὕτως — Αὐδάσομαι μεθ' ὅρκιον.] Ἀποφαινοῦμαι μεθ' ὅρκου τὴν ἀλήθειαν, ὡς μήτε μεγαλοφρονέστερον μήτε εὐρετικώτερον μήτε συνετώτερον ἀπὸ ἑκατὸν ἐτῶν ἐνηνοχέναι μᾶλλον Θήρωνος ἄλλον τινά. Ἄλλως· ὄμνυμι ὅρκον ἀληθέστατον μήτε εὐεργέτην ἀπὸ ἑκατὸν ἐτῶν γενέσθαι μήτε μεγαλόψυχον· ἀλλὰ φθόνος τις ταράξαι βουλόμενος ὕβριν ἐπήνεγκεν οὐ δικαίως αὐτῷ· λέγει δὲ τὴν ἔριν τὴν πρὸς τὸν ἀδελφὸν γενομένην, καὶ φιλικὸν ἄνδρα καὶ μεταδόσει χρημάτων εὐεργετικώτατον λέγει τὸν Θήρωνα. + Αὐδάσομαι, ἀντὶ τοῦ λέγω, διαβεβαιοῦμαι λόγον σὺν ὅρκῳ κατὰ ἀληθῆ διάνοιαν, μηδένα ἄλλον ἄνδρα ἐν ἑκατὸν ἐτῶν, ἤγουν ἐντὸς ἑκατὸν ἐνιαυτῶν, τεκεῖν τὴν πόλιν εὐεργέτην πρὸς τοὺς φίλους, φρονήσεσι, τουτέστι διὰ τῆς ἑαυτοῦ φρονήσεως μᾶλλον, ἀρθονέστερόν τε κατὰ τὴν χεῖρα, ἀντὶ τοῦ κατὰ τὴν δωρεάν, τουτέστι μεγαλοδωρότερον, τοῦ Θήρωνος. Συνταξις· αὐδάσομαι, ἤγουν λέξω ἐν ἀληθεῖ νῷ, λόγον ἐνόρκιον καὶ μετὰ ὅρκου, μὴ τεκεῖν καὶ γεννῆσαι πόλιν ἑκατὸν ἐτῶν καὶ χρόνου τινὰ ἄνδρα ἐν ταῖς πραπίσι καὶ φρονήσεσιν εὐεργέτην τοῖς φίλοις μᾶλλον καὶ περισσότερον τοῦ Θήρωνος, καὶ ἀρθονέστερον καὶ θαψιλίστερον κατὰ τὴν χεῖρα, ἤτοι τὸ διδόναι· εἰ μὲν τὸ τινὰ πρὸς τὸ ἄνδρα συνάψεις, πόλιν ἑκατὸν ἐτῶν νοήσει, τὴν Ἀκράγαντα· ἐν γὰρ τῇ πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη. Θήρων δὲ ἐν τῇ ἑβδομηκοστῇ ἐνίκησεν· ἐπειδὴ οὖν εἴκοσιν Ὀλυμπιάδες διὰ μέσου εἰσίν, ἡ δὲ Ὀλυμπιὰς διὰ πέντε χρόνων ἐγίγνετο, ἑκατὸν χρόνων ἀριθμὸς γίνεται· πεντάκις γὰρ εἴκοσιν ἑκατόν· εἰ δὲ πρὸς τὸ πόλιν τὸ τινὰ συνάψεις, ἀρίστως εἴποις τὸ πόλιν, τοῦτο δὲ ποιῶν μὴ λόβῃς πρὸ ἢ ἕως εἰς τὸ ἑκατὸν ἐτῶν, ἀλλὰ χωρὶς τούτων λέγε· τινὰ πόλιν ἑκατὸν ἐτῶν· εἰ γὰρ περὶ τὸν κόσμον οἱ χρόνοι, ἐν δὲ τῷ κόσμῳ οἱ πόλεις, καλῶς ἂν ἔχοι λέγειν καὶ τὰς πόλεις τῶν χρόνων· νόει δὲ τὸν λόγον καὶ ἐπὶ μέλλοντος καὶ παρῳχημένου· τὸ γὰρ τεκεῖν οὐ μόνον μέλλοντα χρόνον δηλοῖ· μέλλων γὰρ δεύτερος τὸ τεκεῖν· ἀλλὰ καὶ παρῳχημένον· τεκεῖν γὰρ καὶ ἀντὶ τοῦ τέξαι καὶ ἀντὶ τοῦ τέξειν φαμέν.

167. Ἀλαθεῖ νόῳ.] Ὅτι ὑπολαμβάνω.

168. Τεκεῖν.] Γεννῆται — Ἑκατὸν ἐτέων.] Λέγεται τὴν Ἀκράγαντα πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθαι ἐκεῖθεν δὲ ἄχρι τῆς Θήρωνος νίκης ἔτη εἶναι ἑκατὸν ἐν Ὀλυμπιάδι κέ.

γίνονται δὲ πρὸς ταῖς ν' Ὀλυμπιάσι οἱ ἓνίκα οὖν οϛ', κέχρηται δὲ τῷ ἀπηρτισμένῳ ἀριθμῷ εἰπὼν ρ'

172. Ἀρθονέστερον.] Τὸ α ἔστιν ἐπιτατικὸν καὶ οὐκἀρνητικόν.

173. Ἀλλ' αἶνον ἐπέβα κόρος.] Τὴν ᾠδὴν ταύτην ἔγραψεν ὁ Πινδαρος τοῦ Θήρωνος πολεμοῦντος διὰ τὴν πρὸς Ἱέρωνα κηδειαν· κόρος δὲ ἡ ὕβρις μετὰ ἀδικίας τὸ δὲ χριστικὸν, φησὶ, τοῦ Θήρωνος ἐπέβησε πολλοὺς εἰς ὕβριν, δηλονότι αὐτοὺς προηγάγετο, ἐπεὶ οἱ προδόντες αὐτὸν Ἱέρωνι φίλοι ἦσαν· δύναται δὲ τοῦτο καὶ εἰς τοὺς περὶ Κάπυν τείνειν, οἳ ἐπεστράτευσαν αὐτῷ μὴ ὑπομένοντες αὐτὸν ὁρᾶν οὕτω λαμπρὸν ὄντα· ἐπέβη οὖν τῷ Θήρωνος ἐπαίνῳ ὁ φθόνος ὑπαντήσας οὐ κατὰ δίκην, οὐδὲ ὃν δεῖ τρόπον. Δῆλος· Κάπυς καὶ Ἱππικράτης Θήρωνος ἦσαν ἀνεψιοί· οὗτοι πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες, ὡς ἑώρων ηὐξημένην αὐτοῦ τὴν τυραννίδα, φθονοῦντες πόλεμον ἤραντο πρὸς αὐτόν· ὁ δὲ συμβαλὼν αὐτοῖς παρὰ Ἰμέραν ἐνίκησεν. Ἄλλως· ἓξα κόρος τὸν ἔπαινον, τὴν δόξαν τοῦ Θήρωνος· κόρος δὲ ὕβρις. Ἄλλως· τοῦτο ὥσπερ ἀγανακτῶν, ἐφ' οἷς ἀδίκως λελύπηται, φησὶν ὁ Πίνδαρος· καί φησιν ὅτε, ἀλλὰ τὸν ἔπαινον τοῦ Θήρωνος ἐπέβη ἤδη κόρος, ἀντὶ τοῦ ἱκανῶς ἤδη φθονηθεὶς ἐπὶ τοῖς θυμάτος ἀξίοις· αἰνίττεται δὲ τὴν γενομένην αὐτῷ πρὸς Ἱέρωνα ἔχθραν. — Ἀλλ' αἶνον ἐπέβαλε κόρος.] Ἀλλὰ τὸν ἔπαινον κόρος ἐπέβη καὶ ὕβρις ᾄδιος· κορεσθέντες γάρ τινες τῶν ἀγαθῶν αὐτοῦ αὐτοὶ κατ' αὐτοῦ ἐγένοντο· προσαγανακτῶν δὲ ταῦτά φησι διὰ τὸ εἰς ἕνια τὸν Θήρωνα ἐλαττωθῆναι τύχαις χρησάμενον οὐκ ἐπιτηδείαις. Ἄλλως· ὅτι κατακορεῖς γίνονται οἱ ἄνθρωποι τοῖς πολλοῖς ἀνθρώποις τῷ φθόνῳ ἔστι δὲ καὶ παρτίμιον· Κόρος ὕβριν τίκτει· ὁ γὰρ κόρος τῶν ἀνθρώπων τῶν ἀργῶν τῶν θορυβῆσαι θελόντων ἐπέβη τῷ τοῦ Θήρωνος ἐπαίνῳ, κρύφιον θέλων θεῖναι τοῖς τῶν ἀγαθῶν ἔργοις. — Σύνταξις. Ἀλλὰ ἐπὶ τὸν ἔπαινον, ἀντὶ τοῦ κατὰ τῶν ἐπαίνου ἀξίων καλῶν τοῦ Θήρωνος ἐκινήθη κόρος, ἀντὶ τοῦ ὕβρις, ἀτ' ἀγανακτήσεως, οὐ τὸν τῷ δικαίῳ συναντῶν τουτέστι συμβαίνων, ἀλλ' ὑπ' ἀνδρῶν μάργων, ἡγουμανικῶν, φθονερῶν, θέλων διὰ τὸ θορυβῆσαι, κρύφιον ποιῆσαι, ἀντὶ τοῦ κρύφιον, τουτέστιν κεκρυμμένον ἄδοξον τῶν ἀγαθῶν διὰ τῶν κακῶν ἔργων· ἢ ἀφανισμὸν ποιῆσαι τοῖς καλοῖς ἔργοις τῶν ἀγαθῶν ἀνθρώπων· εἰλότως εἶπε τὸ κόρος· ὥσπερ γὰρ ὁ κόρος παρατροπὴν τοῦ στομάχου καὶ διαφθορὰν ἐργάζεται, ἔστι δ' ὅτε καὶ

ὀργανικὴ βλάβη ἐντεῦθεν γίνεται, οὕτω καὶ ἐπὶ τὸν αἶνον τοῦ Θήρωνος, ἤτοι τὸ ἐκ τῶν μεγάλων εὐεργεσιῶν γινόμενον αὐτῷ θαῦμα, ἐπῆλθε κόρος καὶ φθόνος· Κάπυς γὰρ καὶ Ἱπποκράτης, καίτοι πολλὰ ὑπὸ Θήρωνος εὐεργετηθέντες, ὅμως ὡς ἑώρων αὐτοῦ τὴν ἀρχὴν αὐξομένην, φθονήσαντες μετέστησαν πρὸς Ἱέρωνα, καὶ πόλεμον ἐγείραντες κατ' αὐτοῦ ἐπειρῶντο τὴν ἀρχὴν καθαιρεῖν, ἀλλ' οὐδὲν ἠδυνήθησαν ὧν ἐβούλοντο πρᾶξαι.

175. Ἀλλὰ μάργων.] Ὑπὸ γὰρ μανιωδῶν τινων καὶ ἀνοήτων ἐρθονήθη, αὐτὸ τοῦτο Θορύβῳ τινὶ καὶ ματαίᾳ φλυαρίᾳ κρύψαι καὶ σβέσαι βουληθέντων, τὸ ἐκ τῶν καλλίστων αὐτοῦ ἔργων ἀγαθόν.

176. Λαλαγῆσαι.] Λυπῆσαι, τρύξαι. — Τὸ λαλαγῆσαι θέλων.] Λαλαγῆσαι λέγει τὸ θορυβῆσαι τῷ λόγῳ· φλυαρῆσαι, λέγεσθαί τι φθόνον ἐχόμενον, ἢ θορυβῆσαι, ἀπὸ τοῦ λαλεῖν.

177. Κούφιον.] Ἀρίσταρχος χωρὶς τοῦ τ γράφει κρύφον, καὶ ἀποδίδωσι κρύψει· ὁ κόρος κρύψιν θέλων καὶ ἀφανισμὸν θεῖναι τοῖς τῶν ἐσθλῶν καλοῖς· καὶ ἡ ἀντίστροφος δὲ οὕτως ἀπαιτεῖ· ἡ λέξις ἐνίοις λέγεται χωρὶς τοῦ ι ἀρσενικῶς· ὁ δὲ βούλεται λέγειν, ἐστὶ τοιοῦτον· τοῖς τῶν καλῶν ἀνδρῶν ἀγαθοῖς ἔργοις ἀφανισμὸν θέλων κατασκευάσαι.

178. Ἐπεὶ ψάμμος.] Παραβολικῶς· λέγει γάρ, ὥσπερ ἡ ψάμμος οὐκ ἂν ἀριθμῷ περιληφθείη, οὕτως ἀμέτρητος Θήρων ταῖς εὐποιΐαις· ἐπεὶ δὲ μετρεῖν ψάμμον ἀδύνατον καὶ τὰς εὐεργεσίας τοῦ Θήρωνος μετρεῖσθαι ἀδύνατον. — Περικέρευγεν.] Ἀντὶ τοῦ διαπέφευγεν· ὅσα ἐκεῖνος, ἤγουν ὁ Θήρων, χάρματα, τουτέστιν ἡδέα, τερπνά, χάριν ἄλλων ἐκόπησε, τίς ἂν δύναιτο φράσαι, ἤγουν εἰπεῖν, διηγήσασθαι· τὸ ἐπεὶ ψάμμος ἁρμόζεται τῇ ἐννοίᾳ πρὸς τὸ φίλοις εὐεργέτην· τὸ δὲ ἀλλ' αἶνον μέχρι τοῖς ἔργοις διὰ μέσου παρεμβατικώτερον εἴρηται· καὶ τίς ἂν φράσαι καὶ ἐξειπεῖν δύναιτο τὰ χάρματα καὶ τὰς ἐκ τῶν εὐεργεσιῶν χαράς, ὅσα ἐκεῖνος ὁ Θήρων τοῖς καλοῖς ἔδωκεν· ἐπεὶ ἡ ψάμμος τῆς θαλάσσης περιπέφευγε τὸν ἀριθμὸν, ἤτοι οὐ δυνατή ἐστιν ἀριθμεῖσθαι, τουτέστιν ὥσπερ ἡ ψάμμος ἀναριθμητός ἐστιν, οὕτω καὶ αἱ τούτου πρὸς ἀνθρώπους εὐεργεσίαι.

180. Τίς ἂν φράσαι δύναιτο.] Φασί τινες εἰπεῖν τὸν Ἱέρωνα τοῦτο διὰ τὴν μάχην τὴν πρὸς Ἱέρωνα ἕνεκα Πολυζήλου ὄντινα Πολύζηλον ἐκβληθέντα ὑπὸ Ἱέρωνος ἀπὸ Συρακουσῶν ὑπεδέξετο ὁ Θήρων.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Γ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κῶλων ϛ'. Τὸ α ἐγκωμιολογικὸν καταληκτικὸν, ἤγουν ἀπὸ δύο πενθημιμερῶν, πρώτου δακτυλικοῦ καὶ δευτέρου ἰαμβικοῦ λιποῦσης συλλαβῆς· οὕτω δὲ ἐλέγετο, παρότου τούτῳ τῷ ῥυθμῷ ἐγκώμια συνετίθεντο τοῖς παλαιοῖς· -υυ-υυ---υ-. Τὸ β' προσῳδιακὸν δίμετρον ἀκατάληκτον· λέγεται δὲ προσῳδιακὸν, ὅτι ταῖς προσῳδοῖς καὶ προξενήσει προσεγράφετο· σύγκειται δὲ ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου· --υυ-υυ-. Τὸ γ' προσῳδιακὸν τρίμετρον· εἰς γὰρ καὶ παρ' ἕνα οἱ τοιοῦτοι πόδες κεῖνται· --υυ-υυ---υυ. Τὸ δ' προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον· διατί πλεονάζει τοῖς προσῳδιακοῖς; διότι εἰς Θεοξένια ἦν ἡ ᾠδὴ, ἐν οἷς καὶ αἱ πρόῳδοι ἐξ ἀνάγκης ἀκόλουθοι· --υυ-υυ-υ. Τὸ ε' προσῳδιακὸν τρίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συνῳίας ἀντὶ τοῦ ἀπ' ἐλάττονος Ἰωνικοῦ, ὅπερ ἐστὶ καὶ ἀνακλώμενον· ἀπὸ γὰρ τοῦ τέλους πρὸς τὴν ἀρχὴν Ἰωνικὸν ἀπὸ μείζονος, καθὼς ἦσαν καὶ τὰ πρότερα προσῳδιακὰ ὀρθά· -υ---υυ-υυ-. Τὸ ϛ' ἰαμβικὸν πενθημιμερές· --υ---. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· -υ---υ---. Τὸ η' ὅμοιον τῷ πρώτῳ, ἐγκωμιολογικὸν καταληκτικόν· -υυ-υυ---υ-. Τὸ θ' Στησιχόρειον ἐκ μόνων ἐπιτρίτων δευτέρων· ἡ δὲ πρώτη συζυγία καὶ τέταρτον λαμβάνει, διαλυομένου τοῦ πρώτου μακροῦ εἰς δύο βραχέα· -υ---υ---υ-.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων καὶ αὐτὴ ἐννέα. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· -υ---υ-. Τὸ β' δακτυλικὸν πενθημιμερές· -υυ-υυ-. Τὸ γ' προσῳδιακὸν τρίμετρον

καταληκτικὸν ἀναλῶμενον, ἀρχόμενον ἀπὸ προχαΐης συζυγίας ἀντὶ τοῦ ἀπ' ἐλάσσονος Ἰωνικοῦ· -υ---υυ-υυ-. Τὸ δ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· --υ---υ-. Τὸ ε προσοδιακὸν ἀναλῶμενον ἀπὸ χοριάμβου δίμετρον ἀκατάληκτον· -υυ-υυ--. Τὸ ς' ἐγκωμιολογικόν, καταληκτικὸν, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς· -υυ-υυ---υ-. Τὸ ζ' ἐγκωμιολογικὸν πλῆρες ἀκατάληκτον· -υυ-υυ---υ-υ Τὸ η δακτυλικὸν πενθημιμερές· ἐν δὲ τῇ πρώτῃ ἐπῳδῷ ἡ δὰς μακρὰ συναίρεσιν ἔπαθε τῶν βραχέων, ἅτερ εἰσὶ τὸ μὲν ἓν τοῦ δακτύλου, τὸ δὲ ἕτερον ἡ συλλαβή· -υυ-υυ-. Τὸ θ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων· -υ---υ---υ---.

Aliud ex Vrat. A. Mosc. B. et codice Trichae ἐκ παλαιοῦ βιβλίου.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ τρίτου εἴδους· ἔστι τὸ ᾆσμα στροφῶντριῶν.

Τοῦ τρίτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη θ'. Τὸ πρῶτον ἐγκωμιολογικὸν τρίμετρον κατληκτικόν· ἐγκωμιολογικὸν δέ ἐστι τὸ δακτυλικὸν λεγόμενον· πενθημιμερῆ γὰρ εἶσι δύο, ἰαμβικὸν καὶ δακτυλικόν· καὶ ἔστιν ὅτε ἐνὶ στίχῳ μίγνυνται· ἀλλ' ἐὰν μὲν προτεθῇ τὸ ἰαμβικὸν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικὸν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος, τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου· ἰαμβέλεγος δὲ καλεῖται ὅτι ἐλεγεῖον μέτρον ἐκ δύο πενθημιμερῶν δακτυλικῶν σύγκειται, ἀλλὰ τὸ μὲν πρῶτον δέχεται καὶ σπονδείους, τὸ δεύτερον δὲ μόνον δακτύλους· ἐπεὶ γοῦν καὶ τοῦτο ἐκ δύο πενθημιμερῶν σύγκειται, τοῦ πρώτου δακτυλικοῦ, τοῦ δευτέρου δὲ ἰαμβικοῦ, διὰ τοῦτο διπενθημιμερὲς καλεῖται· ἔστι δὲ ἀσυνάρτητον τοῦτο, διότι μὴ περυκῶς ἠνώθη· τὸ δὲ ἐν κώλοις ἀσυνάρτητον τοῦτο ἀντίπαυλες, ἐναντίοις ποσὶν ἡνωμένον. Τὸ δεύτερον προσοδιακὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· λέγεται δὲ προσοδιακὸν, διότι ἐν ἑορταῖς τοιούτοις μᾶλλον ἐχρῶντο μέτροις, ὡς καὶ νῦν Πίνδαρος εἰς τὴν τῶν Θεοξενίων ἑορτήν· ἐν γὰρ ταῖς ἑορταῖς πρόσοδοι ἐγίνοντο καὶ εἰσφοραὶ πλείους· σύγκειται δὲ τὸ προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μει-

ζονος καὶ χοριάμβου· πολλάκις δὲ τρέπεται ὁ Ἰωνικὸς κατὰ τὴν ἀρχὴν εἰς τὸν συγγενῆ τροχαῖον, ὡς γίνεσθαι παίωνα δεύτερος. Τὸ τρίτον προσοδιακὸν τρίμετρον· κατὰ μονοποδίαν γὰρ μετρεῖται μέχρι τοῦ πενταμέτρου· πενταμέτρος γὰρ γενόμενος τριακοντάσημός ἐστιν ἤτοι τριακοντάχρονος· πέρα δὲ τοῦ τριακονταήμου οὐ προβαίνει στίχος καθ' Ἡραιστίωνα, διὸ καὶ μέχρι πενταμέτρου χωρεῖ τὸ προσοδιακόν. Τὸ τέταρτον δίμετρον ὑπερκατάληκτον προσοδιακὸν ἀπὸ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου· τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές. Τὸ πέμπτον προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαϊκοῦ καὶ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὅσπερ δὴ τραπεὶς εἰς τροχαῖον ποιεῖ ἐπίτριτον δεύτερον· γίνεται δὲ προσοδιακὸν καὶ ἀπ' ἐλασσόνων. Τὸ ἕκτον ἰαμβικὸν πενθημιμερές. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ἡ ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ θ' Στησιχόρειον ἐξ ἐπιτρίτων τρίμετρον ἀκατάληκτον, Στησιχόρου εὑρόντος αὐτό· δεύτεροι δὲ οἱ ἐπίτριτοι· ἑξῆς ἐπὶ τῷ τέλει παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ἐννέα. Τὸ ἀ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον δακτυλικὸν πενθημιμερές. Τὸ γ' προσοδιακὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν· ὁ πρῶτος ποὺς ἀπὸ τροχαίου, ὡς γίνεσθαι ἐπίτριτον δεύτερον. Τὸ δ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ε προσοδιακὸν δίμετρον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ϛ' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ζ' ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ ὁμοίου, ὃ καὶ διπενθημιμερὲς καλεῖται, ὡς εἴρηται Τὸ ἡ δακτυλικὸν πενθημιμερὲς ὅμοιον τῷ δευτέρῳ. Τὸ θ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων· ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Aliud ex Vrat. D. Pal. C.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων θ' καὶ ἡ ἐπῳδὸς ὁμοίως κώλων θ'. Τὸ ἀ ἐγκωμιολογικὸν δίμετρον καταληκτικόν. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ τοῦ ἀπὸ μείζονος Ἰωνικοῦ. Τὸ τρίτον προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἀπὸ μείζονος Ἰωνικοῦ. Τὸ τέταρτον προσοδιακὸν ὑπερκατάληκτον ἀπὸ μείζονος

Ἰωνικοῦ. Τὸ πέμπτον προσοδιακὸν τρίμετρον καταληκτικὸν ἀπὸ τροχαίου, χοριάμβου καὶ Ἰωνικοῦ τοῦ ἀπ' ἐλάττονος. Τὸ ἕκτον ἰαμβικὸν πενθημιμερές. Τὸ ἕβδομον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ὄγδοον ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ἔνατον Στησιχόρειον.

Καὶ ἡ ἐπῳδὸς κῶλων θ'. Τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον δακτυλικὸν πενθημιμερές. Τὸ τρίτον καταληκτικὸν προσοδιακὸν τρίμετρον, ἀπ' ἐλάττονος Ἰωνικοῦ ἔχοντος τὸν πρῶτον πόδα τοῦ πρώτου ἰαμβικοῦ τρόχαιον. Τὸ τέταρτον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ε προσοδιακὸν δίμετρον ἀπὸ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος. Τὸ ς ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ζ' ἐγκωμιολογικόν. Τὸ η δακτυλικὸν πενθημιμερές. Τὸ θ' Στησιχόρειον ὁμοίως τῷ ἐνάτῳ τῆς στροφῆς.

Εἰς Θεοξένια] Οἱ Διόσκουροι κατὰ ἐντολὴν Ἡρακλέους διατεθειμένοι τὸν Ὀλυμπιακὸν ἀγῶνα, ὡς ἐνομοθέτησεν ὁ Ἡρακλῆς· τούτοις γὰρ εἰς Θεοὺς ἀναχωρῶν Ἡρακλῆς τὴν τῶν Ὀλυμπιακῶν ἀγώνων φροντίδα καὶ ἐπιμέλειαν ἐνεχείρισεν· οὗτοι δὲ ἀφ' ἑαυτῶν ἐπενόησαν πανήγυριν Θεοξένια, παρὰ τὸ δοκεῖν τότε ξενίζειν τοὺς Θεούς· θύοντος οὖν τοῦ Θήρωνος εἰς τὰ Θεοξένια, ἐν τοσούτῳ ἠγγέλθη αὐτῷ καὶ ἑτέρωθεν αὐτοῦ ἵππων νίκη· καὶ εἰς τοῦτο γράφει ὁ ποιητής· ζητεῖται δὲ, διατί μὴ Διὶ μᾶλλον οὗτος ηὔξατο, ᾧ οὗτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβολεῖ, ἀλλὰ Διοσκούροις; φαμὲν οὖν πρῶτον, ὅτι πρὸς τὸ παρὸν εἰσιν οὗτοι οἱ διοικοῦντες τὸν ἀγῶνα, ἔπειτα ὅτε Ζεὺς καὶ Ἡρακλῆς· ὁ δὲ Ἀρίσταρχός φησι παρὰ τοῖς Ἀκραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκούρους καὶ πατρίῳ ἔθει καὶ νῦν αὐτοὺς χρῆσθαι· ὁ δὲ Δίδυμος ἱστορικώτερον λέγει, καὶ φησι διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι, τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πελοπόννησον οἱ Διόσκουροι. Θεοξενίων ἑορταὶ παρ' Ἕλλησιν οὗτος ἐπιτελοῦνται κατά τινας ὡρισμένας ἡμέρας, ὡς αὐτῶν τῶν Θεῶν ἐκδημούντων ταῖς πόλεσιν· ἄγοντος δὲ Θήρωνος τὴν ἑορτὴν τῶν Διοσκούρων καὶ Ἑλένης ἠγγέλθη ἡ νίκη· διὸ ἀπ' αὐτῶν ἄρχεται· ζητεῖται, τί δήποτε ὁ Πίνδαρος Ὀλυμπιακὸν ὕμνον γράφων εὔχεται τοῖς Διοσκούροις προσηνεῖς τῇ ᾠδῇ γενέσθαι·

ἐχρῆν γὰρ ἄρα Ἡρακλέα τὸν διαθέντα τὸν ἀγῶνα καταλεῖσθαι. Ἀρίσταρχος μὲν οὖν τὴν ἀπορίαν διαλύων τοὺς Θεοὺς τούτους σφόδρα ἐν Ἀκράγαντί φησι τιμᾶσθαι· οἱ δέ φασι Θεοξενίων ὄντων καὶ κεκλημένων τῶν Διοσκούρων, εἰς τὰ Θεοξένια τὸν Θήρωνα νικῆσαι, ᾧ συγχρησάμενον τὸν Πίνδαρον εὔχεσθαι τοῖς Διοσκούροις· οἱ δὲ ὅτι Ἡρακλῆς ἀποθεούμενος τούτοις ἐπέτρεψε τὸν ἀγῶνα, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησι· τῇ Ἀρισταρχείῳ ἀποδόσει ὁ Δίδυμος μᾶλλον προστίθεται. — Ἀναχωρῶν εἰς Θεοὺς Ἡρακλῆς τοῖς Διοσκούροις τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐπέτρεψε τελεῖν· οὗτοι δὲ πρὸς τούτῳ καὶ ἑτέραν ἑορτὴν ἐξεῦρον, ἣν διὰ τὸ πρὸς πάντας τοὺς Θεοὺς γίνεσθαι Θεοξένια ἐκάλουν, οἱονεὶ ξενίαν καὶ τράπεζαν τῶν Θεῶν· θύοντι οὖν Θήρωνι καὶ ἑορτάζοντι τὰ Θεοξένια ἠγγέλθη, ὡς ἐν Ὀλυμπίᾳ οἱ αὐτοῦ ἵπποι ἐνίκησαν· διὰ τοῦτο οὖν ὁ ποιητὴς εὔχεται τοῖς Διοσκούροις καὶ τῇ αὐτῶν ἀδελφῇ Ἑλένῃ ὡς καταστήσασι πρώτοις τὴν τῶν Θεοξενίων ἑορτὴν· λέγει οὖν· γεραίρων καὶ τιμῶν τὴν κλεινὴν Ἀκράγαντα, ὀρθώσας καὶ ἐγείρας καὶ ἀνυψώσας ὕμνον τοῦ Θήρωνος Ὀλυμπιονίκην καὶ ἐκ τῆς Ὀλυμπίας αὐτῷ καταστάντα, ἄωτον, ἀπάνθισμα τῶν καρπῶν τῶν ἵππων αὐτοῦ τῶν ἀκαμαντοπόδων, εὔχομαι ἀδεῖν καὶ ἁρέσκειν τοῖς υἱοῖς τοῦ Τυνδάρεω Διοσκούροις τοῖς φιλοξένοις καὶ τοῖς φιλοῦσι τοὺς ξένους, καὶ τῇ αὐτῶν ἀδελφῇ τῇ καλλιπλοκάμῳ Ἑλένῃ· φιλοξένους λέγει αὐτοὺς διὰ τὸ συστῆσαι τὴν ἑορτὴν τὰ Θεοξένια, εἰς ἣν πολλοὶ ξένοι συνέῤῥεον καὶ φιλοφροσύνης ἠξιοῦντο.

1. Τυνδαρίδαις τε φιλοξείνοις ἀδεῖν.] Ὀ νοῦς· τὴν ἔνδοξον Ἀκράγαντα τιμῶν καὶ ἐν αὐτῇ τὸν ὕμνον τελειῶν καὶ ὀρθῶν τὸν ἐπὶ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὅστις ὕμνος ἄωτός ἐστι καὶ κόσμος τῶν ἀκαμαντοπόδων ἵππων τοῦ Θήρωνος, εὔχομαι ἀρέσαι τοῖς Διοσκούροις καὶ τῇ Ἑλένῃ· διατί δὲ τούτοις εὔχεται ἀρέσαι; διὰ τὸ εἰς Θεοξένια γράφειν· ἀντίστραπται δὲ ἡ τάξις, καὶ δοκεῖ τῇ συγχύσει ἀσάφειαν εἰργάσθαι· ἐπεὶ ἡ ἀκόλουθος ἑρμηνεία οὕτως ἔχει· Κλεινὰν Ἀκράγαντα γεραίρων, Ὀλυμπιονίκαν ὕμνον ὀρθώσας, Θήρωνος ἀκαμαντοπόδων ἵππων ἄωτον, εὔχομαι ἀδεῖν Τυνδαρίδαις τε φιλοξένοις καλλιπλοκάμῳ θ' Ἑλένᾳ. — † Τυνδαρίδες τε.] Τοῖς Διοσκούροις εὔχομαι ἀρέσκειν τοῖς φιλοξένοις καὶ τῇ Ἑλένῃ τῇ καλλιπλοκάμῳ, τιμῶν τὴν ἔνδοξον Ἀκράγαντα διὰ τοῦ ἀνεγεῖραι ὕμνον Ὀλυμπιονίκας ὑμνοδν-

τα, ἄωτον λέγω, ἤγουν κόσμον ἐξαίρετον τῶν ἵππων τοῦ Θήρωνος τῶν μὴ καμνόντων τοὺς πόδας ἐν τοῖς δρόμοις· ἐπίνοια δὲ ἐγκωμίων μοι παρέστη, ἤγουν ἐπῆλθε τοῦτον τὸν τρόπον ἐξευρόντι, τουτέστιν ἐπινοήσαντι τρόπον νεοσύγαλον, ἤγουν καινοτέραν ἀγλαΐαν ἔχοντα, ἄσμα λαμπρὸν συνιστῶν χορείαν ἐναρμόσαι Δωρίῳ ῥυθμῷ· ἐπεὶ εἰσπράττοντι μὲν ἐμὲ, ἤγουν ἀπαιτοῦσιν οἱ στέφανοι οἱ ἐπὶ ταῖς χαίταις τῶν ἵππων ζευχθέντες, τουτέστι συνδεδεμένοι τεθέντες, τοῦτο τὸ χρέος τὸ Θεόδμητον, ἤγουν τὸ ὑπὸ τῶν Μουσῶν κατασκευαζόμενον, λέγω φόρμιγγά τε ποικιλόφωνον καὶ βοὴν αὐλῶν καὶ συνθήκην ἐπῶν συμμίξαι πρεπόντως, ἤγουν συναρμόσαι, συμβαλεῖν ταῦτα ἀλλήλοις, χάριν τοῦ παιδὸς τοῦ Αἰνησιδάμου τοῦ Θήρωνος· καὶ ἡ Πίσα δὲ εἰσπράττεται μὲ γεγωνεῖν, ἀντὶ τοῦ ὑμνεῖν αὐτὸν ὀνλονότι, ἧς ἄπο, ἤγουν ἀφ' ἧς, Θεοδώρητοι, ἤγουν ὑπὸ Θεῶν κεκληρωμένοι ἔρχονται πρὸς ἀνθρώπους ὕμνοι ἐπινίκιοι· Θεοδώρητοι δὲ, ὅτι οἱ Θεοὶ τὰς νίκας ὠρρύονται, δι' ἃς οἱ ὕμνοι.

2. Καλλιπλοκάμῳ.] Καλλιτρίχῳ.

5. Ὕμνον.] Ἔπαινον. — Ὕμνον ὀρθώσαις.] Τὸν ὕμνον τῶν ἵππων ἄωτον προσηγόρευσεν ὡς ἄνθος καὶ στεφάνωμα αὐτῶν· τὸ δὲ ὀρθώσας εἶπε μετενεγκὼν ἀπὸ τιθεμένων ἀνδριάντων ἢ ἀγαλμάτων· ἢ ὀρθώσας καὶ ὑψώσας καὶ αὐξήσας τὸν ὕμνον. —Ὀρθώσας.] Ἀνεγείρας.

6. Ἄωτον.] Εὐκοσμίαν.

7. Μοῖσα δ' οὕτω μοι πκρέστα.] Οὕτω μοι παπέστη ἡ Μοῦσα, ἵνα τοῖς Διοσκούροις ἀρέσῃ· ἢ οὕτω μοι ἐρχέσθω ἡ Μοῦσα, ὥστε με Δωρίδι διαλέκτῳ νεοποίκιλον ἐξαγγεῖλαι ὕμνον. Ἄλλως· οὕτω γάρ που ἡ Μοῦσα ἐπῆλθέ μοι, τὸ εἰς Θεοξένια γράψαι.

8. Νεοσίγαλον εὑρόντι τρόπον.] Νεοποίκιλον ἐπινοήσαντι ὑπόθεσιν, τὸ γράψαι εἰς Θεοξένια. — Νεοσίγαλον.] Νεοποίκιλον· συγαλῶσαι γὰρ τὸ ἐπιθεῖναι ἐπὶ πᾶσι τὸν κόσμον· ἀμφιβάλλεται δὲ ὁ λόγος· ἤτοι γὰρ τοιοῦτόν ἐστιν· οὕτω μὲν παρέστη ἡ Μοῦσα καὶ ἔρχεται· ὥστε Δωρίδι διαλέκτῳ νεοποίκιλον ἐπαγγεῖλαι ὕμνον . . . . . πέδιλα δὲ λόγῳ μὲν τὸ ὑπόθημα, νῦν δὲ τὸ μέλος ἐπὶ τοῦ πεδίλου τέταχεν· ἵνα αἰνέσω τὸ Δώριον μέλος, τουτέστιν ὅπως διοδεύσω διὰ τοῦ Δωρίου μέλους. — Νεοσίγαλον.] Ἔνδοξον.

9. Δωρίῳ.] Τρεῖς ἁρμονίαι· Δωρία, Φρυγία, Λυδία· πεδίλῳ δὲ τῷ ῥυθμῷ· ἀπὸ δὲ τοῦ περιέχοντος τὸ περιεχό-

μενος τὴν βάσιν οὖν εἶπε πρὸς τῷ Δωρίῳ μέλει ἐναρμόσαι τὴν ἀγλαόκωμον φωνήν· γέγραπται γὰρ ἡ ᾠδὴ Δωριστί· τὴν ποίησιν δὲ ἐπέων θέσιν εἶπεν. — † Δωρίῳ πεδίλῳ.] ὥσπερ ὁ ποὺς τῷ πεδίλῳ ἁρμόζεται, οὕτω φησὶ καὶ τὸν ὕμνον τοῦ Θήρωνος ἁρμόσαι Δωρικῇ ἁρμονίᾳ· τρεῖς δὲ ἁρμονίαι· Δώριος, Λύδιος, Φρύγιος· ποικιλωτέρα δὲ τῶν δύο ἡ Δώριος. — Πεδίλῳ.] Ἴσχω.

10. Ἀγλαόκωμον.] Λαμπροτάτην. — Χαίταισι.] Χαίταις, τινὲς οὐ ταῖς τῶν ἵππων διὰ τὸ νικᾶν, ἀλλὰ ταῖς τῶν μελλόντων στέλλειν τὸν κῶμον, ὃν ἤμελλον ᾄδειν· ἐκόμαζον γὰρ ὑμνοῦντες τὴν νίκην· καὶ οὐκ ἀπιθάνως στοχάζονται ὅτι ἴσως εἰς Διοσκούριον ὁ κῶμος ἦγετο καὶ ἡ πομπὴ διὰ τὴν πρὸς Διοσκούρους τοῦ Θήρωνος οἰκειότητα.

11. Ζευχθέντες ἔπι στέφανοι.] Ἐπιζευχθέντες γὰρ οἱ στέφανοι ταῖς τῶν ἵππων Θριξὶν ἀπαιτοῦσί με τὸν θεοκατασκεύαστον ὕμνον τὸν ἐκ Μουσῶν, ὥστε πρὸς τὴν ποικιλόφωνον κιθάραν καὶ τὴν ἡδεῖαν τῶν αὐλῶν ἠχὴν τοὺς ἐμοὺς εὐπρεπῶς ἁρμόσαι λόγους εἰς χάριν τοῦ Αἰνησιδάμου καιεὸς Θήρωνος· ἢ συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα· σύμφαλμα δὲ τὸ γενόμενον.

12. Θεόδματον χρέος.] Ἢ τὸ ἀπὸ θεῶν μεριζόμενον, ἢ τὸ εἰς θεοὺς μεριζόμενον.

16. Συμμίξαι πρεπόντως.] Συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα· Θεόδματον, τὸ εἰς θεοὺς πεποιημένον· λέγει δὲ τὴν ᾠδήν.

17. Ἅτε Πίσα με γεγωνεῖν.] Ἥτε Πίσα ἀπαιτεῖ μὴ ἠρεμεῖν, ἀλλὰ ὑμνεῖν καὶ βοᾶν· ἢ τὸ ἑξῆς· πράσσοντί με γεγωνεῖν. Ἄλλως· προσυπακουστέον τὸ πράσσει με ἐκ τοῦ ὑποκειμένου ἀπαιτεῖ με τὸ θεόδμητον χρέος· τὸ δὲ γεγωνεῖν οἱ μὲν ἀπὸ τῆς γεγωνὼς μετοχῆς βαρύτονον λέγουσι κλίνοντες γεγώνειν, ὡς ἀκούειν, γινώσκειν, ἐκφέρουσι.

Γέγωνέ τε πᾶν κατὰ ἄστυ.

εἰσὶ δὲ οἱ ἀπὸ τοῦ γεγωνέω σχηματίζουσιν, ὥστε θεῖν παρισπᾶν· τὸ ἀπαρέμφατον ἐνεστὼς ἀντὶ συντελεσθοῦ φασι παρειλῆφθαι τὸ γεγωνεῖν. — Γεγωνεῖν.] Φωνεῖν. — Τᾶς ἅπα.] Τῆς Ὀλυμπίας· ἀφ' ἧς δὴ Πίσης αἱ ἀπὸ θεῶν μεριζόμεναι ᾠδαὶ ἐπὶ τοὺς ἀνθρώπους παραγίνονται· ἀνθρώπους δὲ, τοὺς νικῶντας.

18. Θεόμοιροι νίσονται.] Ἀπὸ θεῶν μεριζόμεναι καὶ παρε-

χόμεναι τοῖς νενικηκόσιν· εἰ μὴ γὰρ θεοῦ προνοία νικήσαι τις, οὐδὲ ἄθεται. — Θεύμοροι ἀοιδαί.] Ψαλμῳδίαι.

19. Ὅτινι κραίνων ἔφετμάς.] Ἀπὸ τοῦ πληνθυτικοῦ μετέπεσεν εἰς τὸ ἑνικόν· τούτῳ, φησίν, ἀκολουθοῦσιν αἱ ᾠδαί, ὅτινι τελειῶν τὰς ἐντολὰς κατὰ τοὺς νόμους τοῦ Ἡρακλέους ὁ δίκαιος καὶ ἀληθὴς Ἑλλανοδίκης, ὁ Ἠλεῖος ἀνήρ, ἐπὶ τῆς κεφαλῆς ἐπάνω τὸν ὀφθαλμὸν τὸν στέφανον περιβάλλει τὸν ἀπὸ τῆς ἐλαίας τοῦ κοτίνου. Ἑλλανοδίκαι καλοῦνται οἱ προτεταγμένοι τοῦ ἀγῶνος, ἐπεὶ μόνοι Ἕλληνες ἀγωνίζονται. Αἰτωλὸς ἀντὶ τοῦ Ἠλεῖος. Ὀξύλος γάρ τις εἷς τῶν Αἰτολῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ· ἀντιδόσεως δὲ τρόπῳ τινὶ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει παρ' οὗ λοιπὸν οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν· διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος. Ἄλλως· Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος, ἤτοι ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος ὃς ἦν Ἠλεῖος, ἀποκτείνας δὲ Ἄπιν ἐν τοῖς ἐπ' Ἀξᾶνι ἄθλοις ἔφυγεν εἰς τὴν πρότερον Κουρῆτιν, Αἰτωλίαν δὲ ὕστερον ἀπ' αὐτοῦ κληθεῖσαν· ἢ ἀπὸ Ὀξύλου, ὃς ἦν Αἰτωλοῦ τοῦ Ἀδραίμωνος διεῖλε δὲ τοῖς Ἡρακλείδαις τὴν Πελοπόννησον, καὶ διὰ τοῦτο δὲ ἐδωρήσαντο αὐτῷ ὡς ἐξέραιτον τὴν Ἦλιν. Ἄλλως· Αἰτωλοὶ πρῶτοι ἐγένοντο Ἑλλανοδίκαι ἐν Ὀλυμπίᾳ· καὶ ὅτι κτίστης τῆς Ἤλιδος Ὀξύλος Αἰτωλὸς ἦν. — Ὅτινι κραίνων.] Τὸ ἑξῆς τοῦ ὑπερβατοῦ οὕτως· ὅτινι ἀρικομένῳ βάλῃ γλαυκέχροα κόσμον ἐλαίας ὑψόθεν βλεφάρων ἀτρεκὴς Ἑλλανοδίκας, Αἰτωλὸς ἀνήρ, Ἡρακλέους κραίνων ἑρετμὰς προτέρας. Ἄλλως· Τὸ ἑξῆς βλεφάρων ὑψόθεν, οὕτω γὰρ ἐστέφοντο ἐπὶ τοῦ μετώπου. Ἀναρρέων· ἐπὶ ὃ ὀφρύσιν σελίνων στέφανον θέμενοι. — † Σύνταξις. Ὅτινι κραίνων.] Οὗτινος ἂν ὑψόθεν, ἀντὶ τοῦ ὑψοῦ, ἀνωτέρω τῶν βλεφάρων ἐπὶ ταῖς κόμαις βάλῃ στέφανον ἀπὸ ἐλαίας ὑπόλευκον τὴν χρόαν ἀπροσωπόληπτος Ἑλλανοδίκης, ἀνὴρ Αἰτωλός, ἀντὶ τοῦ Ἠλεῖος, πληρῶν τὰς ἐντολὰς τοῦ Ἡρακλέους τὰς προτέρας, ἀντὶ τοῦ τὰς ἀρχαίας, τουτέστιν ἃς τὴν ἀρχὴν ἐκεῖνος ἐνετείλατο· ἤντινα ἦγουν τὴν ἐλαίαν, ὁ Ἡρακλῆς ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ἤνεγκέ ποτε ἀπὸ τῶν πηγῶν τοῦ Ἴστρου τοῦ ποταμοῦ τῶν σκιερῶν, ἤγουν τῶν ὑπὸ δένδρων σκιαζομένων, ἤγουν τῶν βαθειῶν, μνημόσυνον κάλλιστον ἐσομένην ὁηλονότι τῶν ἀγώνων τῶν ἐν Ὀλυμπίᾳ· ἤνεγκε δὲ αὐτὴν πείσας τὸν δῆμον τῶν Ὑπερβορέων, τουτέστι τὸν ἐν

τοῖς Ὑπερβορέοις, ἔνθα ἦσαν αἱ ἐλαῖαι, τὸν Θεράποντα τοῦ Ἀπόλλωνος· † πληθυντικοῦ δύναμιν ἔχει τὸ ὦτινι· διὸ καὶ πρὸς πληθυντικὸν ἀποδίδοται· καὶ πάντα ὅσα ἀορίστως λέγεται, οὐκ ἀνοικείως ἔχει πρὸς πληθυντικὰ ἀποδίδοσθαι· πάντα γὰρ πληθυντικῶν ἔχει δύναμιν. Πρῶτον ἀνθρώπους πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀπέδωκε τὸ ὦτινι· ὦτινι ἀνθρώπῳ κραίνων καὶ τελειῶν τὰς προτέρας καὶ παλαιὰς ἐφετμὰς καὶ ἐντολὰς τοῦ Ἡρακλέους ἀνὴρ Αἰτωλὸς, Ἠλεῖος, Ἑλλανοδίκης καὶ τῶν ἐκεῖ ἀγωνιζομένων Ἑλλήνων κριτὴς ἀτρεκὴς καὶ ἀληθὴς καὶ ἀπροσωπόληπτος, ἀμφιβάλῃ ἂν καὶ θήσῃ περὶ ταῖς κόμαις ὑψόθεν τῶν βλεφάρων κόσμον γλαυκόχροα ἐλαίας, ἤτοι στέφανον ἐξ ἐλαίας γλαυκῆς εἰς κόσμον καὶ τιμήν· δέον δὲ εἰπεῖν γλαυκόχροος πρὸς τὸ ἐλαίας, ἤτοι γλαυκὸν εἶδος ἐχούσης γλαυκόχροα εἶπε πρὸς τὸ κόσμον. — Ἔφετμὰς.] Προστάξεις· ἃς ἐκεῖνος παρήγγειλεν.

22. Αἰτωλὸς ἀνήρ.] Ἱστορία, ὅθεν Αἰτωλοὶ οἱ Ἠλεῖοι, Ὀξύλος τις ἀνὴρ, εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ, ἀντιδόσεως δὲ τρόπῳ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει, ἐξ οὗ οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν· διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ εἶπεν ἀντὶ τοῦ Ἠλεῖος· ἀγνοοῦντες δέ τινες τὸ ἀνὴρ ἀντὶ τοῦ Ὀξύλος νοοῦσιν, ὅπερ ἄτοπον· οὗτος γὰρ ἦν ὁ καταρχὰς τιθεμένου τοῦ ἀγῶνος Ἑλλανοδίκης καταστὰς ὑφ' Ἡρακλέους, ὕστερον δὲ κατὰ διαδοχὴν, ὃς ἂν ἐδόκει προῦχειν ἀληθείᾳ καὶ γνώμῃ δικαιοτάτῃ, εἰς τὴν ὑπηρεσίαν ταύτην ἐχειροτονεῖτο παρὰ τοῦ δήμου.

20. Προτέρας.] Ὅτι μετὰ τὸν Ἡρακλέα πάλιν Ἶφιτος ἔθηκε τὸν ἀγῶνα τῶν Ὀλυμπίων, διὰ τοῦτο εἶπεν.

22. Αἰτωλὸς ἀνήρ.] Μᾶλλον πάντας τοὺς Ἠλείους Αἰτωλοὺς εἶπεν· οὕτω γὰρ ὠνομάσθησαν ἄνωθεν ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ἢ διὰ τὴν Ὀξύλου εἰς Ἦλιν ἄφιξιν, ὥσπερ Ἀσκληπιάδης ἀξιοῖ· περὶ δὲ τοῦ τῶν Ἑλλανοδικῶν ἀριθμοῦ Ἑλλάνικός φησι καὶ Ἀριστόδημος, ὅτι τὸ μὲν πρῶτον β', τὸ δὲ τελευταῖον ι· τοσαῦται γὰρ αἱ τῶν Ἠλείων φυλαί, καὶ ἀφ' ἑκάστης εἷς ἦν Ἑλλανοδίκης.

24. Τάν ποτε Ἴστρου.] Ἥντινα ἐλαίαν ποτὲ ἀπὸ Ἴστρου ποταμοῦ τῶν συσκίων πηγῶν ἐκόμισεν ὁ τοῦ Ἀμφιτρύωνος παῖς Ἡρακλῆς, μνημεῖον ἑσόμενον τῶν ἐν τῇ Ὀλυμπίᾳ ἄθλων. — † Σύνταξις. Τὰν καὶ ἥντινα ἐλαίαν ὁ Ἀμφιτρυω-

νίδης καὶ ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ὁ Ἡρακλῆς, πείσας τὸν δῆμον τῶν Ὑπερβορέων τὸν Θεράποντα τοῦ Ἀπόλλωνος, ἤτοι τοὺς ἐκεῖ ὄντας ἄνδρας τοὺς τὸν Ἀπόλλωνα τιμῶντας, ἔνεικε καὶ ἐκόμισεν ἀπὸ τῶν σκιαρῶν πηγῶν τοῦ ποταμοῦ τοῦ Ἴστρου, κάλλιστον μνῆμα καὶ ἐνθύμησιν καὶ μαρτύριον τῶν ἐν Ὀλυμπίᾳ ἀγώνων· ἐκ γὰρ τοῦ κοτίνου Ὀλυμπιονίκης δηλοῦται· οὗτος, ἤγουν ὁ Ἡρακλῆς, πιστὰ φρονέων αὐτοῖς, ἤτοι φίλος ὢν αὐτοῖς καὶ οὐ διὰ μάχης ἰὼν, ἤτησε ταύτην, δηλονότι τὴν ἐλαίαν καὶ φύτευμα σκιερὸν τῷ πανδόκῳ καὶ πάντας δεχομένῳ τοὺς Ἕλληνας ἅλσει τοῦ Διός, ἤτοι τῷ Διΐ ἀφιερωμένῳ τεμένει, λέγω δὴ τῷ ἐν Ὀλυμπίᾳ τόπῳ, καὶ ξυνὸν καὶ ξοινὸν στέφανον ἀρετῆς τοῖς ἀνθρώποις, ἤγουν δι' οὗ πάντες οἱ νικῶντες στεφανοῦνται.

25. Ἴστρου ἀπὸ σκιαρᾶν πηγᾶν.] Τὰς πηγὰς τοῦ Ἴστρου ἐν Ὑπερβορείοις ὑποτίθεται. Ἴστρος δὲ ποταμὸς διὰ πολλῶν ἐθνῶν τῆς Εὐρώπης χωρεῖ, ἔχει δὲ τὰς πηγὰς ἐν τῇ τῶν Ὑπερβορέων χώρᾳ, ὃς νῦν Δάνουβις λέγεται· σκιερὰς δέ φησι πηγὰς ἤτοι τὰς βαθείας ἢ τὰς σκιαζομένας τῇ περὶ αὐτὰς τῶν ἐλαιῶν φυτείᾳ. — Ἴστρου ἀπὸ σκιαρᾶν.] Οὗτος ὁ ποταμὸς ἐν Ὑπερβορείοις ἔχει τοῦ ῥεύματος τὴν ἀρχὴν σκιαρῶν δὲ πηγῶν, τῶν ὑπὸ ἐλαιῶν καὶ ἄλλων δένδρων σκιαζομένων. — Ἕνεικεν.] Ἔφερεν·

26. † Ἀμφιτρυωνιάδας.] Κατὰ πλεονασμὸν τοῦ α γίνεται Ἀμφιτρυωνίδας διὰ τὸ μέτρον· τὸ γὰρ ἀκόλουθον Ἀμφιτρυωνίδης ἐστίν· ἅλσος δὲ οὐ μόνον ὁ κατάφυτος τόπος ἀλλὰ καὶ ὁ τοῖς θεοῖς ἀνακείμενος καταχρηστικῶς· ἐπειδὴ πάντες οἱ κατάφυτοι χῶροι τοῖς θεοῖς ἀνετίθεντο. Ἴσθι ὅτι πᾶν χωρίον τοῖς θεοῖς ἀφιερωμένον, κἂν ψιλὸν φυτῶν ᾖ· ἅλσος καλεῖται, ὡς Ὅμηρος. (Ἰλ. 6, 506.)

Ὀγχηστὸν Σ' ἱερὸν, Ποσιδήϊον ἀγλαὸν ἅλσος.
οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλ' ἱερός ἐστιν.

27. Μνᾶμα τῶν Ὀλυμπίᾳ.] Σύμβολον στέμμα τῶν ἱερῶν ἀγώνων, οἷον Ὀλυμπίων κότινος, Πυθίων δάφνη, Νεμέων σέλινον χλωρὸν, Ἰσθμίων σέλινον ξηρόν.

28. Δᾶμον Ὑπερβορέων.] Πείσας τὸν δῆμον τὸν τῶν Ὑπερβορέων δοῦναι τὸν κότινον, ὅτις δῆμος Θεράπων ἦν τοῦ Ἀπόλλωνος καὶ θρησκευτὴς αὐτοῦ· τοὺς Ὑπερβορέους τοῦ Τιτανικοῦ γένους Ψερένικός φησιν εἶναι γράφων οὕτως·

Ἀμφὶ Ϋ' Ὑπερβορέων, οἵτ' ἔσχατα ναιετάουσιν,
Νηῶ ὑπ' Ἀπόλλωνος, ἀπείρητοι πολέμοιο·
Τοὺς μὲν ἄρα προτέρων ἐξ αἵματος ὑμνείουσιν
Τιτήνων βλαστόντας, ὑπὸ δρόμον αἰθρήαντα
Νάσσασθαι Βορέαο γύην Ἀριμασπὸν ἄνακτα.

ἀπὸ ἄλλης ἀρχῆς ὑπόνοιαν ἔχει ὡς τοῖς ἄνω συνηρτημένον· πανταχοῦ δὲ οἱ Ὑπερβόρεοι ἱεροὶ Ἀπόλλωνος. Ἐκλήθησαν δὲ Ὑπερβόρεοι ἀπὸ Ὑπερβορέου τινὸς Ἀθηναίου, ὡς Φανόδημος. Φιλοστέφανος δὲ τὸν Ὑπερβόρεον Θεσσαλὸν φησιν εἶναι· ἄλλοι ἀπὸ Ὑπερβορέου Πελασγοῦ τοῦ Φορωνέως καὶ Περιμήλης τοῦ Αἰόλου· ὁ δὲ Φερένικος τοὺς Ὑπερβορέους ἀπὸ τοῦ Τιτανικοῦ γένους φησὶν εἶναι, ὁ δὲ Ἑκαταῖος ἄλλως ἱστορεῖ. — Πείσας.] Καταπείσας.

30. Πιστὰ.] Φιλικά. — Πιστὰ φρονέων.] Φιλικῶς διανοούμενος καὶ πείθων λόγῳ· ἢ πιστὰ πιστικὰ, οἷον πειθοῖ καὶ ᾧ βίᾳ, διὸ καὶ ἔπεισεν αὐτούς. Σύνταξις· ὅστις, ἦγουν ὁ Ἡρακλῆς, πιστὰ, τουτέστι φιλικὰ φρονῶν αὐτοῖς, ἤτησε χάριν τοῦ ἄλσους τοῦ Διὸς, ἦγουν τοῦ ἀνατεθειμένου τόπου τῷ Διὶ τοῦ παντοδαποὺς ἀνθρώπους ὑποδεχομένου, φύτευμά τε σκιᾶς ποιητικὸν κοινὸν τοῖς ἀνθρώποις καὶ στέφανον τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι· φύτευμα δὲ λέγει καὶ στέφανον τὴν ἐλαίαν ὡς φυτευθησομένην καὶ εἰς στεφάνους συντελέσουσαν, ταὐτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ἤτησε τὴν ἐλαίαν χάριν τοῦ ἄλσους τοῦ Διὸς, ἵνα ποιήσῃ αὐτοῖς ἐν αὐτῷ φυτείαν σκιᾶς ποιητικὴν κοινὴν τοῖς ἀνθρώποις, καὶ χρήσηται αὐτῇ καὶ εἰς στεφάνους τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. — Πανδόκῳ.] Τῷ πάντας ὑποδεχομένῳ, διὰ τὸ εἰς τοὺς ἀγῶνας πολλοὺς ἐπιέναι.

31. Ἄλσει.] Οὐκ ἂν τις ἐνταῦθα ἐναντιωθείη τῷ Πινδάρῳ τῷ τὸ ἔτι ἀφύτευτον χωρίον ἄλσος ὀνομάζοντι· ἔλεγον γὰρ πᾶν χωρίον ἀφιερωμένον Θεῷ, κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος, ὡς καὶ Ὅμηρος· (Ἰλ. Ζ, 509)

Ὀγχηστὸν Ϋ' ἱερὸν, Ποσιδήϊον ἀγλαὸν ἄλσος.

οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλὰ ἱερός ἐστιν· οὐ θαυμαστὸν, εἰ τὸ μήπω πεφυτευμένον ἄλσος εἶπεν. Ἀριστόνικος προλειπτικῶς φησιν εἰρῆσθαι· οἱ δὲ ὅτι πάντα τὰ ἱερὰ, κἂν μήπω πεφυτεύμενα ᾖ, ἄλσος ἐκάλουν οἱ ἀρχαῖοι καὶ Ὅμηρος·

Ὀγχηστὸν Ϋ' ἱερὸν, Ποσιδήϊον... ἄλσος.

ἵκιστα γὰρ δενδρώδης Ὀγχηστὸς, ἐφ' ὑψηλοῦ κείμενος.

32. Ξυνόν.] Κοινὸν πᾶσιν ἀνθρώποις φύτευμα καὶ στέφανον τῶν ἀρετῶν. Ἄλλως· κοινὸν γενέσθαι φύτευμα τοῦ τε ἄλσους τοῦ Διὸς καὶ τῶν στεφάνων τῶν ἀρετὴν ἐχόντων ἀνδρῶν. — Στέφανόν τ' ἀρετᾶς.] Τῶν νικώντων ἐν τῷ ἀγῶνι.

33. Ἤδη γὰρ αὐτῷ.] Ἤδη γὰρ αὐτῷ, τῷ Ἡρακλεῖ, καὶ οἱ βωμοὶ τοῦ Διὸς Θυσιῶν καὶ ἐναγισμάτων ἐπεπλήρωντο, καὶ ἡ σελήνη πλήρης οὖσα καὶ ὁλοκλήρῳ τῷ φωτὶ πρὸς τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀντιλάμπουσα καὶ ἀντιφλέγουσα τὸν καιρὸν παρεῖχε τῆς κρίσεως τοῦ ἀγῶνος· ἐν γὰρ τῇ ἑκκαιδεκάτῃ τῆς σελήνης ὁ Ὀλυμπιακὸς ἀγὼν τελεῖται· δεῖ δὲ τὸ πρότερον δεύτερον νοεῖν, καὶ τὸ δεύτερον πρῶτον· οὐ γὰρ δὴ Θυσίαι ἐγένοντο πρότερον, εἶτα οὕτως ἡ διχόμηνις ἔλαμπεν, ἀλλὰ πρότερον ἡ ἡμέρα τῆς πανσελήνου παρεγένετο, εἶτα οὕτως αἱ Θυσίαι καὶ τὰ λοιπὰ τοῦ ἀγῶνος ἐτελοῦντο· ὁ δὲ λόγος· ἤδη γὰρ τῶν βωμῶν τοῦ πατρὸς αὐτοῦ Διὸς πληρωθέντων Θυσιῶν, ἀντὶ τοῦ σεβασθέντων ταῖς Θυσίαις καὶ ἐναγίσματα λαβόντων. — Ἤδη γὰρ αὐτῶν.] περὶ τοῦ χρόνου, καθ' ὃν ἄγεται τὰ Ὀλύμπια καθ' ἑκάστην Ὀλυμπιάδα . . . . ὁ τὰ περὶ . . . . συντάξας φησὶν οὕτω· πρῶτον μὲν οὖν παντὸς, περίοδον συνέθηκεν ἐν τῇ ἡμέρᾳ ἄρχειν νουμηνίας μηνὸς, ὃς Διόσθυος ἐν Ἠλιδὶ ὀνομάζεται, περὶ ὃν τροπαὶ ἡλίου γίνονται χειμεριναί· καὶ πρῶτα Ὀλύμπια ἄγεται ἡ μηνί· ἑνὸς δὲ ὄντος, διαφερόντων τῇ ὥρᾳ, τὰ μὲν ἀρχόμενα τῆς ὀπώρας, τὰ δὲ ὑπ' αὐτὸν τὸν ἀρκτουρον· ὅτι δὲ ἄγεται ὁ ἀγὼν, καὶ ὁ Πίνδαρος μαρτυρεῖ. — Αὐτῷ.] Τὸ αὐτῷ μὴ μόνον πρὸς τὸ ἀγισθέντων ἀλλὰ καὶ πρὸς τὸ πατρὶ συναπτέον, ἵν' ᾖ, τῷ πατρὶ αὐτῷ καὶ αὐτοῦ. Ἡρακλῆς πρὸ τοῦ τὴν ἐλαίαν ἐξ Ὑπερβορέων ἐννοχέναι μίαν Ὀλυμπιάδα τετέλεκεν· ἐτελεῖτο δὲ ἡ Ὀλυμπιακὴ πανήγυρις ἐν πανσελήνῳ· τόδε γάρ ἐστι λύσις τοῦ ἀντιπίπτοντος· εἶπε γὰρ ἄν τις αὐτῷ· τίνος χάριν τὴν ἐλαίαν ἐκόμισε; φησὶ γοῦν· ἤδη γὰρ καὶ τότε τῶν βωμῶν τῷ πατρὶ, ἤτοι τῷ Διΐ, ἀγισθέντων καὶ τελεσθέντων καὶ ἐναγίσματα λαβόντων, αὐτῷ καὶ ὑπ' αὐτοῦ τοῦ Ἡρακλέους, ἡ χρυσάρματος μήνη καὶ σελήνη ἀντέφλεξε καὶ ἀντέλαμψεν ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας· ποταπὴ διχόμηνις, καὶ πανσέληνος· ὅτε δέ ἐστιν ἡ σελήνη πανσέληνος, δίχα κόπτει τὸν μῆνα· ἐν γὰρ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦτο γίνεται· ὥσπερ φαμὲν, ἡ λαμπὰς ἐν νυκτὶ φῶς ἀστράπτει, οὕτω

καὶ τὸ· ἀντέφλεξεν ὅλον τὸν ὀφθαλμὸν τῆς ἑσπέρας, τουτέστι διαφανὴ ἐποίησε· τὸ δὲ ὀφθαλμὸν λέγει, ἐπειδὴ τὸ τῆς νυκτὸς φῶς τοὺς ἐν νυκτὶ πορευομένους βλέπειν ποιεῖ καὶ ἀπροσκόπτως τὴν πορείαν ἐργάζεσθαι· μὴ λάβῃς πρὸς τὸ διχόμηνις τὸ οὖσα ἔξωθεν· δέον γὰρ διχόμηνος εἰπεῖν, διχόμηνις εἶπε πρὸς τὸ μήνη· λέγεται δὲ μήνη, διότι τοὺς μῆνας αὐτὴ ἐργάζεται μειουμένη καὶ πάλιν νεουμένη. † Ἤδη γὰρ ὑπ' αὐτοῦ, ἤγουν τοῦ Ἡρακλέους, βωμοῦ μὲν τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς ἁγισθέντος, τουτέστι δι' ἐναγισμάτων σεβασθέντος, ἡ πανσέληνος σελήνη ἡ χρυσάρμα.. ος ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς ἀντέφλεξεν ἐπὶ τῆς ἑσπέρας, ἀντὶ τοῦ δεδυκότος τοῦ ἡλίου αὐτὴ τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς ἀντέθεκε· λέγεται δὲ ὁ λόγος ἀντιστρόφως ἀντὶ τοῦ, ἤδη γὰρ τῆς πανσελήνου σελήνης τῆς χρυσαρμάτου ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντιφλεξάσης ἐπὶ τῆς ἑσπέρας, ὁ βωμὸς μὲν τοῦ πατρὸς αὐτοῦ, τουτέστι τοῦ Ἡρακλέους, δι' ἐναγισμάτων ὑπ' αὐτοῦ ἐτιμήθη· μετὰ γὰρ τὴν πανσέληνον αἱ θυσίαι ἐπὶ τῷ βωμῷ, φασίν, ἐτελοῦντο· καὶ μεγάλων ἀγώνων ἀγνὴν κρίσιν, ἤγουν ἀθορυβόκητον, ἀπροσωπόληπτον, καὶ πενταετηρίδα ἅμα κατέστησεν, αὐτὸς δηλονότι ὁ Ἡρακλῆς, ἐπὶ τοῖς χρημοῖς τοῦ Ἀλφειοῦ ποταμοῦ τοῖς ἄγαν θείοις.

34. Ἁγισθέντων.] Καθιερωθέντων.

35. Διχόμηνις.] Ἡ σελήνη, ἐπεὶ ἐν τῇ πανσελήνῳ ὁ Ὀλυμπιακὸς ἀγὼν ἄγεται καὶ τῇ ἑκκαιδεκάτῃ γίνεται ἡ κρίσις, καὶ αὐτὴ εἰς δύο καταμερίζεται, εἴς τε τὴν αὔξησιν καὶ λεῖψιν τοῦ φωτός. Ἄλλως· ὅτι πανσελήνῳ ἄγεται ὁ Ὀλυμπιακὸς ἀγών· πρὸ δὲ τοῦ εἰς Ὑπερβορέους παραγενέσθαι Ἡρακλῆς διατέθεικε μίαν Ὀλυμπιάδα, μηδέπω ἀποδεδειγμένου τοῦ στεφάνου· βούλεται δὲ εἰπεῖν, ὅτι ψιλὸς καὶ ἀσκίαστος ἦν ὁ τόπος, ὥστε ὅλον τὸν ὀφθαλμὸν τῆς σελήνης καταλάμψαι τοὺς βωμούς· γίνεται δὲ ὁ ἀγὼν ποτὲ μὲν διὰ τεσσαράκοντα ἐννέα μηνῶν, ποτὲ δὲ διὰ πεντήκοντα· ὅθεν καὶ ποτὲ μὲν τῷ Ἀπολλωνίῳ μηνί, ποτὲ δὲ τῷ Παρθενίῳ, παρ' Αἰγυπτίοις Μεσωρὶ ἢ Θὼθ, ἐπιτελεῖται· χρυσάρματον δὲ εἶπε τὴν σελήνην, πρὸς τὸ μεγαλοπρεπέστερον τὴν εἰκόνα διαθέμενος. Ἄλλως· ὅλον ὀφθαλμὸν τῆς νυκτὸς τὸ σκοτῶδες πληροῦσα ἡ σελήνη κατελάμπρυνεν.

37. Ἀγνάν.] Καθαράν. — Ἀγνὰν κρίσιν.] Ἢ διὰ τὴν τῶν Ἑλλανοδικῶν ἐπιμέλειαν ἢ διὰ τὴν σύγκρισιν.

38. Καὶ πενταετηρίδ' ἀμᾶ.] Ἔθηκε δὲ ὁμοῦ τοῖς εἰρημένοις καὶ χρόνου πενταετηρικὸν αὐτὸν εἶναι τάξας· πάντων οὖν, φησί, γενομένων τῶν μεγάλων ἄθλων, λοιπὸν τὴν ἀγωνικὴν καὶ ἀδωροδόκητον κρίσιν ἔθηκεν, ὥστε τὸν ἀγῶνα διὰ τοσούτου τελεῖσθαι καὶ ἐν τόπῳ τῇ Ἤλιδι· ἐκεῖ γὰρ ὁ Ἀλφειὸς ποταμὸς· ἰδίως τὰ κεφάλαια ἐκθεὶς ὁ Πίνδαρος τὸ κατὰ μέρος ἐπέξεισιν, ὥστε εἶναι τὸ ἑξῆς τοῦ λόγου τοιοῦτον· ἤδη γὰρ αὐτῷ πενταετηρίδα διαθέντι καὶ θύσαντι τῷ πατρὶ ἦν ὁ χῶρος ἄδενδρος.

39. Ζαθέοις.] Τοῖς θαυμαστοῖς.

40. Ἀλλ' οὐ καλά.] Τὸ ἀλλὰ ἀντὶ τοῦ δέ· ἐκ δὲ τοῦ παρεπομένου τὴν δόσιν τοῦ στεφάνου δηλοῖ, ὅτι μήπω ἦν. — † Σύνταξις. Ἀλλ' οὐ καλὰ δένδρα θάλλοντα εἶχεν ὁ χῶρος ὁ ἐν ταῖς βήσσαις, ἤτοι ταῖς κοιλάσι, ταῖς καταδύσεσι τοῦ Κρονίου λόφου τοῦ Πέλοπος.

41. Κρονίου Πέλοπος.] Ἤτοι ὅτι ἀπὸ Κρόνου εἶχε τὸ γένος ὁ Πέλοψ· Πλουτὼ γὰρ ἡ θυγάτηρ Κρόνου, ἧς Τάνταλος ὁ πατὴρ Πέλοπος· ἵνα οὖν εἴπῃ· ὅτι οὕτω ἦν τὸ τοῦ κοτίνου φυτὸν ἐν ταῖς βήσσαις καὶ τοῖς τόποις τοῦ Πέλοπος τοῦ Κρονίου· τῆς Πελοποννήσου γὰρ ἦν ἡ Ἤλις· ἡ ἁπλούστερον οὕτως· ὅτι ὁ χῶρος τοῦ Πέλοπος ὁ ἐν ταῖς βήσσαις τοῦ Κρονίου οὐδέπω εἶχε τὸ φυτόν. Κρόνιον δὲ ὄρος πλησίον κατὰ τοῦ Κρονίου Πέλοπος βήσας. Ἀρίσταρχος· χῶρος ὁ ἐν Κρονίου βήσαις Πέλοπος· λόφος δέ ἐστιν ἐν Ὀλυμπίᾳ ὁ καλούμενος Κρόνιος· τινὲς δὲ Κρονίου Πέλοπος, ὅτι Πλουτὼ θυγάτηρ Κρόνου ἐγένετο, ᾗ συγκοιμηθεὶς ὁ Τάνταλος ἔσχε Πέλοπα.

42. Τούτων ἔδοξε.] Τούτων τῶν φυτῶν γυμνὸς ὢν ὁ κῆπος καὶ ὅλος ὁ τόπος ἐδόκει ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, τουτέστι καταλάμπεσθαι ὑπὸ τοῦ ἡλίου, ἀντὶ τοῦ εἶναι κατάθερμος καὶ πυρώδης καὶ ἀσκίαστος· γυμνὸς δὲ ἀντὶ τοῦ ψιλός· τὸ δὲ ὑπακούειν μεταληπτικῶς εἶπεν ἀντὶ τοῦ αἰσθάνεσθαι, διὰ τὴν καῦσιν τοῦ ἡλίου. Τούτων, ἤγουν τῶν δένδρων, γυμνὸς ὢν ὁ κῆπος, τουτέστιν ὁ μετέωρος τόπος καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενος, ἔδοξεν αὐτῷ, τῷ Ἡρακλεῖ δηλονότι, ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, ἀντὶ τοῦ εἰς πεῖραν ἔρχεσθαι τῶν σφοδρῶν ἀκτίνων τοῦ ἡλίου· τότε δὴ ἐρρώτιζεν ἡ ψυχὴ αὐτοῦ, περιφραστικῶς ἀντὶ τοῦ αὐτὸς, πορεύεσθαι εἰς τὴν γῆν τὴν περὶ τὸν Ἴστρον ποταμόν· ἀπορήσειεν ἄν τις ἐν-

ταῦθα, πῶς τὸ κῆπος λέγει μὴ ὄντων δένδρων· καί φαμεν, ὥσπερ ἄνω εἰρήκει τὸν αὐτὸν τοῦτον τόπον ἄλσος, οὕτω καὶ τοῦτο· ἢ τοῦτον κῆπον λέγει Πίνδαρος, ὡς τὸν καιρὸν αὐτοῦ· ἢ ἐπειδὴ κᾶπος καὶ ἡ φάτνη λέγεται· ἔτρεχον δὲ ἐν τούτῳ τῷ τόπῳ οἱ ἵπποι, κάπος ἀποτελοῦντες ἐκ τῶν μυκτήρων· λόγον ἂν ἔχοι λέγειν καὶ αὐτὸν τὸν τόπον κᾶπος ἀπὸ τοῦ ἐν αὐτῷ συμβαίνοντος· κρεῖττον δέ ἐστι τὸ πρῶτον.

43. Γυμνὸς αὐτῷ κᾶπος.] Κᾶπος κυρίως ὁ περιπνεόμενος ἀνέμοις τόπος, ὅθεν κάπας τὰς φάτνας καλεῖσθαι, διὰ τὸ περιπνέεσθαι ὑπὸ τῶν ἵππων τῷ πνεύματι ἀναπιόντων τὴν τροφήν.

44. Ὑπακουέμεν.] Καρτερεῖν.

45. Θυμὸς ὥρμαινεν.] Διὰ τοῦτο παραγενέσθαι προεθυμήθη εἰς τὴν γῆν τοῦ Ἴστρου ποταμοῦ, εἰς τὴν Σκυθίαν, ἐν ᾗ Σκυθίᾳ ἡ Ἄρτεμις αὐτὸν ὑπεδέξατο ἐλθόντα, ἡνίκα αὐτὸν τοῖς προστάγμασι καὶ ταῖς ἀγγελίαις τοῦ Εὐρυσθέως ὑπουργεῖς ἡ πατρὸς ἀνάγκη παρεσκεύαζεν, ἐπὶ τῷ τὴν ἔλαφον ἀγαγεῖν, ἣν ποτε ἡ Ταϋγέτη ἀνέθηκε τῇ Ὀρθωσίᾳ Ἀρτέμιδι.

46. Ἰστρίαν νιν.] Ἐὰν διὰ τῶν δύο ν, Ἰστρίαν νιν, τὴν Σκυθίαν ἀκουστέον· ἐὰν δὲ διὰ τοῦ ἑνός, ἡ Ἰστρία Ἄρτεμις αὐτὸν τὸν Ἡρακλέα ὑπεδέξατο. Ἰστρία δὲ ἡ Ἄρτεμις ἦταν ἀπὸ τοῦ Ἴστρου, ὃν περιοικοῦσιν αἱ Ἀμάζονες, αἳ τιμῶσι μάλιστα τὴν Θεὸν, ἡ ἀπὸ Ταύρων ἔθνους Σκυθικοῦ, περιοικοῦντος τὸν Ἴστρον, παρ' οἷς ὁμοίως τιμᾶται ἡ Ἄρτεμις· τοὺς δὲ ἀναγινώσκειν Ἰτριανήν, ἵν' ᾖ τὴν Ἰστριανὴν γῆν εἰς τὴν Σκυθίαν ὁ Θυμὸς αὐτὸν παρώρμησεν. Ἀρίσταρχος· εἰς τὴν γῆν ἐλθεῖν, ὅπου αὐτὸν ἡ Ἰστρία Ἄρτεμις ὑπεδέξατο· δηλοῖ δὲ πάλιν τὴν εἰς Ὑπερβορέους ἐπὶ τὰς τοῦ Ἴστρου πηγὰς ἄφιξιν· ἐκεῖ γὰρ τιμᾶται ἡ Ἄρτεμις ὅτι μάλιστα ὑπὸ Ταύρων τοῦ Σκυθικοῦ ἔθνους· ἔνιοι δὲ καὶ β' ν, γράφουσι καὶ τὸν λόγον ἀπευθύνουσιν οὕτω· τότε δὴ ὁ Θυμὸς παρώρμησε τὸν Ἡρακλέα ἐπὶ τὴν Ἰστρίαν γῆν πορεύεσθαι. — Ἔνθα Λατοῦς.] Ἐνταῦθα ναὸς ἦν αὐτῆς τῆς Ἀρτέμιδος, οὗ καὶ Ἰφιγένεια ὑπ' αὐτῆς ἁρπαγεῖσα κεκόμισται· οἰκείως ἔχει τὸ μυχῶν πρὸς τὸ θειρῶν· ἔνθα γὰρ ὄρη, καὶ φάραγγες καὶ κρημνοί· ἔνθα ἡ Θυγάτηρ τῆς Λητοῦς ἡ Ἄρτεμις ἡ ἱπποσόα, τουτέστιν ἡ τοὺς ἵππους σοβοῦσα, ἤγουν διεγείρουσα εἰς ὁράρον, ἤτοι ἡ ἱππικὴ, ἐδεξιώσατο ἐλθόντα αὐτὸν ἀπὸ τῶν ἐξοχῶν καὶ τῶν μυχῶν, ἤγουν τῶν

καταδύσεων τῶν πολυστρόφων τῆς Ἀρκαδίας, ὑπηνίκα ἡ ἀνάγκη ἡ ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς παρεσκεύαζεν αὐτὸν διὰ τῶν προσταγμάτων τοῦ Εὐρυσθέως τῶν δι' ἀγγέλων αὐτῷ προσταττομένων· δι' ἀγγέλων γάρ, φασί, προσέταττεν αὐτῷ Εὐρυσθεύς, ἃ προσέταττε· τὴν ἔλαφον τὴν Θηλείαν τὴν χρυσόκερων ἄξοντα, ἣν ἡ Ταϋγέτη ἡ τοῦ Ἄτλαντος Θυγάτηρ ἀνατιθεῖσα Ἀρτέμιδι τῇ Ὀρθωσίᾳ ἐπέγραψεν ἱεράν, αὐτῆς θηλούσης· εἰκότως εἶπε τὸ ἀγγελίαις· διὰ γὰρ μηνυμάτων ἐπέταττεν αὐτῷ τοὺς ἄθλους τελεῖν· ἐδεδίει γὰρ αὐτὸν αὐτοπροσώπως θεᾶσθαι.

50. Εὐτέ μιν ἀγγελίαις.] Ἥνίκα αὐτὸν ἡ πατρόθεν ἀνάγκη, τουτέστι τοῦ Διός, κατὰ τὰς Εὐρυσθέως ἀγγελίας παρεσκεύασεν ἀγαγεῖν τὴν ἔλαφον· δι' ἀγγέλου γὰρ καὶ κήρυκος ἐκέλευεν ὁ Εὐρυσθεὺς τοῦ Κοπρῆος. Ὅμηρος· (Ἰλ. ο, 639.)

Ὅς Εὐρυσθῆος ἀέθλων
Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ.

51. Ἔντυε.] Διέγειρεν. — Ἀνάγκα πατρόθεν.] Παρὰ τὰ ἐν τῇ τ, τῆς Ἰλιάδος· ὁ Ζεὺς πρὸς τὴν Ἥραν·

Σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια,
καὶ τὰ ἑξῆς· διὰ τοῦτό φησι πατρόθεν ἀνάγκα. — Ἀνάγκα πατρόθεν.] Ἱστορία περὶ τῆς γεννήσεως Ἡρακλέους καὶ Εὐρυσθέως· ὅτε Ἀλκμήνη τὸν Ἡρακλέα ἐνυφόρει, τότε φασὶ τὴν Ἥραν φθονοῦσαν Ἀλκμήνῃ διὰ τὰς τοῦ Διὸς σπορὰς, ἐλθοῦσαν πρὸς τὸν Δία αἰτῆσαι αὐτὸν παρασκευάσαι τὸν πρῶτον τεχθήσεσθαι μέλλοντα κύριον ἔσεσθαι τοῦ ὕστερον τεχθησομένου· κατανεύσαντος οὖν τοῦ Διὸς Ἥραν ἐν τάχει ποιῆσαι τὸν Εὐρυσθέα γεννηθῆναι· λέγει οὖν τὴν τοῦ Διὸς πρὸς Ἥραν κατάνευσιν ἀνάγκην· ὕστερον δὲ Ἡρακλῆς ὑπὸ Ἥρας μανείς, ἐλθὼν εἰς Ἀπόλλωνα καὶ χρώμενος αὐτῷ περὶ τῆς νόσου ἤκουσε παρ' αὐτοῦ μὴ ἂν πεπαύσεσθαι τῆς νόσου, εἰ μὴ προσελθόντα τῷ Εὐρυσθεῖ ποιεῖν, ὅσα ἂν ἐκεῖνος κελεύῃ.

52. Χρυσόκερων ἔλαφον.] Ὅτι ἐπιμελῶς οἱ ποιηταὶ τὴν Θηλείαν ἔλαφον κέρατα ἔχουσαν εἰσάγουσι· καθάπερ καὶ τὴν Θηλάζουσαν τὸν Τήλεφον γράφουσι καὶ πλάττουσι· τέτακται δὲ καὶ παρὰ Ἀνακρέοντι. (Ἀθην. IX. p. 396 Αἰλιαν. Η. Α. VII. 39.) Ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅστ' ἐν ὕλαις κεροέσσης ὑπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη. Ζηνόδοτος δὲ μετεποίησεν Ἐροέσσης, διὰ τὸ ἱστορεῖσθαι τὰς Θηλείας κέρατα μὴ ἔχειν, ἀλλὰ τοὺς ἄρρενας· οἱ μέντοι

γε ποιηταὶ πάντες κέρατα ἐχούσας ποιοῦσιν· ὅτι δὲ συνέθαινε καὶ εἰκός ἐστιν ἐνίας ἔχειν, ἐκεῖθεν δῆλον, ὅτι τῶν ἐλεφάντων οἱ μὲν ἐξ Αἰθιοπίας καὶ Λιβύης πάντες σὺν ταῖς θηλείαις ὀδόντας ἔχουσιν, ὥς τινές φησι, καθὰ καὶ Δ'μοντιανὸς ἐν τῷ περὶ τῶν ἐλεφάντων φησί· τῶν δὲ Ἰνδικῶν αἱ θήλειαι χωρὶς ὀδόντων εἰσίν· Ἀλέξιαν δὲ εἶπε καὶ χρυσόκερων ἀπὸ Ἱστρίας· ὁ γὰρ Θησηίδα γράψας τοιαύτην αὐτὴν λέγει καὶ Πείσανδρος ὁ Καμειρεὺς καὶ Φερεκύδης. Ε'καλεῖτο δὲ ἡ ἔλαφος κερβία.

53. Ἄνποτε Ταϋγέτη.] Αὕτη Ἄτλαντος Θυγάτηρ, ἀφιέρωσε δὲ τὴν ἔλαφον τῇ Ἀρτέμιδι· λέγεται γὰρ ὅτι, ἡνίκα Ἡρακλῆς παρέσχεν αὐτὴν Εὐρυσθεῖ, τότε εὑρέθη ἐπὶ τοῦ τραχήλου αὐτῆς γεγραμμένον· Ταϋγέτη ἱερὰν ἀνέθηκεν Ἀρτέμιδι. Ἄλλως· ἡ Ταϋγέτη ἡ τοῦ Ἄτλαντος Θυγάτηρ, ἥντινα Διὸς βουληθέντος βιάσασθαι εἰς ἔλαφον μετέβαλεν ἡ Ἄρτεμις, εἶναι πάλιν εἰς τὴν οἰκείαν φύσιν ἀποκαταστᾶσα καὶ γενομένη ἄνθρωπος καθιέρωσεν αὐτὴν τῇ Ἀρτέμιδι· χρυσόκερων οὖσαν, ὡς παράδοξον ὑπὲρ τῆς εὐεργεσίας, διότι χρυσᾶ ποιήσασα κέρατα διέβαλεν ἐν αὐτῇ· οἱ δὲ, ὅτι αὐτοφυῆ ἦν τὰ τῆς ἐλάφου κέρατα χρυσᾶ, καὶ διὰ τοῦτο ὡς ἀξίαν θαύματος ἀνέθηκεν· ἡ Ταϋγέτη τῆς Ἀρτέμιδός ἐστι φίλη· ταύτης ἠράσθη Ζεύς, καὶ αὐτὴν Ἄρτεμις, διωκομένην εἰς ἔλαφον μεταβάλει· ὅθεν καὶ εἰς ὑπόμνημα τοῦ πραχθέντος τὴν ἔλαφον χρυσώσασα ἀνέθηκε γαμηθεῖσα Διΐ. Ἱστορία, ὅπως ἑτέθη ἡ χρυσόκερως ἔλαφος τῇ Ἀρτέμιδι. Ταϋγέτη ἡ Ἄτλαντος Θυγάτηρ ὑπὸ Διὸς ἐρασθεῖσα μετεβλήθη εἰς ἔλαφον ὑπ' Ἀρτέμιδος, καὶ οὕτω τὸν γάμον ἐξέφυγεν, ὕστερον δὲ ὑπ' αὐτῆς πάλιν ἐπανῆλθεν εἰς ἄνθρωπον· τούτων οὖν ἀμειβομένη τῇ Ἀρτέμιδι ἔλαφον ἀνατίθησιν αὐτῇ χρυσῷ κεκοσμημένην τὰ κέρατα, ἐν οἷς ἐπέγραψε· Ταϋγέτη ταύτην ἀφιερεῖ Ἀρτέμιδι· ἣν ἀγαγεῖν ὑπ' Εὐρυσθέως Ἡρακλῆς ἐπετάχθη· ὅθεν διώκων αὐτὴν μέχρις Ὑπερβορέων ἀφῖκτο, ἀφ' οὗ τὴν ἐλαίαν εἰς Ὀλυμπίαν ἤγαγε· τὸ δὲ ἀντιθεῖσα ἤγουν ἀνατιθεῖσα κατὰ συγκοπὴν, ἤγουν ἀνθ' ἑαυτῆς θεῖσα.

54. Ἀντιθεῖσ' Ὀρθωσίᾳ.] Ὀρθωσία ἡ Ἄρτεμις παρὰ τὸ Ὀρθώσιον, ὅπερ ἐστὶν ὄρος Ἀρκαδίας· ἔστι δὲ καὶ ὄρος Ἀρκαδίας Ὄρθιον, ἀφ' οὗ καὶ ἡ Θεὸς Ὀρθία καὶ Ὀρθωσία καλεῖται· ἤτοι τῇ ὀρθούσῃ τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἀγούσῃ. Ὀρθωσίᾳ, τῇ Ἀρτέμιδι· περὶ τῆς

Ἀ᾽ρτέμιδος Ἀπολλόδωρος γράφει. Ὀρθωσία δὲ, ἐπὶ ὀρθοῖ εἰς σωτηρίαν, ἢ ὀρθοῖ τοὺς γεννωμένους· καὶ ἐν Ἀθήναις ἵδρυται, τὸ ἱερὸν δέ ἐστιν ἐν Κεραμεικῷ· καὶ πυρ᾽ Ἠλείοις Ὀ᾽ρθωσίας Ἀ᾽ρτέμιδος ἱερὸν, ὡς φησι Δίδυμος. — Ὀ᾽ρθωσία.] Τῇ ἐν Ὀρθωσίῳ ὄρει Ἀρκαδίας τιμωμένῃ Ἀ᾽ρτέμιδι, ἤγουν τῇ ὀρθούσῃ τὰς γυναῖκας ἐν τῷ τοκετῷ· ὄρος γὰρ λοχείας. † Ὀ᾽ρθωσία ἡ Ἄ᾽ρτεμις παρὰ τὸ Ὀρθώσιον, ὅπερ ἐστὶν ὄρος Ἀρκαδικόν· ἔστι δὲ καὶ Ὄρθιον ὄρος Ἀρκαδίας, ἀφ᾽ οὗ καὶ ἡ Θεὸς Ὀρθὶς καὶ Ὀρθωσία καλεῖται· ἤγουν ἡ ὀρθοῦσα τὰς γυναῖκας, καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἄγουσα.

55. Τὰν μεθέπων.] Ἤντινα διώκων εἰς Ὑπερβορέους ἦλθεν· ταύτην ἐπιδιώκων τὴν ἔλαφον ἐθεάσατο καὶ τοὺς Ὑπερβορέους ψυχροτάτους τόπους καὶ τὴν Σκυθίαν· ἔνθα στὰς ἐξεπλάγη τὰ δένδρα τῆς ἐλαίας, καὶ αὐτὸν ἐπιθυμία ἔλαβε φυτεῦσαι ἀπ᾽ αὐτῶν περὶ τοὺς τοῦ σταδίου τόπους τοῦ ἱππικοῦ, ὥστε μετενεγκεῖν εἰς τὴν Ὀλυμπίαν. — † Σύνταξις. Τὰν μεθέπων.] Ταύτην διώκων εἶδε καὶ ἐκείνην τὴν γῆν τὴν τὰς ἐλαίας ἔχουσαν, ὄπισθεν τῶν πνοῶν τοῦ Βορέου τοῦ ψυχροῦ, ἤγουν κατὰ τὰ Ὑπερβόρεια μέρη· ὅπου σταθεὶς ἐθαύμαζε τὰ δένδρα, ὧν γλυκὺς ἵμερος καὶ ἔρως ἔλαβεν αὐτὸν, ὥστε φυτεῦσαι ἀπ᾽ αὐτῶν δηλονότι, περὶ τὸ τέρμα τοῦ δρόμου τῶν ἵππων τὸ ὠωδεκάγναμπτον, ἤγουν ὃ ὠωδεκάκις οἱ ἀγωνιζόμενοι τεθρίπποις περιήρχοντο· ὠωδεκάγναμπτον, τὸ ιϵ᾽ γναμπτοὺς ἔχον, ἐπειδὴ καὶ ιϵ᾽ δρόμους ἐποίει τὸ τέλειον ἅρμα τῶν ἵππων, τὸ δὲ πωλικὸν ἡ.

56. Πνοιαῖς ὄπιθεν.] Τὸ πνοιαῖς ἀντὶ τοῦ πνοιῶν. Βορέα δὲ ἀντὶ τοῦ Βορέου Δωρικῶς· οἱ γὰρ Δωριεῖς τὴν ου δίφθογγον εἰς ᾰ μεταβάλλουσιν. — Βορέα.] Ὑπερβόρεος γὰρ ἡ χώρα διὰ τὸ ὄπισθεν ἔρπον τῶν τοῦ Βορέου πνοῶν ἐν τοῖς Ῥιπαίοις ὄρεσιν.

59. Δωδεκάγναμπτον.] Δώδεκα γὰρ ἐν Ὀλυμπίᾳ τρέχει τὸ τέλειον ἅρμα, τὸ δὲ πωλικὸν ὀκτώ.

60. Ἵππων φυτεῦσαι.] Τὸ Πάνθειον, ἐν ᾧ περύτευται ἡ ἐλαία, ἣν ὀρέπει ἀμφιθαλὴς παῖς χρυσῷ ὀρεπάνῳ, κλάδους ιϛ᾽ τέμνων, ὅσα καὶ τὰ ἀγωνίσματα.

61. Καὶ νῦν ἐς ταύτην ἑορτά.] Τὴν τοῦ νικηφόρου πανήγυριν καὶ εὐωχίαν· εἰώθεισαν γὰρ εὐωχεῖσθαι· τὴν εὐωχίαν γὰρ ἑορτὴν εἶπε· φησὶ γὰρ ἔρχεσθαι εἰς τὴν τοῦ Θήρωνος ἑστίαν, τόν τε Ἡρακλῆν καὶ τοὺς Διοσκούρους, εἰς τὰ Θεοξέ-

νια, ἐπεὶ ἐξένιζεν αὐτοὺς ὁ Θήρων. — † Σύνταξις. Καί νυν ἐς ταύταν ἑορτάν.] Καὶ δὴ εἰς ταύτην τὴν ἑορτὴν, ἤγουν εἰς τὰ Θεοξένια εὐμενὴς ἔρχεται ὁ Ἡρακλῆς σὺν τοῖς υἱοῖς καισὶ τῆς Λήδας τῆς βαθυζώνου, ἤγουν τῆς πολυτελεῖ ζώνῃ ποτὲ χρωμένης, ἤγουν τῆς πλουσίας· καθὰ λέγεται καὶ βαθὺς πλοῦτος ὁ πολὺς, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, τουτέστι τῆς ἀσείας.

62. Ἀντιθέοισιν νίσσεται.] Καὶ νῦν ἦξει ἐπὶ τῇ παρούσῃ πανηγύρει τοῦ Θήρωνος ὁ Ἡρακλῆς ἅμα τοῖς ἰσοθέοις τῆς Λήδης παισὶ Διοσκούροις· τούτοις γὰρ ἐπέτρεψε διατιθέναι τὸν ἀγῶνα Ἡρακλῆς, αὐτὸς λοιπὸν εἰς Θεοὺς ἀναχωρῶν. — Ἀντιθέοισιν.] Ἀντὶ τοῦ, οἱ Διόσκουροι θνητοὶ ὄντες πρότερον ἀθανασίας ἔτυχον παρὰ τοῦ Διός· νίσσεται, ἔρχεται Ἡρακλῆς σὺν τοῖς Διοσκούροις· τούτοις γὰρ ἀποθεούμενος ἐπέτρεψε διοικεῖν· τὸ δὲ νίσσεται πρὸς τοὺς Διοσκούρους, ὅτι καὶ θνητοὶ ὄντες ἀθάνατοι ἐγένοντο. Τοῖς ἀντιθέοις, ἤγουν τοῖς ἰσοθέοις, τουτέστι τοῖς Διοσκούροις· τούτοις γὰρ ἐπίτραπεν, ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ γὰρ τούτων ἔδωκεν εἰς τὸν οὐρανὸν αὐτὸς ἀπερχόμενος, νέμειν, ἤγουν διοικεῖν τὸν ἀυμαστὸν ἀγῶνα, περί τε τῆς ἀρετῆς, ἤγουν τῆς δυνάμεως, τῆς ἐμπειρίας τῶν ἀνδρῶν, καὶ τῆς διῤῥηλασίας, ἤγουν τῆς σπουδαίας κινήτεως τῶν ὄχρων, τῆς ῥιμφαρμάτου, τουτέστι δι' ἧς ἡ ταχυτὴς τῶν ἁρμάτων δείκνυται.

64. Ἰών.] Πορευόμενος.

66. Ἀνδρῶν τ' ἀρετᾶς.] Καὶ τὰ περὶ τῆς τῶν ἀνδρῶν ἀρετῆς διοικεῖν αὐτοῖς ἐπέτρεψε, τοῖς Τυνδαρίδαις· τὸ δὲ ῥιμφαρμάτου, τῆς ταχέα καὶ ὀξέα ἅρματα ἐχούσης. Ἀρίσταρχος παρὰ τὴν ῥῖψιν φησὶ γεγονέναι τὸ ῥιμφαρμάτου· σημαίνει δὲ ἡ λέξις τὴν ταχεῖαν φοράν.

67. Ἐμὲ δ' ὦ πα.] Ἀμφότεροι οἱ σύνδεσμοι παραπληρωματικοί, καὶ ἐν τῷ Θήρωνί τε ἐλθεῖν, ὁ τε· ἐμὲ δὲ πως ὑμνεῖν τοὺς Εὐμενίδας ἡ ψυχὴ παρακελεύεται λαχόντας νίκην παρὰ τῶν Διοσκούρων· φατρία ἦν οὕτω καλουμένη, ἐξ ἧς ἦν Θήρων καὶ ἀδελφὸς αὐτοῦ Ἱέρων, οἵτινες τούτους τοὺς Θεοὺς ξενίζουσιν πολλάκις εὐωχίαν ποιοῦντες· καὶ ἐκάλουν αὐτὴν Θεοξένια τὴν ἑορτὴν, ἔνθεν τοὺς Διοσκούρους ξενίζειν ἐδόκουν.

68. Ἐμμενίδαις.] Ἐμμενίδαι φατρία Θήρωνος ἐν Σικελίᾳ· λέγει δὲ τοῖς Ἀκραγαντίνοις. Τηλεμάχου καταλύσαντος τὸν τῶν Ἀκραγαντίνων τύραννον Φάλαριν, παῖς γίνεται Ἐμμενίδης, οὗ Αἰνησίδαμος, οὗ Θήρων καὶ Ξενοκράτης· Θήρωνος

δὲ Θρασυδαῖος, Ξενοκράτους δὲ Θρασύβουλος· (σχόλ. Ὀλυμ. Β'. 82.) Εὐμενίδαι λέγονται οἱ περὶ Θήρωνα, ὡς μὲν οἱ προϋπομνηματισάμενοι, ἀπὸ Εὐμένους τινὸς τοῦ τὴν Φαλάριδος τυραννίδα καθελόντος· ἦν δὲ ὁ Εὐμένης Τηλεμάχου παῖς, οὗ γίνεται Δίνησίδαμος, οὗ Θήρων, οὗ Θρασυδαῖος καὶ Φιλοκράτης. — † Ε'μμενίδαι.] Φατρία Θήρωνος ἐν Σικελίᾳ. Τηλέμαχος γάρ τις καταλύσας τὴν Φαλάριδος τυραννίδα ἐν Ἀκράγαντι, τὴν βασιλείαν ἐκτήσατο· οὗ παῖς γίνεται Δίνησίδαμος ὁ Θήρωνος πατήρ. † Σύνταξις· ἐμὲ δ' οὖν ἡ ψυχὴ διεγείρει εἰπεῖν, δόξαν ἐλθεῖν τοῖς Ἐμμενίδαις, ἤγουν τῇ φατρίᾳ τοῦ Θήρωνος, τουτέστι τοῖς Ἀκραγαντίνοις καὶ τῷ Θήρωνι, τῶν Τυνδαριδῶν, ἤγουν τῶν Διοσκούρων τῶν εὐίππων, τουτέστι τῶν ἐπὶ καλῶν ἵππων ὀχουμένων, διδάντων αὐτὴν δηλονότι, διότι αὐτοὺς ἐπέρχονται, ἤγουν δεξιοῦνται, διὰ τραπεζῶν ξενοδοχικῶν πάνυ πλειόνων τῶν ἄλλων ἀνθρώπων, ἀντὶ τοῦ τραπεζῶν, ἃς οἱ ἄλλοι οὐ ποιοῦσιν ἄνθρωποι· ἢ οὕτω· διότι αὐτοὺς δεξιοῦνται διὰ πλείστων τραπεζῶν πρὸς ἀνθρώπους ξενοδοχικῶν, κατὰ εὐσεβῆ προαίρεσιν φυλάσσοντες, ἤγουν τηροῦντες, τιμῶντες τὰς ἑορτὰς τῶν Θεῶν.

71. Ὅτι πλείσταισι.] Πάνυ πλείστοι τῶν ἄλλων ἀνθρώπων· ὅτι ἐπ' αὐτοὺς τοὺς Διοσκούρους οἱ πρόγονοι τοῦ Θήρωνος καὶ αὐτὸς ὁ Θήρων οἴχονται καὶ πορεύονται ἐν πλείσταις ἀνθρώπων ξενίαις τραπέζαις, τουτέστιν ὡς οὐδένες ἀνθρώπων θυσίαις καὶ πανηγύρεσιν αὐτοὺς τιμῶσι, φυλάσσοντες καὶ τηροῦντες τὰς τελετὰς καὶ τὰς ἑορτὰς τῶν μακάρων ἐν εὐσεβεῖ γνώμῃ, τουτέστιν εὐσεβεῖς ὄντες καὶ περὶ τὰς τῶν Θεῶν τιμὰς ἀσχολούμενοι.

72. Κενίαις.] Φιλορροσύναις. — Αὐτούς.] Τοὺς ἀγωνιστάς. — Ξενίαις ἐποίχονται.] Ὅτι ἡ γενομένη θυσία τοῖς Διοσκούροις ξενισμὸς λέγεται· ταῖς γινομέναις θυσίαις τοῖς Διοσκούροις ὑπ' αὐτῶν ὡς εὐσεβῶν ὄντων· ἀγαθῇ οὖν γνώμῃ καὶ συνειδήσει οἱ Ἐμμενίδαι τὰς θυσίας ἀεὶ πληροῦσιν· ἀντὶ τοῦ περιέπουσι, τιμῶσιν, οἱ Εὐμενίδαι.

74. Τελετάς.] Ἡ τῶν Διοσκούρων, ἢ πάντων τῶν Θεῶν· τελετὰς δὲ νῦν τὰς ἑορτάς· οὐ γὰρ τὰ ὄργια.

75. Εἰ δ' ἀριστεύει μὲν ὕδωρ.] Εἰ δὲ τὸ ὕδωρ μὲν τῶν λοιπῶν στοιχείων προτετίμηται καὶ τοῦ πλούτου ὁ χρυσὸς καὶ τῶν ἀγώνων ὁ Ὀλυμπιακός, δηλόν ἐστιν ὅτι πρὸς τὸ τέλος τῆς ἀρετῆς ὁ Θήρων παρεγένετο νικήσας, καὶ αὐταῖς τρόπον τινὰ ταῖς Ἡρακλείαις στηλαῖς προτεπέλασεν. Ἄλλως·

καθολικῶς πάντων εἰπών, ὥσπερ οὖν, φησί, τὸ ὕδωρ ἀριστεύει πάντων, οὕτω καὶ Θήρων ἀριστεύει τῶν ἀνθρώπων. Ἄλλως· εἰ δὲ τὸ ὕδωρ τῶν ἄλλων στοιχείων διαφέρει καὶ ὁ χρυσὸς τοῦ πλούτου, νῦν γε ὁ Θήρων πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς νίκης ἱκάνων ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς τῶν Ἡρακλέος στηλῶν, καὶ τὸ πόρσω ἐστὶ βροτοῖς σοφοῖς ἄβατον καὶ ἀσόφοις· οὐδαμῶς οὖν αὐτὸ τὸ πόρσω διϊξω, καὶ μεῖζον ζητήσω τοῦ Ὀλυμπιακοῦ ἀγῶνος· πρὸς ἐσχατιὰν δὲ ἀρεταῖσιν, εἰς ἄκρον ἦλει ἀρετῆς, τοῦ Ὀλυμπιακοῦ ἀγῶνος στέφανον τετυχηκώς· εἰ ταῦτα, φησί, ἀνεπίληπτα καὶ φανερά, ὅτι τὸ μὲν ὕδωρ ἄριστόν ἐστιν, τῶν δὲ ἄλλων κτεάνων ὁ χρυσός· καὶ τὸ περὶ τοῦ Θήρωνος λεγόμενον σαφές ἐστιν, ὅτι τοῦ Ὀλυμπιακοῦ τετυχηκὼς στεφάνου νῦν ἐξ οἴκου ἅπτεται πρὸς αὐτὴν ἤδη τὴν ἐσχατιὰν, μέχρι τῶν τοῦ Ἡρακλέους στηλῶν· ἀλληγορικῶς δὲ βούλεται εἰπεῖν, ὅτι ἐπ' ἄκρον τῆς ἀρετῆς ἐλήλυθεν. — Σύνταξις. Εἰ δ' ἀριστεύει μέν.] Εἰ δὲ ἄριστον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων, τῶν κτημάτων δὲ ὁ χρυσός ἐστιν αἰδοιέστατον, κτῆμα δηλονότι, ἤγουν τιμιώτατον· τὸ γὰρ πλεῖστα αἰδοῦς ἄξιον τιμιώτατον πάντως· νῦν γε ὁ Θήρων πρὸς τὴν ἐσχατιὰν, ἤγουν τὸ ἀκρότατον καταλαμβάνων, ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς, τουτέστιν ταῖς γνησίαις, ταῖς οἰκείαις τῷ γένει αὐτοῦ. Ἄλλως. Οἴκοθεν· ἀφ' ἑαυτοῦ καὶ οὐκ ἀπὸ τύχης πατέρων, ὡς ἕτεροι.

77. Νῦν δέ.] Ἀντὶ τοῦ νῦν ἤδη· παρατηρητέον δὲ, ὅτι οὐδὲν ἀτύχημα γέγονε περὶ τὸν οἶκον Θήρωνος· πρὸς ἐσχατιὰν, μέχρι τοῦ ἐρικτοῦ καὶ τοῦ ἐσχάτου τέλους τῆς ἀρετῆς ἐρχόμενος.

79. Οἴκοθεν.] Διὰ τῶν οἰκείων ἀρετῶν. — Ἡρακλέος στηλᾶν.] Ὁ Ἡρακλῆς ἡνίκα ἐπὶ τὰς Γηρυόνου βοῦς εἰς τὴν Ἐρύθειαν λεγομένην νῆσον πρὸς τῷ Ὠκεανῷ παρεγένετο, πᾶσαν διεξελθὼν τὴν πλειομένην θάλασσαν ἐβούλετο προσωτέρω χωρεῖν· εἶτα χάος εὐρὼν καὶ ζόφον ἔστησε στήλας, δι' ὧν ἐμύνησε τὸ τέλος τῆς Θαλάσσης, ὡς μηδὲν εἶναι περαιτέρω πλωτόν· πρὸς τοῦτο οὖν ἡ διάνοια ἀποδίδοται, ὅτι ὁ νικήσας Ὀλύμπια μηδὲν ζητείτω πλέον· ἔχει γὰρ τὸ τέλος τῆς εὐδαιμονίας, ὥσπερ τὸ τέλος τῆς Θαλάσσης αἱ Ἡρακλέος στῆλοι ἐν τόπῳ Γαδείρων. — Ἡρακλέος στηλᾶν.] Τῶν στείλων τοῦ Ἡρακλέους· τοῦτο δέ φησιν, ἐπειδὴ ἐνίκησε τὰ Ὀλύμπια, τὸν κράτιστον ἀγῶνα τῶν ἄλλων· τὸ πόρσω

δὲ, τουτέστι τὸ πόρρω, ἀντὶ τοῦ τὰ περαιτέρω, ἄβατόν ἐστι καὶ ὑπὸ τῶν σοφῶν καὶ ὑπὸ τῶν ἀσόρων· οὐ μὴν διώξω, ἤγουν οὐ ζητήσω, τουτέστιν ὅσον τὸ κατ' ἐμὲ οὐκ ἂν ἐδίωξα· κεινὸς ἤγουν μάταιος ἂν εἴην, εἰ ἐζήτησα τοῦτο δηλονότι· ἄβατον τὸ μὴ πρέπον πατηθῆναι, καὶ ὃ οὐ διῆλθέ τις, καὶ ὃ οὐ δύναταί τις διελθεῖν, ἤγουν τὸ ἀδιεξίτητον· ἐνταῦθα κατὰ τὸ γ' λέγεται σημαινόμενον. Ἡρακλέος στηλᾶν, ἃς ἐν Γαδείροις ἔστησεν, ὅτε πρὸς ζήτησιν τῶν Γηρυόνου βοῶν ἀφῖκτο ὅτι δὲ οὐκ ἔστιν ἐπέκεινα τούτων ἐλθεῖν, ἡ παροιμία δηλοῖ· παροιμία· τὰ περὶ Γαδείρων οὐ περατά· β δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ τῶν Ἡρακλείων στηλῶν οὐκ ἔστιν ἐπέκεινά τι, οὕτω καὶ Θήρωνι εἰς τὸ ἀκρότατον τοῦ θαύματος ἰὼν οὐκ ἂν ἔχοι πορρωτέρω ἐλθεῖν· πάντες γὰρ καὶ σοφοὶ καὶ ἄσοφοι μὴ εἶναι ταύτης ἔτι μείζω εὐδαιμονίαν εἴποιεν, ὥστε καὶ αὐτὸς, εἰ πλέον τι ζητοίην πρὸς τὸν αὐτοῦ ἔπαινον, μάταιος ἂν εἴην. — Τὸ πόρσω.] Τὸ ἐπέκεινα τῶν στηλῶν· τὸ γὰρ περαιτέρω τῶν Ἡρακλείων στηλῶν χωρεῖν οὔτε σοφὸς οὔτε μὴ σοφὸς ζητήσειεν ἄν· ὁ μὲν γὰρ σοφὸς εἰδὼς οὐκ ἐθελήσει, ὁ δὲ ἄφρων, κἂν τολμήσῃ, τὰς ἐλπίδας στερήσεται· ὥστε πᾶσιν ἀδύνατον εἶναι· ἀλλ' οὐδὲ αὐτὸς ἐγὼ τὸ τοιοῦτο διώξω· εἴην γὰρ ἂν κενός τις καὶ ἀπαίδευτος· τὸ ἐπιπόρρω τούτων φησὶν ἄβατον εἶναι καὶ πᾶσιν ἀνέφικτον εἶναι καὶ σοφοῖς καὶ ἀσόροις· τὰ δὲ ὑπὲρ τὰ ἐκεῖ φθάσαι καὶ τοῖς ποιηταῖς ἀδύναται, ὡς εἶναι ἄγνωστα καὶ τοῖς σοφοῖς — Τὸ πόρσω.] Ἄγνωστον.

80. Σοφοῖς.] Φρονίμοις.

81. Διώξω.] Ἐρευνήσω — Κεῖνος.] Ὁ τῶν δυνατῶν ἐφιέμενος καὶ μὴ ἀδυνάτων ἐρῶν· ἔνιοι δὲ ἀναγινώσκουσιν, κεινὸς εἴην, ὡς παρ' Ὁμήρῳ. Κεινὴ δὲ τρυφάλεια· (Ἰλιάδος γ, 376) ἴν' ,ἢ· ἐὰν διώξω τὰ ἀδύνατα, κοινὸς εἴην, οἷον ἄφρων, ὡς ἀδυνάτων ἐφιέμενος. — Κεῖνος εἴην.] Ἐπιστήσας τις λογισμῷ καὶ εὑρὼν ὅτι τὰ εὐκτικὰ τῶν ῥημάτων, ὅτε μὲν κυρίως εὐκτικά εἰσι καὶ εὐχὴν περιέχουσιν, ἄνευ συνδέσμου τινὸς προφέρονται, τοῦ ἂν δηλαδὴ ἢ τοῦ εἰ ἢ ἑτέρου ὑποταχτικοῦ μορίου, ὁπηνίκα δὲ ἀντὶ ὑποτακτικῶν λαμβάνονται, τὰ εἰρημένα μόρια συμπροφερόμενα ἔχουτι, τὸ κεινὸς ὥσπερ διορθούμενος κεῖνος ἔγραψεν, ἵν' οὕτως εὐκτικῶς τὸ εἴην ἀποδοθῇ καὶ ἀναχθῇ τὸ νόημα πρὸς τὸν Θήρωνα εὐχομένου δηλαδὴ τοῦ ποιητοῦ τὸ γενέσθαι κατὰ Θήρωνα, καὶ μὴ πλέον τι· καλῶς μὲν οὖν ὁ ἀνὴρ ἐπεστάτησεν, ὡς ἐπήβολος

ἄριστος τῆς γραμματικῆς τέχνης· τοῦτο δὲ μόνον ἠγνόησεν, ὅτι ἡ γραμματικὴ ἐπὶ μόνῃ τῇ κοινῇ διαλέκτῳ τὸ κράτος ἔχει καὶ δι' αὐτὴν συνεστάθη· πρὸς γὰρ τὰς ἄλλας, τὴν Δωρίδα φημὶ καὶ Αἰολίδα καὶ Ἀττικὴν καὶ Ἰάδα, λίαν ἔχει ἀσυντελῶς· διὰ τοῦτο ἐπὶ μὲν τῆς κοινῆς κανόνας ἀκαιτούμεθα, ἐπὶ δὲ τῶν ἄλλων μόνα ἰδιώματα· οἷον τόδε ἰδίωμα Δωριέων καὶ τόδε Ἀττικῶν· ἰστέον οὖν, ὅτι τὸ κεινὸς εἶην Δωρικῶς κείμενον παρὰ τῷ Πινδάρῳ ἐστὶν, ὃς τὰ πλείω Δωριστὶ γράφει· οἱ δὲ Δωριεῖς ὀλιγοφραδεῖς καὶ συλληπτικοί, ὡς δῆλον ἀπὸ τοῦ χρὴ καὶ χρῆν, ὧν τὸ μὲν χρὴ ἀντὶ τοῦ χρεών ἐστι συντεθέν· διὸ καὶ τοῦ ἐστὶ τὸν τόνον ἔχει· τὸ δὲ χρῆν, ἀπὸ τοῦ χρεὼν ἦν· διὸ καὶ περισπᾶται· εἴποις οὖν καὶ τὸ εἶην ἂν συλληπτικῶς καὶ Δωρικῶς, ὡς τῆς συλλαβῆς τῆς ἦν ἐπελθούσης τῇ ἂν, καὶ ἀροκούσης καθ' ἑαυτῆς καὶ τοῦ συνδέσμου παρὰ τῷ Δωριεῖ.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Δ.′

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κῶλων ιέ. Τὸ ά προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον ἀνακλώμενον· υυ-υ-υυ--. Τὸ β′ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον· υυ-υυ-. Τὸ γ′ ἰθυφαλλικὸν, ὅπερ ἐστὶ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον -υ-υ-υ. Τὸ δ′ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, τῆς πρώτης μακρᾶς ἀναλυομένης· υυ-υυ --υυ--. Τὸ έ Ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐπίμικτον πρὸς τροχαϊκὴν συζυγίαν· --υυ-υ--. Τὸ ϛ′ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον· --υυ--υυ--. Τὸ ζ′ λογαοιδικὸν, ἐξ ἀναπαίστων καὶ Ἰάμβου καὶ συλλαβῆς· τὸ δὲ λογαοιδικὸν εὑρηται καὶ ἐν δακτύλοις, ἤγουν ῥυθμὸς ἐν λογα-

γράφοις οἰκείως καὶ ἀοιδοῖς συγκείμενος· ὁ δάκτυλος ἀοιδοῦ, ὁ τροχαῖος λογογράφου· ὅτε γοῦν εἰσὶ δάκτυλοι καὶ ὁ ὕστερος τροχαῖος, τότε λογαοιδικὸν λέγεται· ὥσπερ καὶ ἐνταῦθα οἱ ἀνάπαιστοι ἀοιδοῦ, ὁ ἴαμβος λογογράφου· εἰ δὲ σπονδεῖοι εἰσί, μὴ ξενίσῃ· οἱ γὰρ σπονδεῖοι σύμπτυκτοι ἀνάπαιστοι λέγονται, ὡς καὶ τὰ εἰς Σωτῆρα Χριστὸν τὸν Ὡραιοπηλιώτην, ἐπὶ τοῦ μαρμάρου ἄνω τῶν ἔξωθεν πυλῶν, ὅπου ἐζωγράφηται Ἰουστινιανὸς καὶ ὁ μέγας Κωνσταντῖνος. - - - - - υ - -. Τὸ ή Φερεκράτειον, λειπούσης τῆς τελευταίας συλλαβῆς, ἤγουν ἐξ ἐπιτρίτων· - υ - υ υ -. Τὸ ϛ' ἰαμβικὸν ἐρθημιμερές· υ - υ - υ - -. Τὸ ί ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· ἐπιωνικὸν δὲ λέγεται καὶ οὐχ Ἰωνικόν, ὅτι ἰαμβικὴν πρώτην συζυγίαν ἔχει ἀνοικείαν τοῖς Ἰωνικοῖς, καὶ πάλιν ὕστερον ἴαμβον· - - υ - - υ - - υ -. Τὸ ιά τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διαλυθέντων τῶν ποδῶν· - υ - υ υ - υ υ υ -. Τὸ ιβ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον· υ υ - - υ - υ -. Τὸ ιγ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον· - - υ υ - -. Τὸ ιδ' Ἰωνικὸν δίμετρον καταληκτικὸν πρὸς τροχαϊκὴν συζυγίαν ἐπίμικτον· υ - υ υ - υ -. Τὸ ιέ ἰαμβικὸν πενθημιμερές· υ - υ - -.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιϐ'. Τὸ ά Ἰωνικὸν δίμετρον ἀκατάληκτον, κειμένης ἔμπροσθεν συλλαβῆς, μεμιγμένον τοῖς τροχαίοις· - - - υ υ - υ - υ. Τὸ ϐ' χοριαμβικὸν δίμετρον καταληκτικόν· ἔχει δὲ καταλεῖδα οἰκείαν ἰαμβικήν· - υ υ - υ - -. Τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· υ - υ - υ - υ -. Τὸ δ' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον· - - - υ - υ υ - -. Τὸ έ δίμετρον ὑπερκατάληκτον ἐπὶ χοριάμβῳ, ἀπὸ τροχαίου ἀναλυομένου· υ υ υ - υ - - υ - -. Τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ - υ υ υ -. Τὸ ζ' δακτυλικὸν τρίμετρον καταληκτικόν· - υ υ - υ υ - υ. Τὸ ή περιοδικὸν· οἷον ἴαμβος διπλοῦς καὶ ἐξ ἀρχῆς καὶ ἐκ τέλους ἀρχόμενος· - - υ - - υ - υ. Τὸ Θ' περιοδικὸν τροχαϊκὸν ἀπὸ ἰάμβου καταληκτικόν· υ - - υ - υ -. Τὸ ί ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ - υ υ υ -. Τὸ ιά τροχαϊκὸν ἐπίτριτον, τοῦ πρώτου ποδὸς ἀναλυομένου, ἔτι δὲ καὶ τοῦ δευτέρου· υ υ - υ υ υ - υ υ -. Τὸ ιϐ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ - υ - υ -.

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ δ' εἴδους.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιέ.

τὸ ά προσοδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον· τὸ β' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· τὸ γ' ἰθυφαλικὸν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον· λέγεται τοῦτο καὶ ἡμιόλιον, καθότι τροχαϊκὸν ἓν μέτρον ἐστὶ καὶ ἥμισυ· ἡ τελευταία ἀδιάφορος· τὸ τέταρτον Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος· ἡ πρώτη δὲ μακρὰ συλλαβὴ διαλύεται εἰς δύο βραχείας· τὸ πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, καὶ ἐν μὲν τῷ ά Ἰωνικῷ ἀρχομένου ἰάμβου· ὃ καὶ Ἡφαιστίων παρατηρεῖται· πολλάκις γάρ, φησὶν, ἀπὸ βραχείας ὁ μείζων Ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς· ἐν δὲ τῷ δευτέρῳ τροχαῖος, ὃς οἰκεῖος Ἰωνικοῖς· τὸ ἕκτον Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον· τὸ ἕβδομον λογαοιδικὸν ἐξ ἀναπαίστων· τὸ ὄγδοον Φερεκράτειον ἀντισπαστικόν· ἔστι δ' ὅτε ὁ ἀγίνεται ἐκ σπονδείου ἀντίσπαστος· ἐνδεῖ δὲ συλλαβῆς πρὸς τὸ Φερεκράτειον εἶναι· ἔοικε δὲ εἶναι διτρόχαιον· τὸ ἔνατον ἰαμβικὸν ἑρθιημερές· τὸ δέκατον ἐπιωνικὸν ἀπ' ἐλάσσονος· τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διαλυθέντων τῶν δύο ποδῶν· τὸ δωδέκατον Ἰωνικὸν ἐξ ἐλάσσονος καὶ μείζονος δίμετρον ὑπερκατάληκτον· τὸ τρισκαιδέκατον Ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· τὸ τεσσαρεσκαιδέκατον Ἰωνικὸν· ἡ κατακλεὶς τροχαῖος· τὸ πεντεκαιδέκατον ἰαμβικὸν πενθημιμερές.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων εβ'. τὸ ά Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· τὸ β' χοριαμβικὸν· ἡ κατακλεὶς ἴαμβος, ὡς συγγενής· τὸ γ' ἰαμβικὸν· τὸ τέταρτον προσοδιακὸν ἐξ Ἰωνικοῦ καὶ χοριάμβου καὶ συλλαβῆς· τὸ ε ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τροχαίων ἀρχόμενον· ὁ ά τρίβραχυς· τὸ ἕκτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ ἕβδομον δακτυλικὸν τρίμετρον καταληκτικόν· μετρεῖται δὲ καὶ ὡς προσοδιακόν· τὸ ὄγδοον περιοδικὸν· διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ ά κώλῳ τοῦ β' εἴδους· τὸ ἔνατον περιοδικὸν· διπλοῦς τροχαῖος ἀρχομένου ἰάμβου· τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ ἑνδέκατον τροχαϊκὸν, λυομένου ποδὸς τοῦ ά. οἱ τέσσαρες δὲ τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὥσπερ καὶ οἱ τρεῖς ἡμιόλιον· τὸ δωδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου εἴδους· ἔστι δὲ τὸ ᾆσμα στροφῆς μιᾶς.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ἑκάστη ιέ. Τὸ πρῶτον προσῳδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον· ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον ὅτι πολλάκις ὁ λείπων χρόνος ἔν τινι βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν· παίων γάρ ἐστι τρίτος ὁ πρῶτος ποὺς ἀντὶ Ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος, καὶ ὁ λείπων χρόνος ἀνεκλάσθη εἰς τὴν τελευταίαν τοῦ κώλου συλλαβήν. Τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ τρίτον ἰθυφαλικόν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον· τοῦτο δὲ καὶ ἡμιόλιον λέγεται, ὡς ἔχον τὴν συζυγίαν τῶν ποδῶν καὶ τὸ ἥμισυ ταύτης· ἡ τελευταία ἀδιάφορος. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἡ πρώτη δὲ μακρὰ τοῦ Ἰωνικοῦ διαλύεται εἰς δύο βραχείας, καὶ γίνεται ὁ ποὺς πεντασύλλαβος· τοῦτο καὶ ἀναπαιστικόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, δίμετρον ἀκατάληκτον. Τὸ ε Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, ὡς ἐν τῷ πρώτῳ Ἰωνικῷ ἀρχομένου ἰάμβου καὶ γινομένου δευτέρου παίωνος, ὃ καὶ Ἡφαιστίων παρατηρεῖ· πολλάκις γάρ, φησίν, ἀπὸ βραχείας ὁ μείζων Ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς, ὁ δεύτερος ἀπὸ τροχαίου, ὃς οἰκεῖός ἐστι τοῖς Ἰωνικοῖς· τοῦτο καὶ ἰαμβικόν ἐστιν ἐρθιμημερὲς ἐκ δευτέρου ἀναπαίστου. Τὸ ἕκτον Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. Τὸ ἕβδομον λογαοιδικόν· ἐξ ἀναπαίστων δὲ ἡ δακτύλων σύγκειται τοῦτο τὸ μέτρον, ἐνταῦθα δὲ ἐκ σπονδείων, πλὴν τῆς τελευταίας· οἰκεῖοι δὲ καὶ οἱ σπονδεῖοι ἀναπαίστοις. Τὸ ὄγδοον Φερεκράτειον ἀντισπαστικόν· ἔστι δ' ὅτε ἐκ σπονδείου ἄρχεται ὁ πρῶτος ἀντίσπαστος· πολλάκις δὲ καὶ διτρόχαιος γίνεται· ἐνδεῖ δὲ συλλαβῆς πρὸς τὸ τέλειον Φερεκράτειον εἶναι· δίμετρον γάρ ἐστι βραχυκατάληκτον καὶ ἡμιόλιον. Τὸ θ' ἰαμβικὸν ἑρθημιμερές· Τὸ ι ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· τῆς γὰρ πρώτης συζυγίας οὔσης ἰαμβικῆς ἡ δευτέρα ἐστὶ τροχαϊκή· διὰ τοῦτο ἐπιωνικὸν ὀνομάζεται. Τὸ ια τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ δευτέρου ποδὸς δακτύλου, τοῦ τετάρτου δὲ χορείου· διελύθη γάρ ὁ τροχαῖος εἰς

τρίβραχυν. Τὸ ιϐ' ἰωνικὸν ἐξ ἐλάττονος καὶ μείζονος ἢ δι-
τροχαῖον δίμετρον ὑπερκατάληκτον. Τὸ ιγ' ἰωνικὸν ἀπὸ μεί-
ζονος ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον· τοῦτο καὶ
ἀναπαιστικόν ἐστι πενθημιμερές. Τὸ ιδ' ἰωνικὸν ἐκ παίωνος
δευτέρου· ἡ καταληξις τροχαῖος. Τὸ ιέ ἰαμβικὸν πενθημι-
μερές· ἔξῆς δὲ ἐπὶ τῷ τέλει τῶν στροφῶν καὶ ἀντιστροφῶν
παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἡ ἐπῳδὸς κώλων ιϐ'. Τὸ πρῶτον ἰωνικὸν ἀπὸ μείζονος
δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον χοριαμβικὸν δίμετρον
καταληκτικόν· ἡ καταληξις ἴαμβος, ὡς συγγενής. Τὸ γ' ἰαμ-
βικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' προσοδιακὸν ἐξ ἰωνικοῦ
ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς, ἤτοι δίμετρον
ὑπερκατάληκτον. Τὸ έ ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατά-
ληκτον ἀπὸ τροχαίων ἀρχόμενον· ὁ πρῶτος δὲ τροχαῖός
ἐστι τρίβραχυς. Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον·
ὁ δεύτερος τρίβραχυς. Τὸ ζ' δακτυλικὸν τρίμετρον κατα-
ληκτικόν· κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ τοιαῦτα· με-
τρεῖται δὲ ὡς προσοδιακόν, τοῦ πρώτου χοριάμβου· Τὸ ή
περιοδικόν, διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ
πρώτῳ κώλῳ εἴρηται τῆς στροφῆς τοῦ ϐ' εἴδους. Τὸ Θ' τρο-
χαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑρθημιμερὲς ἰάμβου
ἀρχομένου· δέχεται καὶ ἴαμβον τὸ τοιοῦτον μέτρον· οἱ δὲ
λέγοντες τοῦτο περιοδικὸν οὐ καλῶς λέγουσι. Τὸ ί ἰαμβικὸν
δίμετρον βράχυκατάληκτον, τοῦ τρίτου ποδὸς ἀναπαίστου.
Τὸ ιά τροχαϊκὸν δίμετρον ἀκατάληκτον λυομένου τοῦ πρώ-
του ποδὸς, τοῦ δὲ δ' ἰάμβου· ὡς δ' ἐμοὶ δοκεῖ, προσοδιακόν
ἐστι δίμετρον ἀκατάληκτον, ἐκ δὶ τροχαίου διαλελυμένου ἢ
μᾶλλον ἐπιτρίτου τετάρτου καὶ χοριάμβου· ἰστέον δὲ ὅτι οἱ
τέσσαρες τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὥσπερ καὶ
οἱ τρεῖς ἡμιόλιον. Τὸ ιϐ' ἰαμβικὸν δίμετρον βραχυκατά-
ληκτον· ἔξῆς δὲ ἐπὶ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ πα-
ράγραφος.

Idem brevius ex Vrat. D.

Τοῦ δ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιέ. Τὸ πρῶτον
ἀνακλώμενον προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δεύ-
τερον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ τρίτον ἰθυ-

φαλλικόν. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, τῆς πρώτης μακρᾶς ἀναλυομένης. Τὸ έ Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου τῆς ἀρχούσης. Τὸ στ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' λογαοιδικὸν ἐξ ἀναπαίστων καὶ ἰάμβου καὶ συλλαβῆς..... Τὸ Θ' ἰαμβικὸν ἑφθημιμερές. Τὸ ί ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ιά τροχαϊκὸν ἀκατάληκτον, διαλυθέντων τῶν ποδῶν. Τὸ ιβ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ιγ' Ἰωνικὸν δίμετρον καταληκτικόν, ἢ Ἰωνικὸν τῆς πρώτης ἀδιαφόρου οὔσης διὰ τὸ ἀντίστροφον. . . . . Τὸ ιέ ἰαμβικὸν πενθημιμερές. Ἢ δὲ ἐπῳδὸς κώλων ιθ'. Τὸ πρῶτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τρίτον ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τέταρτον προσῳδιακὸν τοῖς κεφαλαίοις συνῃρημένον. Τὸ έ δίμετρον ὑπερκατάληκτον ἐπὶ χοριάμβου ἀπὸ τροχαίου ἀναλυόμενον. Τὸ στ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ' δακτυλικὸν τρίμετρον καταληκτικὸν, ἢ προσῳδιακὸν τοῦ Ἰωνικοῦ δευτέρου ὄντος. Τὸ ή περίοδος, διπλοῦς ἴαμβος. Τὸ Θ' περίοδος, τροχαϊκὸν ἀπὸ ἰάμβου καταληκτικόν. Τὸ ί ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιά τροχαϊκὸς ἐπίτριτος, τοῦ πρώτου ποδὸς ἀναλυομένου Τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Ψαύμιδι Καμαριναίῳ.] Γέγραπται ἡ ᾠδὴ Ψαύμιδι Καμαριναίῳ νικήσαντι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα τεθρίππῳ, παιδὶ Ἄκρωνος. Καμάρινα δὲ πόλις Σικελίας, ἡ ὁμώνυμος καὶ λίμνη.

1. Ἐλατήρ.] Διῶκτα.—Ἐλατὴρ ὑπέρ· ατε βροντᾶς.] Ἐπειδὴ ὁ ἀγὼν Ὀλυμπιακὸς, τοῦτον δὲ ὁ Ψαῦμις ἐνίκησεν, εἰκότως ἐξ αὐτοῦ τοῦ Διὸς ποιεῖται τὸ προοίμιον τοῦ ἐπινικου· ἰδίως δὲ οἱ νεώτεροι τὴν βροντὴν ὄχημα καὶ ἵππον τοῦ Διὸς ὑποτίθενται, καὶ λέγουσιν, ὦ ἡνίοχε Ζεῦ ἡ δὲ ἀκολουθία· ὑπέρτατε βροντᾶς ἐλατὴρ, ὦ Ζεῦ, καθ' ὑπερβατὸν, ὅστις τὴν Αἴτναν κατέχεις τὴν οὖσαν ἵπον καὶ πίεσμα καὶ βάρος τοῦ Τυφῶνος. Αἴτνη ὄρος Σικελίας· οἰκειότατα δὲ· Σικελιώτης γὰρ ὁ Νικηφόρος, ὅτι καὶ ἡ Καμάρινα πόλις Σικελίας καὶ ἡ Κατάνη Αἴτνη ἐκλήθη. — Ἐλατὴρ ὑπέρτατε βροντᾶς.] Ἐπειδὴ ἡ τοῦ Ψαύμιδος νίκη ἐν Ὀλυμπίᾳ ἐγένετο, τὰ δὲ Ὀλύμπια τῷ Διὶ ἀνάκειται, εἰκότως νῦν τοῦτον ἐπιβοᾶται· εἰπὼν δὲ, Ἐλατὴρ ὑπέρτατε βροντᾶς, καὶ πολλὰ διὰ μέσου τιθεὶς, πάλιν ἐπαναλαμβάνει τὸν αὐτὸν λόγον καί φησιν. Ἀλλ' ὦ Κρόνου παῖ· ἐκ δὲ τοῦ εἰπεῖν, Ἐλατὴρ τῆς

βροντῆς, διοικητὴν αὐτῶν τῶν οὐρανίων πάντων φησίν. Ἄλλως· ὡς ἐπὶ ἵππου χρῆται τῷ λόγῳ· ἴσως δὲ οὐχ ἅρμα τοῦ Διὸς βούλεται τὴν βροντὴν ὑποτιθέναι, ἀλλὰ μεταφορικῶς τίθησι τὰ ὀνόματα, ἵν' ᾖ ὁ λόγος οὕτως· ὦ Ζεῦ ὑψηλότατε, ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος, ἀντὶ τοῦ ὃς κινεῖς τὴν βροντὴν τὴν ἐπιπλεῖστον διϊκνουμένην χωρὶς ἀτονίας. — Βροντᾶς.] Τὴν βροντὴν ὁ Πίνδαρος ὡς ἵππον ὑρίσταται τοῦ Διός· διὸ καὶ ἀκαμαντόποδα αὐτὴν εἶπεν· ἢ τοι δὲ Ὑπέρτατε Ζεῦ, εἶπεν ἢ Ὑπέρτατε ἐλατὴρ τῆς βροντῆς ἀκαμαντόποδος δὲ, τῆς στερεᾶς, καὶ μὴ καμούσης τοὺς πόδας· ἀκοπιάστου καὶ στερόποδος.

2. Ἀκαμαντόποδος.] Τῆς ἰσχυρόποδος· κόπου χωρίς.

3. Ζεῦ· τεαὶ γὰρ ὧραι.] Τὸ ἑξῆς Ζεῦ· τεαὶ γὰρ ὧραι ἑλισσόμεναί με ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων, ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς· ἵν', ἢ· αἱ γὰρ σαὶ ὧραι τὸν ἐνιαυτὸν ἔπεμψαν. Ὅμηρος· (Ἰλιάδος β, 551.) Περιτελλομένων ἐνιαυτῶν· μάρτυρα δὲ, ἀντὶ τοῦ ὑμνητήν· διὰ γὰρ τῶν ποιημάτων καὶ ὕμνων ἐκθηλότεροι οἱ νικῶντες καὶ ἀΐδιος ἡ μαρτυρία· τὸ δὲ ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς τῇ ὑπὸ ἀντὶ τῆς μετὰ κέχρηται, ἵν' ᾖ· μετὰ ποικιλοφορμίγγων ᾠδῶν ἔπεμψάν με αἱ τεαὶ ὧραι· ποικιλοφόρμιγγα δὲ εἶπεν, ἐπειδὴ σὺν μουσικοῖς ὀργάνοις, αὐλῷ τε καὶ κιθάρᾳ ᾖδον· τῇ δὲ ὑπὸ ἀντὶ τῆς μετὰ καὶ Ὅμηρος κέχρηται· (Ἰλιάδ. σ, 492.) Δαῖδων ὑπὸ λαμπομενάων, ἀντὶ τοῦ μετὰ δαίδων. Ἄλλως· Διὸς ὥρας τὰς Ὀλυμπιάδας λέγει· περισσὸς δὲ ὁ γὰρ σύνδεσμός ἐστιν· ποικιλοφόρμιγγος ἀοιδᾶς ὅτι αἰτία ἐστὶ τοῦ ποικίλλειν τὴν φόρμιγγα. — Τεαὶ γὰρ ὧραι.] Διὰ μέσου τοῦτα τίθησι κατασκευαστικὰ τῆς ἐπενεχθησομένης ἀξιώσεως· ἃ ἐπεὶ εἶδεν ἐπὶ πολὺ παραταθέντα ἐπαναλαμβάνει τὸν πρὸς τὸν Δία λόγον, εἶτα ἀποδίδωσιν τὴν ἀξίωσιν· αἱ σαὶ γὰρ ὧραι, ἤγουν αἱ περίοδοι τῶν Ὀλυμπιάδων αἱ σοὶ ἀνατεθειμέναι, ἑλισσόμεναι, ἤγουν ἐπαναγυκλούμεναι, ἔπεμψάν με μετ' ᾠδῆς ποικίλλων μελῶν φόρμιγγος, μάρτυρα, ἤγουν ἀγγελέα, ὑμνητὴν ὑψηλοτάτων ἀγώνων· φίλων γὰρ εὖ πρασσόντων, ἀντὶ τοῦ εὐτυχησάντων, νικησάντων, ἔσαναν, ἀντὶ τοῦ ἐτέρφθησαν, πρὸς τὴν ἀγγελίαν τὴν γλυκεῖαν οἱ ἀγαθοί.

4. Οἱ τὸ ὑπὸ ποικιλοφόρμιγγος.] Ἀντὶ τοῦ μετὰ ποικιλοφόρμιγγος λέγοντες, καὶ τὴν ὑπὸ ἀντὶ τῆς μετὰ λαμβάνοντες καὶ πρὸς τὸ ἔπεμψαν συνάπτοντες, οὓς μοι δοκοῦσι κακῶς λέγειν· πρὸς γὰρ τὸ μάρτυρα ἔστιν ἡ συνάρεια οὕτω·

μάρτυρα ἀέθλων ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς, ἦγουν ὑπ τῆς ἐμῆς ποιήσεως δήλους τοὺς ἄθλους τοῖς ἐξῆς καταστήσοντα· μαρτυροῦσι γὰρ οἱ ὕμνοι τοῖς ἐξῆς ἀνθρώποις τὰ πάλαι γινόμενα· πρὸς οὖν τοῦτο καὶ τὸ ὑπὸ ποικιλοφόρμιγγος σύναπτε.

6. Ὑψηλοτάτων.] Τῶν Ὀλυμπιακῶν λέγει· μάρτυρα ἀντὶ τοῦ ἑρμηνέα.

7. Ξείνων δ' εὖ πρασσόντων.] Ξείνων, φίλων· ἔσαναν, ἀντὶ τοῦ ἐχάρησαν, ἀπὸ τῶν σαινόντων κυνῶν τοὺς ἰδίους δεσπότας· ἤτοι δὲ τὸ ἐξῆς· προσέσαναν τὴν ἀγγελίαν· ἡ πρὸς τὴν ἀγγελίαν ἔσαναν καὶ ἐχάρησαν· ἡ δὲ διάνοια· πρὸς τὴν τῶν εὖ πρασσόντων ἀγγελίαν ἐχάρησαν οἱ ἀγαθοί· ἢ οὕτω· τὴν δὲ τῶν εὖ πρασσόντων φίλων ἀγγελίαν γλυκεῖαν οὖσαν ἑλαρῶς οἱ ἀγαθοὶ φίλοι προσδέχονται καὶ ἀφθόνως· τοῦτο δὲ ὡς πρὸς ἑαυτόν· ὁ χορὸς ᾄδεται ἐπὶ τῇ τοῦ νενικηκότος εὐπραγίᾳ ὡς ἂν γνωρίμου. Ἄλλως· ἔσαναν, ἐχάρησαν· ὁ δὲ νοῦς· τῶν γὰρ φίλων εὐδαιμονούντων εὐθέως οἱ γνήσιοι καὶ ἀγαθοὶ ἑταῖροι ἥδησαν ὑπὸ τῶν γλυκειῶν ἀγγελιῶν μαθόντες.

10. Ἀλλ' ὦ.] Τὸ σχῆμα ἐπανάληψις. — † Σύνταξις. Ἀλλ' ὦ Κρόνιε παῖ.] Ἀλλ' ὦ Ζεῦ πατὴρ τοῦ Κρόνου, ὃς οἰκεῖς τὴν Αἴτνην, τὸν πιεσμὸν τὸν ἐπιπολὺ τοῦ ἀέρος ἐκπρεμένον καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενον τοῦ Τυφῶνος τοῦ ἰσχυροῦ τοῦ ἑκατὸν κεφαλὰς ἔχοντος, δέχου τοῦτον τὸν μετὰ χορείας ἔπαινον τὸν ἐπὶ τῷ Ὀλυμπιονίκῃ τελούμενον ἕνεκα τῶν χαρίτων, τοῦ νενικηκότος ὄηλονότι, ὡς ὄντα χρονιώτατον, τουτέστιν ἐπὶ πλεῖστον χρόνου διαμένον, ἀρετῶν μεγάλων τὴν δύναμιν· ἕνεκα γὰρ τῶν ἁρμάτων τοῦ Ψαύμιδος ἥκει, ἐφ' ὧν ὀηλονότι πολλὴ ἐδείχθη ἰσχύς· ὅστις, ἦγουν ὁ Ψαῦμις, στεφάνῳ ἀπὸ ἐλαίας Πισάτιδος, ἦγουν Ὀλυμπιακῆς, στεφανωθείς, τουτέστι νικήσας τὸν ἀγῶνα τῶν Ὀλυμπίων, δόξαν σπεύδει ὄρσαι, ἀντὶ τοῦ ἐπιθεῖναι, τῇ Καμαρίνᾳ τῇ ἑαυτοῦ πατρίδι. Ἱστορία περὶ τοῦ Τυφῶνος· ὁ Τυφὼς ἐν Σικελίᾳ ἐκεραυνώθη ὑπὸ τοῦ Διός, ὑποκείμενος τῷ ὄρει τῇ Αἴτνῃ, ἔνθεν πῦρ ἔξω ῥιπτ· φασὶ δὲ ὡς ἐκεῖ καθήμενος Ἡφαιστος μυδροκτυπεῖ· λέγει οὖν τὴν Αἴτνην τοῦ Τυφῶνος ἵππον, τουτέστι τιμωρίαν καὶ κόλασιν· ἵππω γὰρ καὶ ἵππῳ τὸ βλάπτω, ἐξ οὗ καὶ ἵψ, εἶδος σκώληκος.

11. Ἵππον ἀνεμόεσσαν.] Ὁ μὲν Πίνδαρος τῷ Τυφῶνί φησιν ἐπικεῖσθαι τὴν Αἴτνην, ὁ δὲ Καλλίμαχος τῷ Ἐγκελάδῳ· ἔνιοι

δὲ ἐν Πιθηκούσαις φασὶ τὸν Τυρῶνα, ἄλλοι ἐν Φρυγίᾳ, οἱ δὲ ἐν Σικελίᾳ, οἱ δὲ ἐν Δἰγύπτῳ ὡς καὶ Ἡρόδοτος, (Β, 156. Γ, 5.) οἱ δὲ ἐν τῷ ὄρει τῷ κατὰ Βοιωτίαν. Ἀλλ' ὦ Ζεῦ, ὃς τὴν Δίτναν ἔχεις, τὴν παγίδα τὴν ἀνεμόεσσαν.

14. Δέξαι χαρίτων θ' ἕκατι.] Ἀντὶ τοῦ κεχαριτωμένον· ὁ δὲ τε σύνδεσμος περιττός· ἔστι γὰρ τὸ ἑξῆς· ἀλλὰ Κρόνου παῖ, δέξαι Χαρίτων ἕκατι τὸν δὲ κῶμον ἐπὶ τῇ Ὀλυμπιακῇ νίκῃ γεγραμμένον, ὅστις ἐπὶ τῆς τῶν νικησάντων ἀρετῆς χρονιώτατον φάος· σθέννυται γὰρ τὰ καλὰ ἔργα μὴ ἔχοντα ποιητικὴν φωνὴν μάρτυρα· τὸ δ' ἑξῆς· Χαρίτων τ' εὐρυσθενέων ἕκατι. Ἄλλως· τοῦτον τὸν κῶμον δέξαι καὶ ὕμνον ὄντα Ὀλυμπιονίκην· ἐπειδὴ εἰς τὸν νικήσαντα λέγει· δέξαι δὲ ἡδέως καὶ κεχαρισμένως, ὡς ἐσόμενον φῶς πολυχρόνιον· φάος, τὸν ὕμνον, ὃς φωστὴρ ἀρετῆς ἐστι, δέξαι, τὸν ἐπὶ χρόνου μένοντα· ἀθάνατος γὰρ ἐστιν ὁ ὕμνος καὶ ἡ ἀρετή.

15. Τὸ κῶμον πρὸς τὸ Ὀλυμπιονίκαν συναπτέον οὕτως· δέχου εὐμενῶς τὸν Ὀλυμπιονίκαν κῶμον, χρονιώτατον καὶ διηνεκὲς φάος καὶ ἀπόδειξιν τῶν εὐρυσθενέων καὶ ἐκ μεγάλης ἰσχύος γινομένων ἀρετῶν τοῦ νικητοῦ, ἕκατι καὶ χάριν τῶν χαρίτων τῶν ἐκ ποιητικῆς, τουτέστι τὴν εὐφημίαν τοῦ Ψαύμιδος, ἥτις ἐκ τοῦ ποιητικῶς λέγεσθαι καὶ συντίθεσθαι ἀπόδειξις εἰς τὸν λοιπὸν χρόνον ἔσται τῆς τῶν πεποιημότων ἀρετῆς.

16. Χρονιώτατον.] Πολυχρόνιον.

17. Εὐρυσθενέων.] Τῶν εὐρυσθενῶν, οἱονεὶ τῶν νικησάντων μετὰ ἀνδρείας καὶ ἐν ἀρετῇ γενομένων· ἐκ γὰρ τῶν ὀχημάτων τοῦ Ψαύμιδος ἦλθεν ὁ ὕμνος, ὅστις Ψαῦμις τῷ κοτίνῳ τῷ ἐν τῇ Πίσῃ στεφανωθεὶς δόξαν τῇ ἑαυτοῦ πατρίδι σπεύδει ἐπιθεῖναι.

18. Ψαύμιδος γὰρ ἵκει.] Ἵκει γὰρ ἐπὶ τῶν ὀχέων τοῦ Ψαύμιδος, τίς; ὁ ὕμνος ἐλαίᾳ στεφανωθείς, παραγίνεται τῇ ἑαυτοῦ πατρίδι Καμαρίνῃ στέφανον καὶ δόξαν φέρων. — Ἵκει.] Ἔρχεται· ἔπαινος ὁδηλονότι.

20. Ὄρσαι.] Διεγεῖραι.

21. Εὔφρων.] Εὐφραντικός. — Θεὸς εὔφρων εἴη.] Εὐμενής· μετὰ ταύτης οὖν τῆς δόξης εἴη αὐτῷ ταῖς λοιπαῖς εὐχαῖς εὐμενὴς ὁ Θεός, ἐπειδὴ ἄξιος ἐπαίνου μοι δοκεῖ εἶναι διὰ τὸ εἶναι αὐτὸν λίαν πρόθυμον ἐπὶ τὸ ἱπποτροφεῖν, καὶ ὅτι φιλόξενός ἐστι πάντας δεξιούμενος· εἰς τὸν μετὰ ταῦτα

οὖν χρόνον Ζεὺς εὕρων αὐτῷ γένοιτο. Ἄλλως· εὐχαῖς τοῦ νικηφόρου ὁ Ζεύς, φησίν, εἴη εὕρων ἔτι ταῖς λοιπαῖς, ἐπειδὴ τὰ περὶ τῆς νίκης ἐτέλεσεν. — † Σύνταξις. Θεὸς εὕρων εἴη.] Ὁ Ζεὺς εἴθε εὐμενὴς εἴη ταῖς εὐχαῖς αὐτοῦ ταῖς ἐπὶ τοῖς ἔμπροσθεν· ἐπεὶ ἐπαινῶ αὐτὸν, ἀντὶ τοῦ οἶδα, μάλα μὲν ἕτοιμον, τουτέστι πρόθυμον πρὸς τροφὰς ἵππων, χαίροντά τε, ἤγουν προσκείμενον ξενοδοχίαις πανδόκοις, ἤγουν πάντας ὑποδεχομέναις, οὐδένα ἀποστρεφομέναις, καὶ πρὸς ἡσυχίαν προτρεπῇ τῶν πόλεων ἀποβλέποντα σὺν ἀβόλῳ γνώμῃ· οὐ διὰ ψεύδους μολυνῶ τὸν λόγον, τουτέστιν οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν· ἡ πεῖρά ἐστιν ἡ φανεροῦσα τοὺς ἀνθρώπους, ὑφ' ἧς καὶ οὗτος δηλονότι δειχθήσεται, ἥτις ἔλυσεν ἐκ τοῦ γέλωτος τῶν γυναικῶν τὸν ἐν τῇ Λήμνῳ τὸν παῖδα τοῦ Κλυμένου τὸν Ἐργῖνον· ἐν ὅπλοις γὰρ χαλκοῖς, ἤγουν σιδηροῖς, νικῶν ὄρθιον εἶπε τῇ Ὑψιπύλῃ ἐπὶ τὸν ἑτέρανον ἐρχόμενος· Οὗτος ἐγώ· ἐκεῖνος δηλονότι, ὃν ἀπηξιοῦτε.

24. Τροφαῖς.] Ἐξ ἑτοίμου ἱπποτροφεῖ· χαίρει δὲ καὶ ξενίζων. — Ἵππων.] Ἐν τῇ ἀθλήσει τῇ ἱππικῇ.

25. Χαίροντά τε.] Καὶ φιλόξενον ὄντα καὶ ἱππικὸν καὶ εἰρηνικὸν καὶ δίκαιον· ἱππικὸν μὲν, ὡς χαίροντα τροφαῖς ἵππων· φιλόξενον δὲ, ὡς πάντα ξένον ὑποδεχόμενον καὶ ἐπὶ τούτῳ χαίροντα· εἰρηνικὸν δὲ, ὡς ἡσυχίαν ἀγαπῶντος τοῦ φιλοπόλιδος· δίκαιον δὲ, ὡς τὴν γνώμην τρέποντα ἐπὶ τὸ καθαρώτατον καὶ ἀμόλυντον.

26. Φιλόπολιν.] Εἰσὶ γάρ τινες οἱ ἐν ταῖς στάσεσι διάγοντες· φιλοπόλιδες ὄντες· τὸν οὖν Ψαῦμιν φιλόπολίν φησιν εἶναι πρὸς τῷ καὶ ἥσυχον ὑπάρχειν. — Φιλόπολιν.] Τὸ ἡσυχίαν καὶ τὸ φιλόπολιν λέγει ἀντὶ τοῦ φιλοῦντα τὴν ἑαυτοῦ πόλιν καὶ οὐ στάσει χαίροντα· τινὲς γὰρ ἐν τῷ δοκεῖν φιλοπόλιδες εἶναι τοὺς συμπολιτευομένους αὐτοῖς ἐξελαύνουσιν, ἵνα μόνοι τὴν πόλιν οἰκοῖεν· οὗτος δὲ πρὸς τὸ φιλόπολις εἶναι καὶ ἡσυχία σύνεστι· μὴ λάβῃς δὲ πρὸς τὸ φιλόπολιν ἔξωθεν τὸ ὄντα, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε· Καὶ τετραμμένον καθαρᾷ καὶ ἀνυποκρίτῳ γνώμᾳ πρὸς ἡσυχίαν φιλόπολιν· τὸ δὲ καθαρᾷ εἶπεν, ἐπειδή τινες ἐν ὑποκρίσει καὶ οὐκ ἐν ἀληθείᾳ ἡσυχάζουσιν. Εἰκότως εἶπε τὸ τέγξω, ἤγουν· οὐ φαύλων ὄντων περὶ αὐτοῦ πραγμάτων εἴτ' αὐτὸς λέγειν ἐπιχειρήσας περὶ αὐτῶν οὔτ' ἀληθῆ εἶπω ἀλλὰ ψεύδει χρήσομαι, καὶ διὰ τοῦτο τὸ σκληρὸν τῆς φαυλότητος

μαλθάξω καὶ μετενέγκω πρὸς τοὐναντίον. Ἱστορία περὶ τοῦ Ἐργίνου. Κλυμένου παῖς Ἐργῖνος εἷς ἦν τῶν Ἀργοναυτῶν· ὅτε οὖν εἰς Κόλχους διὰ τὸ χουσόμαλλον δέρας ἡ Ἀργὼ ἐπέπλει, ἐξῆλθεν ἐν παρόδῳ οὗτος ὁ Ἐργῖνος μετὰ τῶν ἄλλων Ἀργοναυτῶν ἐν τῇ Λήμνῳ. Ὑψιπυλείας δὲ τῆς Θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προθείσης Θόαντος Ἐργῖνος νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δὲ, παρῆλθεν ἀγωνισόμενος, καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς· καλῶς οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν εἰς ὑπερβολὴν ἐθαυμάσθη.

28. Οὐ ψεύδεῖ τέγξω.] Οὐκ εἰς ὑπερβολὴν τραπήσομαι ψευσάμενος, ἤτοι οὐ κρύψω τὸν λόγον τῷ ψεύδει· κρύπτεται γὰρ τἀληθῆ ὑπὸ τῶν ψευδῶν· ἢ οὕτως· οὐ ποιήσω τὸν λόγον ἀσθενέστερον· ἀπὸ μεταφορᾶς τῶν βρεχομένων· ταῦτα γὰρ ἀσθενέστερα γίνεται· οὐ μιανῶ οὖν, φησὶν, οὐδὲ βρέξω τὸν λόγον μου ψεύδει, ἀντὶ τοῦ οὐ ψεύσομαι περὶ τῶν ἐγκωμίων τῶν τοῦ Ψαύμιδος λέγων· οὐ καταβρέξω οὐδὲ ἀποφήσω, καθάπερ ὕδατι, ψεύδει τὸν λόγον· οἷον, οὐ ψεύσομαι.

29. Λόγον.] Ἔπαινον. — Διάπειρά τοι βροτῶν ἔλεγχος] Πάρεστι διαπειρᾶσαι τὸν Ψαῦμιν καὶ γνῶναι. Ἄλλως· ἡ πεῖρα τῶν ἀνθρώπων ἔλεγχος ἀκριβὴς· καὶ ὁ τούτου πειραθεὶς εἴσεται, ὅτι οὕτως ἔχει· παράδειγμα δὲ τοῦ δεῖν τῇ πείρᾳ τἀληθὲς ἐξετάζειν, τὸν Ἐργῖνον παρέλαβε λέγων· Ἅπερ Κλυμένοιο παῖδα. Ἐργῖνος γὰρ ὁ Κλυμένου ἀγωνιζόμενος ἐν τῷ ἐπιταφίῳ ἀγῶνι Θόαντος μετὰ τῶν Ἀργοναυτῶν, καὶ γέλωτα δὲ κινῶν ἐπὶ τῷ παρ' ἡλικίαν ἆθλεῖν αὐτὸν, αὐτῇ τῇ πείρᾳ τοῦ ἀγῶνος ἔδειξε νικήσας, ὡς εἶχεν ἰσχύος· ἐνίκησε δὲ τοὺς Βορεάδας· ἐλθόντων γὰρ εἰς τὴν Λῆμνον τῶν Ἀργοναυτῶν, δοκεῖ Ὑψιπύλη ἡ Θόαντος θυγάτηρ θεῖναι τὸν γυμνικὸν ἀγῶνα, καὶ ὁ Ἐργῖνος ἠγωνίσατο· ὡς δὲ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων, ὅτι πολιὸς ὢν νέοις ἐσπούδασε διαγωνίσασθαι, ἐνίκησε φύσει πολιὸς ὑπάρχων· ὅθεν σῆλον ὡς καὶ αὐτὸς ὁ Ψαῦμις ἤδη πολιὸς ὢν ἐνίκησεν· ἅπερ, ἀντὶ τοῦ εἴπερ ἡ πεῖρα ἤλεγξε καὶ τὸν Ἐργῖνον, ὃν ἔλαθεν εἰκόνα· δοκεῖ γὰρ παρ' ἱστορίαν λέγειν· οὐ γὰρ ἐν Λήμνῳ τελευτᾷ Θόας ὁ πατὴρ Ὑψιπύλης, ἀλλ' αὐτὴ μὴ ἀνελοῦσα αὐτὸν ἐν λάρνακι ξυλίνῳ βαλοῦσα κατέβαλεν ἐν θαλάσσῃ, ὡς Ἀπολλώνιος·

Οἵη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς

Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ Λῆμνον ἀνάσσει.
Λάρνακι δ' ἐν κοίλῃ μιν ὑπερθ' ἁλὸς ἦκε φέρεσθαι,
Αἴ κε φύγῃ· καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
Πρόσθεν, ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν.

πῶς οὖν λέγει αὐτὸν ἐν Λήμνῳ τεθάφθαι καὶ ἐπ' αὐτῷ ἀγῶνα ποιῆσαι Ὑψιπύλην; ἀλλ' ἔξεστι πλάττειν τοῖς ποιηταῖς ἃ βούλονται.

30. Ἔλεγχος.] Εἰ οὐτός ἐστιν ἀληθὴς ἡ οὐχί.

32. Λαμνιάδων γυναικῶν.] Καὶ ὁ Καλλίμαχος·

Ἔργινος Κλυμένου ἔξοχος ἐν σταδίῳ.

ἤτις διάπειρα τὸν Κλυμένου παῖδα ἀπέλυσε τῆς ἀτιμίας τῶν ἐν Λήμνῳ γυναικῶν· ἡ δὲ ἱστορία τοιαύτη· Ὑψιπύλης ἀγῶνα ἐπιτελούσης ἐπιτάφιον Θόαντι τῷ πατρὶ Λημνίων βασιλεῖ, συμβέβηκε, ἀπιόντας ἐπὶ τὸ χρυσοῦν δέρας τοὺς Ἀργοναύτας ἐκεῖσε γενέσθαι, καὶ προτραπέντας εἰς τὸν ἀγῶνα ἀγωνίσασθαι· εἷς δὲ οὗ αὐτῶν ὁ Ἔργινος, νεώτερος μὲν τῷ χρόνῳ, προπόλιος δὲ τὴν κόμην, ὡς μὴ ἱκανὸς ἀγωνίσασθαι διὰ τὴν ὄψιν τῶν πολιῶν ἐγελᾶτο ὑπὸ τῶν γυναικῶν καὶ ἐπεκερτομεῖτο· ὡς δὲ διὰ τῶν ἔργων ἐδείχθη ὑπερβαλλόμενος τοὺς ἀγωνιστάς· ἦσαν δὲ οἱ τοῦ Βορέου παῖδες Ζήτης καὶ Κάλαΐς ἐπαύσατο ἡ κατ' αὐτοῦ γενομένη χλεύη, καὶ τοὐναντίον ἐθαυμάσθη· διὰ τοῦτο οὖν λέγει τὴν πεῖραν πεπανκέναι τῆς ὕβρεως τῆς κατ' αὐτοῦ τὰς Λημνιάδας γυναῖκας.

34. Χαλκέοις δ' ἐν ἔντεσι νικῶν.] Τὸ δὲ ἀντὶ τοῦ γάρ· τὸν γὰρ ἔνοπλον δρόμον νικήσας ὁ Ἔργινος εἶτα προσιὼν τῇ Ὑψιπυλείᾳ ἐπὶ τῷ στεφανωθῆναι εἶπε δεικτικῶς· Οὗτος ἐγὼ· ὁπλίται γὰρ ἔτρεχον.

38. Χεῖρες δὲ καὶ ἦτορ.] Αἱ δὲ χεῖρές μου καὶ ἡ ψυχὴ κατάλληλοι· ἀλλ' ὅμοιος ἔσομαι, ὁμοια ἐνθυμούμενος καὶ πράττων. — Χεῖρες δὲ καὶ ἦτορ ἴσον.] Αἱ χεῖρες δὲ καὶ τὸ ἦτορ, ἀντὶ τοῦ αἱ πράξεις καὶ ἡ προθυμία, ἐν ἴσῃ ἀκμῇ κατὰ ταχυτῆτα· φύονται δὲ καὶ ἐν ἀνδράσι νέοις λευκαὶ τρίχες θαμὰ, ἀντὶ τοῦ πολλάκις, καὶ ἔξω τοῦ χρόνου τῆς ἡλικίας τοῦ πρέποντος ταῖς πολιαῖς δηλονότι. Ὑψιπύλεια, ἡ Ὑψιπύλη· ὡς Ηηελάδπεια παρ' Ὁμήρῳ ἡ Πηνελόπη. — Χεῖρες δὲ καὶ ἦτορ ἴσον.] Τὸ τοιοῦτο καὶ παρὰ τοῖς κοινοῖς δύναται εἶναι ἐν χρήσει· οἷον, σὺ καὶ ὁ πατὴρ ὅμοιος· ἔχει δὲ ὁμοίως τῷ, Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος· (Θεόκρ. VI, 1.) πλὴν ὅτι ἐκεῖ μὲν τὸ βουκόλος ἀπὸ κοινοῦ λεγόμενον ἀρκοῦν ἦν ἐντελῆ ποιῆσαι τὸν λόγον, ἐνταῦθα δὲ λέγεται μὲν ἀναγκαίως τὸ ἴσον ἀπὸ κοινοῦ, κατὰ ἀναλογίαν τοῦ προ-

ῥαθέντος, μένει δὲ ἔτι ἀτελὴς ὁ λόγος· τὸ γὰρ ἴσον ἀεὶ πρὸς ἕτερον λεγόμενον ἀπαιτεῖ τὴν ἑαυτοῦ σχέσιν, καὶ ἐλλειπὼς ἔχει, ἕως ἂν ᾖ μόνον· ἀποδεδομένης δὲ αὐτῆς ἐντελὴς ὁ λόγος γράφεται ἔχων οὕτως· αἱ χεῖρες δὲ ἴσαι τῇ προθυμίᾳ ἴσῃ ταῖς χερσίν· ἐξ ἀνάγκης γὰρ ἡ ἰσότης ἑκατέρων περὶ ἑλάτερα αὐτὰ ταῦτα χωρεῖ, μὴ κειμένου ἑτέρου, ἐφ' ὃ ἂν αὐτῆς ἡ ἀπόδοσις γένοιτο.

39. Φύονται καὶ νέοις.] Ὡς καὶ τοῦ Ψαύμιδος προπολιοῦντος καὶ νικήσαντος. Ἄλλοις· πολλάκις τις νέος ὢν πολιοῦται καὶ παρὰ τὸν τῆς ἡλικίας ἑαυτὸν χρόνον· δηλονότι καὶ αὐτὸς ὁ Ψαῦμις πολιὸς ἦν καὶ οἷον προπόλιος.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Ε'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Ὀλυμπίων εἴδους, ὅπερ ἐπῳδὸν οὐκ ἔχει.

Τὸ ε εἶδος τῶν στροφῶν ἔχει περιόδους ἁπλᾶς πάσας ἑνὶ ταῖς συμῳδούσας· οὐ γάρ ἐστιν ἐπῳδὸς ἡ τρίτη· ἐκ κώλων δὲ ἐστι ιθ'. Τὸ ά δακτυλικὸν τρίμετρον ἀκατάληκτον, εἰ σπονδεῖον ἐλάμβανεν ἐν τῷ ὕστερον· εἰ δὲ τροχαῖον, καταληκτικόν· - - - υ υ - -. Τὸ β' Ἰωνικὸν ἀπ' ἐλάσσονος, τῆς ά συζυγίας τρίτον παίωνα ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ Ἰωνικοῦ· υ υ - υ - - υ υ. Τὸ γ' ἰθυφαλλικὸν, παρὰ μέαν συλλαβήν· - υ - υ -. Τὸ δ' δακτυλικὸν πενθημιμερές· - υ υ - υ υ -. Τὸ ε ἰθυφαλλικόν· - υ - υ - -. Τὸ ς' ἀναπαιστικὸν, σύγκειται δὲ ἐκ δύο ἀναπαίστων καὶ βακχείου, ὅπερ πάσχει τὰ ἀναπαιστικὰ, καὶ ἑξῆς ἀναπαίστου καταληκτικοῦ· υ υ - υ υ - υ - - υ -. Τὸ ζ' ἰθυφαλλικόν· - υ - υ - υ. Τὸ ή Φερεκράτειον καταληκτικόν· ὁ ὕστερον βακχεῖος· - - - υ υ - -. Τὸ θ' προσῳδιακὸν ἐκ τοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου· υ υ - υ - - υ -. Τὸ ί δακτυλικὸν δίμετρον ἀκατάληκτον· - - - υ υ.

НБУВ ім. І.І. Мечникова

Τὸ ιά δακτυλικὸν πενθημιμερές· -υυ-υυ-. Τὸ ιβ' ἰθυφαλλικόν· -υ-υ-υ. Τὸ ιγ' ὅμοιον τῷ ἕκτῳ, ἀναπαιστικόν· υυ-υυ-υ--υ-. Τὸ ιδ' ἰθυφαλλικόν· -υ-υ--. Τὸ ιέ ὅμοιρον ἔπους· ---υυ-υυ-υυ. Τὸ ις' ἰθυφαλλικόν· -υ-υ-υ. Τὸ ιζ' ὅμοιρον ἔπους· ----υυ-υυ. Τὸ ιή ἐγκωμιολογικὸν, παρὰ τὰς τελευταίας συλλαβάς· τὸ γὰρ πλῆρες δακτυλικὸν πενθημιμερὲς καὶ ἕτερον πενθημιμερὲς ἰαμβικόν, οὗ τὸ ἐναντίον ἰαμβέλεγος λέγεται· -υυ--υ--υ-. Τὸ ιθ' ἰθυφαλλικὸν, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον· -υ-υ-υ.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ πέμπτου εἴδους· ἔστι δὲ τὸ ᾆσμα στροφῶν τριῶν.

Τὸ πέμπτον εἶδος οὐκ ἐπῳδικὸν εἶναί φασιν, ἀλλ' ἁπλᾶ περίοδοι τρεῖς ἑαυταῖς συφωνοῦσαι, καὶ ιθ' κώλων ἑκάστην περίοδον λέγουσιν· οὐκ ἔστι δὲ τοιοῦτον, ἀλλ' ἐπῳδικόν ἐστι καὶ τοῦτο, ὡς τῷ σοφωτάτῳ Μοσχοπούλῳ ἐπενοήθη, τὸ ᾆσμα, καὶ τριῶν στροφῶν, ὡς ὁρᾷς· εἰσὶ γοῦν αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ἑπτά. Τὸ πρῶτον δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον. Τὸ δεύτερον Ἰωνικὸν ἀπὸ τρόπου ἐλάσσονος, τῆς πρώτης συζυγίας παίωνα τρίτον ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ Ἰωνικοῦ, τῆς δὲ δευτέρας Ἰωνικὸν ἀπὸ μείζονος. Τὸ τρίτον ἰθυφαλλικὸν παρὰ μίαν συλλαβήν· ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι πενθημιμερὲς ἐξ ἐπιτρίτου τετάρτου καὶ συλλαβῆς. Τὸ τέταρτον δακτυλικὸν πενθημιμερές. Τὸ πέμπτον ἰθυφαλλικόν· τρεῖς γάρ εἰσι τροχαῖοι, καὶ ἔστι δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται. Τὸ ἕκτον ἀναπαιστικὸν λογαοιδικὸν καλούμενον καὶ Ἀρχεβούλειον· σύγκειται δὲ ἐκ δύο ἀναπαίστων καὶ ἑνὸς βακχείων, τοῦ δευτέρου καταληκτικοῦ· πάσχει δὲ τοῦτο τὰ τοιαῦτα ἀναπαιστικά· πλὴν οὐ καλῶς ἔχει κείμενον τὸν βακχεῖον· τὸν τελευταῖον γὰρ πόδα τοῦ κώλου χρὴ βακχεῖον, ὡς φασιν, εἶναι. Τὸ ζ' ἰθυφαλλικόν· τρεῖς γάρ εἰσι τροχαῖοι· εἰ δέ που καὶ σπονδεῖος ἐν τῷ τέλει εὑρηται, οὐκ ἔξω λόγου· ὅ τε γὰρ ποὺς οἰκεῖος τῷ μέτρῳ, καὶ τὴν τελευταίαν φασὶν ἀδιάφορον εἶναι τῶν κώλων· ἑξῆς ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων πέντε Τὸ πρῶτον ὁἰμοιρον ἔπους, ἤτοι δακτυλικὸν τετράμετρον ἀκατάληκτον· τέσσαρες γάρ εἰσι δάκτυλοι· τὰ τέσσαρα δὲ ὅλον ὡς τῶν ἓξ ὁἰμοιρον. Τὸ δεύτερον ἰθυφαλλικὸν, ἤτοι τρεῖς τροχαῖοι. Τὸ τρίτον ὁμοιον τῷ πρώτῳ, ἤτοι ὁἰμοιρον ἔπους. Τὸ τέταρτον χοριαμβικὸν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον βραχυκατάληκτον, οὐκ ἐγκωμιολογικὸν, ὥς φασιν· οὐ γάρ ἐστι διπενθημιμερές· ἐλλιπὲς γάρ ἐστι μιᾷ συλλαβῇ τὸ ἰαμβικόν· ἐπεὶ δὲ πολλὰ τῶν τοιούτων ἐλλιπῆ εὑρίσκεται, πρὸς τοὺς παρὰ τοῦ τεχνικοῦ παραδεδομένους κανόνας ἔστω καὶ τοῦτο ἐγκωμιολογικόν. Τὸ πέμπτον ἰθυφαλλικὸν, τρεῖς ὁλονότι τροχαῖοι.

Τῷ αὐτῷ Ψαύμιδι.] Γέγραπται ἡ ᾠδὴ τῷ αὐτῷ Ψαύμιδι στηθρίππῳ καὶ ἀπήνῃ καὶ κέλητι νενωκηκότι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα· αὕτη ἡ ᾠδὴ ἐν μὲν τοῖς ἐδαφίοις οὐκ ἦν, ἐν δὲ τοῖς Διδύμου ὑπομνήμασιν ἐλέγετο Πινδάρου· περὶ δὲ τῆς ἀπήνης Πολέμων φασίν· ἦγετο δὲ ἐν Ὀλυμπίᾳ ἀπήνης ἀγών, καί εἰσιν οἱ ἀγωνισάμενοι ἡμίονοι· καταλυθῆναι δὲ τοῦτο τὸ ἀγώνισμα κατὰ τὴν οὸ' Ὀλυμπιάδα, καὶ εἶναι ιγ νίκας· τὴν δὲ ἀπήνην λέγεσθαι ὑπὸ Τεγεατῶν φησιν ὁ Πολέμων, οἱ δὲ Θετταλῶν εἶναι τὴν λέξιν· ἐτυμολογεῖται δὲ ἀπήνη αἰπίνη τις οὖσα διὰ τὴν ὑπερτερίαν.

Γέγραπται ὁ ἐπινίκιος τῷ αὐτῷ Ψαύμιδι νικήσαντι κέλητι, ἀπήνῃ καὶ τετρώρῳ τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα· ἐπεὶ δὲ οὗτος ὁ Ψαύμις ἐκ Σικελίας, ἐνταῦθα δὲ πόλις Καμάρινα καὶ λίμνη, διὰ τοῦτο πρὸς τὴν ἔφορον τῆς λίμνης νύμφην Καμάριναν ποιεῖται τὸν λόγον, ἥντινα νύμφην παῖδα Ὠκεανοῦ καλεῖ διὰ τὸ πάντας ποταμοὺς καὶ πάσας πηγὰς ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι· τὸ δὲ ἄωτον καὶ εἰς τὸ ἀρετᾶν καὶ εἰς τὸ στεφάνων καὶ εἰς τὸ ἀπήνης λέγε· ἔστι δὲ τὸ ἄωτον καὶ τὸ ὥωρα ταὐτόν· ἄωτον δὲ, ἤτοι καρπόν· καρπὸς γάρ τῶν ἀρετῶν καὶ τῶν στεφάνων ὁ ὕμνος, ὃς τοῖς δεχομένοις αὐτὸν γλυκύς ἐστιν.

1. Ὑψηλᾶν ἀρετᾶν.] Ὁ νοῦς· λέγει πρὸς τὴν Καμάριναν τὴν Ὠκεανοῦ, ἣ ὁμώνυμος ἡ πόλις καὶ ἡ λίμνη, ὅτι δέξαι τῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τῆς

ἀπήνης τὸ ἄωτον, ἀντὶ τοῦ τὸν ὕμνον, ἃ ἐστι θῶρα τοῦ Ψαύμιδος νενικηκότος· τὸν ὕμνον δὲ ἄωτον στεφάνων καὶ ἀρετῶν εἶπεν, ἐπεὶ οἱ νικῶντες ἐκ τοῦ ὑμνεῖσθαι εὐκλεεῖς γίνονται. Ἀρίσταρχος δὲ ἀκούει Ὠκεανοῦ θυγατέρα Καμάριναν τὴν λίμνην, ἀφ' ἧς καὶ τὴν πόλιν ὠνομάσθαι. Ἀρτέμων δὲ πρὸς τὴν Ἀρέθουσαν τὸν λόγον εἶναί φησιν· αὕτη δὲ ἐν Συρακούσαις κρήνη, ὑποτέτακται δὲ ἡ Καμάρινα ταῖς Συρακούσαις· ἔχει δὲ ἡ Ἀρέθουσα καὶ πᾶσα κρήνη τὰς πηγὰς ἀπὸ Ὠκεανοῦ· βέλτιον δὲ ὡς Ἀρίσταρχος. Ἄλλως· Καμάρινα καὶ ἡ πόλις τοῦ Ψαύμιδος καλεῖται καὶ λίμνη πλησίον αὐτῆς κειμένη· οἱ μὲν οὖν φασιν, ὅτι τῇ πόλει τὸ ὄνομα ἐτέθη ἀπό τινος οὔσης νύμφης, οἱ δὲ ἔκ τινος Ὠκεανοῦ θυγατρὸς Ἀμφοτέρης, ὡς Ἡσίοδος· (Θεογ. 364.)

Τρὶς γὰρ μυρίαι εἰσὶ τανύστρυροι Ὠκεανίδες.

πρὸς θυγατέρα οὖν τοῦ Ὠκεανοῦ τὴν Καμάριναν λέγει· ὦ τοῦ Ὠκεανοῦ θύγατερ, Καμάρινα, δέχου τὸν γλυκὺν ἄωτον, λέγει δὲ τὸν ὕμνον τὸν ἐν Ὀλυμπίᾳ τῶν ὑψηλοτάτων ἀρετῶν καὶ τῶν στεφάνων τῆς τε ἀπήνης καὶ τοῦ Ψαύμιδος· καρδίᾳ γελανεῖ, τουτέστι γαληνιάζουσα, καὶ τῆς ἀκαμαντόποδος ἀπήνης καὶ τὰ θῶρα τοῦ Ψαύμιδος· σοὶ γὰρ αὐτὰ παρακομίζει· δέχου δὲ τὸ τοιοῦτο θῶρον φαιδρῷ προσώπῳ.

2. Στεφάνων ἄωτον.] Ἔπαινον.

4. † Σύνταξις. Ὠκεανοῦ θύγατερ.] Ὠκεανοῦ θυγατέρα τὴν Καμάριναν λέγει τὴν λίμνην, ἀφ' ἧς ἡ πόλις ἡ Καμάρινα ὠνομάσθη, ἡ πατρὶς τοῦ Ψαύμιδος· ὦ θύγατερ τοῦ Ὠκεανοῦ Καμάρινα, δέχου σὺν καρδίᾳ γελανεῖ, ἤγουν εἰρηναίᾳ, φαιδρᾷ, τῶν ὑψηλῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τοῦ ἐξ ἡμιόνων ἅρματος τοῦ μὴ κάμνοντος τοὺς πόδας ἐν τοῖς δρόμοις τὸν ἄωτον, ἤγουν τὸν ἐξαίρετον κόσμον, τουτέστι τὸν ὕμνον τὸν γλυκὺν καὶ τὰ θῶρα τοῦ Ψαύμιδος, τουτέστι καὶ τὸ θῶρον, ὃ σοι δωρεῖται ὁ Ψαῦμις· ἄωτον δὲ λέγει τὸν ὕμνον, ὃν θῶρόν φησι τοῦ Ψαύμιδος πρὸς αὐτήν, ἐπεὶ τῆς πατρίδος αὐτοῦ ἐστιν αὐτή, καὶ συναπολαύει τοῦ εἰς αὐτὸν ἐπαίνου.

6. Ἀκαμαντόποδος.] Ἰσχυρόποδος· ταχυδίφρου. — Ἀπήνης.] Ἅμαξης· ἀπήνη δέ ἐστιν ἅρμα ἐξ ἡμιόνων ζευχθέν· εἰθισμένον δὲ ἵπποις ἀγωνίζεσθαι, Ἀσάνδραστος ἐπετήδευσε καὶ ἡμιόνοις ἀγωνίζεσθαι· χρόνος δέ τις οὐ μακρὸς, ἀλλὰ δεκαετὴς τοῦτο διέλυσε· διελύθη γὰρ περὶ τὴν πέ Ὀλυμπιάδ-

δα· ἀκαμαντόποδος δὲ, τῆς κατὰ τὸν δρόμον ἀκοπιάστου ἀπήνης.

7. Ψαύμιδός τε δῶρα.] Ὅστις Ψαῦμις, ὦ νύμφη Καμάρινα, τὴν σοὶ ὁμώνυμον πόλιν ἐπαίρων καὶ δοξάζων, τὴν εὐδαίμονα καὶ πολυάνθρωπον Καμάρινάν, τοὺς λεγομένους διδύμους βωμοὺς ἐν τῇ Ἤλιδι ἓξ ἑκόσμησε βουθυσίαις ὑπὲρ ταῖς ἑορταῖς τῶν Θεῶν ταῖς μεγίσταις· οἱ γὰρ νικῶντες ἔθυον ἐν τοῖς ἓξ βωμοῖς.

8. Ὃς τὰν σάν.] Ὅστις ὁ Ψαῦμις ἐν ταῖς μεγίσταις ἑορταῖς τῶν Θεῶν καὶ ἐν ταῖς τῶν ἄθλων ἀμίλαις ταῖς πεμπταμέροις, ἤγουν τοῖς διὰ πέντε ἡμερῶν γενομένοις Ὀλυμπίοις, αὔξων καὶ δοξάζων τὴν σὴν λαοτρόφον Καμάρινάν πόλιν, ὦ νύμφη, ἐν ἵπποις καὶ τετρώρῳ καὶ ἐν ἡμιόνοις καὶ ἀπήνῃ καὶ ἐν μοναμπυκίᾳ καὶ μονοχαλίνῳ κέλητι ἐγέραρεν ὑπὸ βουθυσίαις τοὺς διδύμους καὶ τοὺς διπλοῦς ἓξ βωμοὺς τῶν δώδεκα Θεῶν, οἷον Διὸς καὶ Ποσειδῶνος, Ἥρας καὶ Ἀθηνᾶς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, Χαρίτων καὶ Διονύσου, Ἀρτέμιδος καὶ Ἀλφειοῦ, Κρόνου καὶ Ῥέας, ὧν δώδεκα μὲν ἀγάλματα Ἡρακλῆς, ὅτε τὸν Ὀλυμπιακὸν ἀγῶνα ἔτιθει, ἐποίησεν, ἓξ δὲ βωμοὺς, ἵνα ἐν ἑνὶ βωμῷ δύο Θεοὶ τιμῶνται, εἰς οὓς ὁ νικήσας ἐν Ὀλυμπίᾳ θυσίας προσήγε μετὰ τὴν νίκην, ὥσπερ χάριν ἀποδιδούς· τὸ δὲ μεγίσταις ἑορταῖς Θεῶν, ἢ τῇ μεγίστῃ ἑορτῇ τοῦ Διὸς τῇ Ὀλυμπίᾳ νοητέον· οὐκ ἔστι γὰρ μείζων ταύτης οὐδεμία ἄλλη· ἢ διὰ τοὺς δώδεκα Θεοὺς τοὺς ἐκεῖ ὄντας, ὡς εἴπομεν, τοῦτο λέγει· ἡ γὰρ τοῦ Διὸς πανήγυρις καὶ ἐκείνων ἦν, ἐπειδὴ καὶ πᾶσι τούτοις θυσίας προσήγετο παρὰ τῶν νικώντων· ἤρχετο δὲ ἡ πανήγυρις κατὰ τὴν δεκάτην τοῦ μηνὸς καὶ ἐτελεῖτο μέχρι καὶ τῆς ἑκκαιδεκάτης, ἐν ᾗ τὰ ἄθλα ἐδίδοτο. — † Σύνταξις. Ὃς τὰν σάν.] Ὅστις, ἤγουν ὁ Ψαῦμις, τὴν ἀπὸ σοῦ ὀνομασμένην πόλιν ὦ Καμάρινα, κατὰ μεταπλασμὸν ἀντὶ τοῦ τὴν Καμάριναν, τὴν ἐπιτηδείαν εἰς τροφὴν λαῶν αὔξων, ἤγουν ὑψῶν, μεγαλύνων, τοὺς ἓξ βωμοὺς τοὺς ἐν τῇ Ἤλιδι, οὓς ὁ Ἡρακλῆς κατεσκεύασε, τοὺς διδύμους· ἕκαστος γὰρ αὐτῶν θυσὶ Θεοῖς ἦν ἀφιερωμένος· ἐτίμησε κατὰ τὰς ἑορτὰς τῶν Θεῶν, ἤγουν κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, διὰ βουθυσιῶν μεγίστων καὶ δι' ἁμιλλῶν ἐπὶ πέντε ἡμέρας ἁμιλληθεισῶν, ἀγώνων· ἐπὶ τοσαύτας γὰρ ἡμέρας ἐτελεῖτο ὁ Ὀλυμπιακὸς ἀγών· ἵπποις, ἤγουν δι' ἵππων γινομένων αὐτῶν τῶν ἁμιλλῶν, τουτέστι δι' ἅρματος ἱππικοῦ, καὶ δι' ἡμιόνων, ἄγουν

καὶ δι' ἅρματος ἡμιόνων, καὶ διὰ μοναμπυκίας, τουτέστι δι' ἑνὸς χαλινοῦ, ἀντὶ τοῦ καὶ δι' ἑνὸς ἵππου τοῦ λεγομένου κέλητος.

10. Βωμοὺς ἕξ.] Ἡρόδωρός φησι τὸν Ἡρακλέα ἐν Ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα, συμβώμους δὲ αὐτοὺς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσαντα. Ἄλλως· Ὀλυμπιάσι βωμοί εἰσιν ἓξ διδύμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθωσιωμένου· πρῶτος Διὸς καὶ Ποσειδῶνος, δεύτερος Ἥρας καὶ Ἀθηνᾶς, τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος, τέταρτος Χαρίτων καὶ Διονύσου, πέμπτος Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ἕκτος Κρόνου καὶ Ῥέας, ὡς φησιν Ἡρόδωρος. Ἀφ' ἱστορίας τοῦτο εἴληφεν· ἱστορεῖ γὰρ περὶ τῶν ἓξ βωμῶν Ἡρόδωρος γραμματικός· ἐλθὼν δὲ εἰς τὴν Ἦλιν τὸ ἐν Ὀλυμπίᾳ ἱερὸν ἱδρύσατο Διὸς Ὀλυμπίου, καὶ Ὀλυμπίαν τοῦ Θεοῦ ὁμώνυμον τὴν χώραν ἔθετο· ἔθυσε δὲ αὐτῷ αὐτόθι· καὶ ἄλλοις θεοῖς βωμοὺς ἓξ τῷ ἀριθμῷ, συμβώμων τῶν ιβ' θεῶν, καὶ πρῶτον τὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ᾧ σύμβωμον ἐποίησε τὸν Ποσειδῶνα· β' Ἥρας καὶ Ἀθηνᾶς, γ' Ἑρμοῦ καὶ Ἀπόλλωνος, δ' Χαρίτων καὶ Διονύσου, ε' Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ς' Κρόνου καὶ Ῥέας· καὶ ἐπὶ πέντε ἡμέρας ἦγον τὴν ἑορτὴν βουθυσίας ποιοῦντες καὶ ἀγῶνας ἐπιτελοῦντες.

14. Πεμπταμέρους ἁμίλλας.] Ἐπειδὴ ἐπὶ πέντε ἡμέραις ἤγετο αὐτὰ τὰ ἀγωνίσματα, ἀπὸ ἑνδεκάτης μέχρις ἑκκαιδεκάτης· καὶ στεφάνους ἔχει κή, οἳ στεφανοῦσι τοὺς νικῶντας· ἡνίκα οὖν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων ἐγείρατε τοὺς βωμούς· ἐκόσμησε δὲ τοὺς βωμοὺς νικήσας ἵπποις, τεθρίππῳ, ἡμιόνοις καὶ κέλητι.

Ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἐγένετο τὰ Ὀλύμπια, ἀπὸ ιά μέχρι ις'· ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγείραιρε τοὺς βωμοὺς νικήσας· τὸ δὲ πεμπταμέρους ποιητικὸν τοῦνομα, διὰ τὸ ἀμετάβλητα ἔχειν τὰ ψιλὰ θασέος ἐπαγομένου· ὁ τρόπος δὲ οὗτος τῶν Ἰώνων ἐστί, διὰ τὸ ἀπὸ τοῦ πέμπτου συγκεῖσθαι, ἀλλ' οὐχ ὑπὸ τῶν κοινῶν τῶν τοιούτων συντιθεμένων· οὗτοι γὰρ πενθήμερον λέγουσιν ἀπὸ τοῦ πέντε, καὶ τριήμερον ἀπὸ τριῶν, καὶ ἑπτήμερον ἀπὸ τοῦ ἑπτά· ὅτι δὲ ἀπὸ τοῦ τριὰς καὶ πεντὰς καὶ ἑπτὰς ταῦτα, ἀλλ' οὐκ ἀπὸ τοῦ τρία καὶ πέντε καὶ ἑπτά, δῆλον ἀπὸ τοῦ τετραημέρου καὶ ἑξαημέρου καὶ ὀκταημέρου, ἐφ' οἷς ἡ συνθήκη ἐξ ἀνάγκης ἀπὸ τοῦ τετρὰς καὶ ἑξὰς καὶ ὀκτὰς

δεικνυται. † Ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν, ἀφ' οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται.

15. Μοναμπυκίᾳ.] Μονοχαλίνῳ· νοητέον δὲ ἑνὶ ἵππῳ τῷ λεγομένῳ κέλητι· ἄμπυξ μὲν γὰρ κυρίως ἀνάδημα τῆς κεφαλῆς τι καὶ λῶρος χρυσῷ καὶ λίθοις πεποικιλμένοις, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι· μεταφορικῶς δὲ καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται, ὡς Ομηρος· (Ἰλιάδος ε, 358.) Χρυσάμπυκας ἵππους· καὶ ἀλλαχοῦ· (Ἰλιάδ. χ, 469.)

Ἄμπυκα κεκρύφαλόν τ' ἠδὲ πλεκτὴν ἀναδέσμην.

καὶ ἵπποις καὶ ἡμιόνοις καὶ μοναμπυκίᾳ, ὅ ἐστι κέλητι· ἄμπυξ γὰρ κατὰ Θετταλοὺς ὁ χαλινός.

16. Τὶν δὲ κῦδος]. Σοὶ δὲ, ὦ νύμφη Καμάρινα, τὴν ἐκ τῆς νίκης δόξαν ἀνέθηκεν, ἀντὶ τοῦ σοὶ χάριν ὁμολογεῖ ἐπὶ τῇ νίκῃ· ἔτι γε μὴν καὶ τὸν αὐτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν· ἐν γὰρ τῷ ἀγῶνι οἱ νικῶντες ἀπὸ πατέρων ἀνηγορεύοντο καὶ ἀπὸ προγόνων καὶ πόλεων· τὴν νέοικον οὖν ἕδραν ἀνηγόρευσεν, τὴν πόλιν αὐτοῦ τὴν νεωστὶ ἱδρυνθεῖσαν· κτίζεται μὲν γὰρ ἡ Καμάρινα τεσσαρακοστῇ πέμπτῃ Ὀλυμπιάδι, ἐπικρατησάντων δὲ τῶν Συρακουσίων πορθεῖται τῇ νζ' Ὀλυμπιάδι· εἶτα ἐν τῇ πέ Ὀλυμπιάδι, τῷ μεταξὺ χρόνῳ καθ' ὃν ἐνίκησεν ὁ Ψαῦμις, ἀνακτίζεται· εἰκότως οὖν αὐτὴν νέοικον ὀνομάζει. — † Σύνταξις. Τὶν δὲ κῦδος ἁβρόν.] Σοὶ δὲ, τῇ Καμαρίνῃ δηλονότι τῇ λίμνῃ, δόξαν ἁβρὰν, ἀντὶ τοῦ λαμπρὰν, νεάζουσαν, ἀνέθηκε νικήσας, καὶ τὸν ἑαυτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν, ἀντὶ τοῦ ἀνακηρυχθῆναι ἐποίησε, καὶ τὴν καθέδραν αὐτοῦ τὴν νεωστὶ οἰκισθεῖσαν, τουτέστι τὴν Καμάριναν τὴν πόλιν· ἐπαναστρέψας δὲ μετὰ νίκης ἀπὸ τῶν καλῶν καὶ ἐπεράστων σταθμῶν, ἀντὶ τοῦ οἴκων, τοῦ Οἰνομάου καὶ τοῦ Πέλοπος, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὦ Παλλὰς, ἡ συνέχουσα τὴν πόλιν, τὴν Καμάριναν δηλονότι, ἀείδει μὲν, ἤγουν ὑμνεῖ τὸν σὸν ναὸν τὸν ἁγνὸν καὶ τὸν ποταμὸν τὸν Ὤανον καὶ τὴν λίμνην τὴν ἐγχωρίαν, ἤγουν τὴν Καμάριναν, καὶ τὰ σεβάσμια ῥεύματα, δι' ὧν ὁ Ἵππαρις ὁ ποταμὸς ἄρδει τὸν στρατὸν, ἀντὶ τοῦ τὸν λαὸν τῆς Καμαρίνης, κολλᾷ τε ὁ Ἵππαρις, ἤγουν προστίθησί τε ἀεὶ καὶ αὔξει ταχέως, ἀντὶ τοῦ ῥαδίως, ὑψίγυιον ἄλσος θαλάμων σταδίων, ἀντὶ τοῦ μετέωρον πληθὺν οἰκημάτων στερρῶν, κατάγων τοῖς ἑαυτοῦ ῥεύμασι τὰ ὑπὸ τῶν Καμα-

ρινάιων εἰς κατασκευὴν οἰκημάτων τεμνόμενα ξύλα, καὶ ἄγων τοῦτον τὸν δῆμον τῶν πολιτῶν, τουτέστι τῶν Καμαρινάιων, ἀπὸ τῆς ἀμηχανίας τῆς οὔσης αὐτοῖς ἕνεκα τῆς καταγωγῆς τῶν ξύλων εἰς φῶς, ἀντὶ τοῦ εἰς μηχανήν.

18. Ὃν πατέρ' Ἄκρων' ἐκάρυξεν.] Ἄκρων ἐκαλεῖτο ὁ πατὴρ Ψαύμιδος· ὁ γὰρ νικῶν πατέρα καὶ πατρίδα ἀνακηρύσσει.

19. Τὰν νέοικον ἕδραν.] Νέοικον εἶπεν ἕδραν τὴν Καμάρινα ὁ Πίνδαρος· σαφηνίζεται Τίμαιος ἐν τῇ δεκάτῃ εἰσὶ δὲ οὗτοι οἱ Καμαριναῖοι, οἳ ὑπὸ τοῦ Γέλωνος τυράννου ἀνῃρέθησαν, εἶτα ὑπὸ Γέλωνος συνῳκίσθησαν ἐπὶ τῆς . . . Ὀλυμπιάδος· ἡ δὲ ἅλωσις ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Πέρσου διάβασιν. Ἱπποκράτης ὑπὸ τοῦ τῶν Γελῴων τυράννου ἀνῃρέθη, εἶτα ὑπὸ Γέλωνος συνῳκίσθη ἡ Καμαρίνα κατὰ τὴν μϐ' Ὀλυμπιάδα, ὥς φησι Τίμαιος· διὸ καὶ νέοικον ἕδραν εἶπε τὴν πόλιν· ἡ δὲ ἅλωσις αὐτῆς ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Ὑστάσπου στρατείαν. Φίλιστος δὲ ἐν τῇ τρίτῃ φησὶν, ὅτι Γέλων Καμάρινάν κατέστρεψεν, Ἱπποκράτης δὲ πολεμήσας Συρακουσίοις καὶ πολλοὺς αἰχμαλώτους λαϐὼν ὑπὲρ τοῦ τούτους ἀποδοῦναι ἔλαϐε τὴν Καμάρινάν καὶ συνῴκισεν αὐτήν· ὁ γοῦν Πίνδαρος οἶδε συνῳκισμένην τὴν Καμάρινάν· ὅτι δὲ περὶ τὴν π' ἐνίκησεν Ὀλυμπιάδα ὁ Ψαῦμις τῇ ἀπήνῃ, οὕτω συνοράται· καταλύεται γὰρ αὐτῇ τὸ ἀγώνισμα περὶ ὀγδοηκοστὴν ἑ Ὀλυμπιάδα, τῷ δὲ ἅρματι ἐνίκησε τὴν πϐ' Ὀλυμπιάδα· ὥστε τὴν πά ἐνίκησεν ἐν τῇ ἀπήνῃ ὁ Ψαῦμις. Νέοικον ἕδραν λέγει τὴν Καμάρινάν, ἐπειδὴ ἐν τῇ τεσσαρακοστῇ πέμπτῃ Ὀλυμπιάδι καταρχὰς κτισθεῖσα ἐν τῇ πεντηκοστῇ ἑβδόμῃ ὑπὸ Συρακουσίων ἐπικρατησάντων τοὺς αὐτὴν ἔχοντας κατέστραπτο· εἶτα ἐν τῇ ὀγδοηκοστῇ δευτέρᾳ Ὀλυμπιάδι μεταξὺ τοῦ χρόνου, καθ' ὃν Ψαῦμις ἐνίκησεν, ἀνεκτίσθη.

20. Ἰκὼν δ' Οἰνομάου.] Ἀπὸ τῆς Πίσης, περιφραστικῶς ἀπὸ τῆς Πελοποννήσου ἐλθών, ὅτι καὶ ὁ Οἰνόμαος ἐν Ὀλυμπίᾳ ᾤκει· ἰκὼν δὲ, ἀντὶ τοῦ παραγενόμενος. Ἄλλως· ἰκὼν δ' Οἰνομάου ἕως τὸν δε ὅμμον ἀστῶν.] Ὁ νοῦς· ἐλθὼν δὲ ἐκ τοῦ ἀγῶνος καὶ τῆς Πίσης νικήσας ὑμνεῖ μὲν τὸ σὸν ἅλσος, ὦ πολιοῦχε Ἀθηνᾶ, ἀντὶ τοῦ σὲ ὑμνεῖ, ὑμνεῖ δὲ καὶ τὸν ποταμὸν τὸν Ὅανιν καλούμενον καὶ τὴν ἐγχωρίαν λίμνην Καμάριναν, ὑμνεῖ δὲ καὶ τοὺς ὀχετοὺς τοῦ Ἱππάριδος ποταμοῦ, ὅστις τοῖς μὲν ὀχετοῖς αὐτοῦ ἄρδει τὸν ὅλον ὄχλον καὶ τὸν τόπον, προσκολλᾷ δὲ καὶ προστίθησιν ἀδιαλείπτως ἅλσος

μέγα καὶ τόπον πολύν τε καὶ ὑψηλὸν, ὡς δύνασθαι καὶ Θαλάμους ἐξ αὐτοῦ καὶ μεγάλας ποιεῖν οἰκίας· ἄγει δὲ τὸν δῆμον αὐτῶν εἰς φῶς καὶ χαρὰν ἐξ ἀμηχανίας καὶ ἀπορίας πάντα παρέχων· λέγεται γὰρ καὶ ναυσίπορος εἶναι καὶ πολύιχθυς· καὶ ὁ μὲν Ἀρίσταρχος βούλεται οὕτω, Θαλάμων κατασκευὰς τὸν Ἵππαριν τῇ Καμαρίνῃ παρέχειν· φησὶ γὰρ, ὅτι διὰ μέσης ῥέων τῆς Καμαρίνης τῇ πλημμυρίᾳ ἀναπάσσει γῇ, ἀφ' ἧς πλινθεύοντες οἱ Καμαριναῖοι οἰκοδομοῦσι τὰς οἰκίας· προσπλάσσει δὲ γῇ, ὡς ὁ Ἀχελῶος ταῖς Ἐχινάσι καὶ ὁ Νεῖλος τῇ Αἰγύπτῳ· ὁ δὲ Δίδυμος οὐ τοῦτο βούλεται· οὐ γάρ φησι τοσοῦτον πλημμυρεῖν, ὡς δύνασθαι τῇ νεωστὶ κατασκευασθείσῃ πόλει τοσοῦτον παρασχεῖν πηλὸν πρὸς πλινθοποιΐαν, ἀλλὰ τοῦτό φησιν, ὅτι ὁ ποταμὸς διὰ μέσης τῆς ὕλης ῥεῖ, εἶτα κοπτόντων τῶν Καμαριναίων τὰ ξύλα εἰς κατασκευὴν τῶν οἰκημάτων, ἀμηχανούντων δὲ πρὸς τὴν καταγωγὴν, ὑποδέχεσθαι καὶ τῷ πολλῷ ῥεύματι κατάγειν εἰς τὴν πόλιν· οὕτω καὶ τὸ ταχέως τῷ λόγῳ προσκεῖσθαι φαμεν. Ὁ Ἵππαρις λέγεται τὰς ῥύσεις τῶν ὑδάτων ἔχειν οὐχ ὁμοίως, ἀλλὰ τὴν μὲν γλυκεῖαν τὴν δὲ πικράν, ὅπερ κρύπτων ὁ ποιητὴς σεμνοὺς ὀχετοὺς λέγει. Ἵππαρις δὲ ποταμὸς Σικελίας·

Φήσω καὶ Καμάριναν, ἵν' Ἵππαρις ἀγκύλον ἕρπει.

Ἀρίσταρχος παριέναι φησὶ τὸν Ἵππαριν τὴν πόλιν καὶ προσχέοντα συναναπλάσσειν αὐτῇ γῆν· τοῦτο δέ φησιν ὁ Δίδυμος ἁμάρτυρον εἶναι· οὐ γὰρ ἱστορεῖται περὶ τὸν Ἵππαριν καὶ τὴν Καμάριναν τοῦτο γενόμενον· βέλτιον οὖν οὕτω τινές· ἐπειδὴ ἐξ ὑπογυίου συνῴκισται ἡ Καμάρινα, καθὰ καὶ νεόκτιστον αὐτὴν προσηγόρευσεν, γειτνιᾷ δὲ Ἵππαρις αὐτῇ, κατὰ τοῦτο φάναι ἐπὶ τοῦ συνοικισμοῦ κολλᾶσθαι ὑπ' αὐτοῦ σταδίων Θαλάμων ὑφίπυργον ἅλσος· ἐπεὶ τὰ ἐπιτήδεια πρὸς τὴν οἰκοδομὴν διὰ τοῦ κατάπλου προσεκομίζετο, ὥστε ποιεῖν σταδίους Θαλάμους.

21. Παρ' εὐηράτων σταθμῶν.] Ἐπεράστων οἴκων· νῦν γὰρ καταχρηστικώτερον σταθμῶν τῶν οἴκων· λέγει δὲ ἀπὸ τῆς Ὀλυμπίας. — Πέλοπος σταθμῶν.] Ἐνταῦθα γὰρ οὗτος Οἰνόμαον ἐνίκησε καὶ ὕστερον τελευτήσας ἐτάφη· εὐηράτων δὲ, ἤγουν ἐπιθυμητῶν· ἐνταῦθα γὰρ ἐπιθυμοῦσι πάντες νικῆσαι· διὸ καὶ πᾶσι καλὴν ἐπιθυμίαν ἐμβάλλουσιν. — Εὐκρατῶν.] Ἐπιθυμητικῶν.

22. Πολιάοχε Παλλάς.] Καμαριναίων θεὸς ἡ Ἀθηνᾶ καὶ διὰ πλείστης τιμῆς παρ' αὐτοῖς οὖσα ἡ θεὸς, καὶ Ἀθήναιον

ἐπίσημον ἐν Καμαρίνῃ· τούτῳ δὲ εἰώθει ὁ κῶμος ἄγεσθαι ἐπὶ τῇ νίκῃ καὶ ὕμνος ᾄδεσθαι.

25. Ποταμόν τε Ὄανιν.] Ποταμὸς ἐν Καμαρίνῃ Ὄανις· τοὺς δὲ ἱεροὺς ποταμοὺς ἄλση εἰώθασι λέγειν.

27. Ἵππαρις.] Ποταμὸς οὗτος ἐν Καμαρίνῃ· ἔστι δὲ αὐτοῦ τοῦ ῥεύματος τὸ μέν τι γλυκὺ, τὸ δὲ ἁλμυρόν· διὸ καὶ Πίνδαρον εἰρηκέναι σεμνοὺς ὀχετοὺς ἀναστέλλοντα. — Ἱστορία περὶ τοῦ ποταμοῦ Ἱππάρεως. Ἵππαρις ποταμὸς ἐν Σικελίᾳ πλησίον Καμαρίνης, τοσοῦτος τῷ ῥεύματι ὡς καὶ ναυσίπορος εἶναι· ἔχει δὲ τὰς πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ δένδρα πολλὰ ἔχοντος· τέμνοντες οὖν ἐνταῦθα οἱ Καμαριναῖοι ξύλα πρὸς οἰκοδομίαν ἐμβάλλουσιν ἐν τῷ ποταμῷ· ὁ δὲ τῷ αὐτοῦ ῥεύματι φέρει αὐτὰ πρὸς τὴν πόλιν, ὅθεν λαμβάνοντες χρῶνται· ἔχει δὲ καὶ πλείστους ἰχθῦς· διὰ γοῦν τὸ ῥεῖν αὐτὸν ἐπὶ συμφέροντι τῆς πόλεως, σεμνοὺς τοὺς αὐτοῦ ὀχετοὺς ἐκάλεσε· καὶ κολλᾷ καὶ ἐπιφέρει ταχέως ἄλσος ὑψίγυιον θαλάμων καὶ οἴκων σταθηρῶν καὶ ἑδραίων· τουτέστι κατάγει ταχέως πρὸς τὴν πόλιν, ἃ ἐν τῷ ὄρει οἱ Καμαριναῖοι τέμνουσι ξύλα, δι' ὧν ἑδραιοτάτους οἴκους ἐργάζονται· ὑψιγυίων δὲ δέον εἰπεῖν πρὸς τὸ θαλάμων, ἤτοι διωρόφων καὶ τριωρόφων οἴκων, ὑψίγυιον εἶπε πρὸς τὸ ἄλσος· ἢ ὑψίγυιον ἄλσος λέγε ἀντὶ τοῦ ὑψηλὰ καὶ μεγάλα ξύλα.

28. Ἄρδει.] Ποτίζει.

29. Κολλᾷ.] Κατασκευάζει. — Κολλᾷ τε σταδίων.] Εὖ ἑστώτων, ἑδραίων, ὅτι προσχώννυσι καὶ προστίθησί τινα τῇ πόλει γῆν· κολλᾷ γοῦν, ἀντὶ τοῦ προσαναπλάσσει· τὸ δὲ σταδίων θαλάμων ἄλσος ἀντὶ τοῦ πρὸς οἰκοδομὴν ἐπιτήδειον οἴκων. Ἄλλως· Ἀρίσταρχός φησιν ἰλὺν καταφέρειν τὸν Ἵππαριν ὡς καὶ τὸν Νεῖλον, ἐκ δὲ τῆς ἰλύος κατασκευάζεσθαί φησιν ἄλση· κυρίως γὰρ ἀκούεσθαι τὰ ἄλση· οὐκ ἔστι δὲ, ἀλλ' ὑψίγυια ἄλση τοὺς οἴκους φησί, παρὰ τὸ ἑστάναι ὡς τὰ ἄλση· ἄλσος δὲ θαλάμων, τὸ πλῆθος τῶν οἴκων, τουτέστιν αὐτὴν τὴν πόλιν, ὡς εἰ ἔλεγε δένδρων ἄλσος· σταδίων δὲ, οἷον ἑδραίων· ὁ οὖν Ἵππαρις κολλᾷ καὶ προστίθησιν ἐπὶ τῇ πόλει τοὺς θαλάμους, καθὸ δι' αὐτοῦ εἰσκομίζεται τὰ πρὸς κατασκευὴν ὑπουργήματα, καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι· μεσόγειος γάρ ἐστιν ἡ χώρα. Ἄλλως· Θάλαμος κυρίως ἐστὶν οἶκος, ἐν ᾧ κατακλείονται αἱ νυμφευόμεναι, ὅτε θάλλουσαι τῇ ἡλικίᾳ συνέρχονται γάμῳ·

НБ ОНУ імені І.І. Мечникова

καταχρηστικῶς δὲ νῦν ὅλας τὰς οἰκίας Θαλάμους εἶπεν ὁ Πίνδαρος.

31. Ὑψίγυιον ἅλσος.] Ὑψηλὸν, ἀπὸ τῆς γῆς ἔχον μακροὺς κλάδους, τουτέστι ξύλα μακρὰ, οἷς λακτίζουσι καὶ ὁροῦσι τοὺς Θαλάμους.

32. Ἀμηχανίας.] Ἀδυναμίας.

34. Αἰεὶ δ' ἀμφ' ἀρεταῖσιν.] Ὁμολογηταὶ ὅτι ἕνεκα τοῦ κτήσασθαι ἀρετὴν καὶ πόνους τις καὶ μεγάλας δαπάνας καταβάλλεται, καὶ πρὸς πᾶν ἔργον ἐπικίνδυνον ἀπομάχεται ἡ δαπάνη καὶ ὁ πόνος· κινδύνῳ δὲ κεκαλυμμένον εἶπε νῦν, ἐπειδὴ οὐ μόνον ἄδηλός ἐστι τοῖς τὰ ἑαυτῶν δαπανῶσιν ἡ ἐν Ὀλυμπίᾳ νίκη, ἀλλ' ὅτι καὶ πλεῖστοι τῶν ἀγωνιζομένων ἀπέθανον ἐν τῷ σταδίῳ· τοῦτο δὲ οὐκ ἔστι πρόδηλον· οὐδὲ γὰρ πᾶσι συμβαίνει· ἀλλὰ κεκάλυπται ὁ τοιοῦτος κίνδυνος τῇ ἀδηλίᾳ· ἐνδείκνυται δὲ ὅτι οὐ μικρόν ἐστι νικῆσαι Ὀλύμπια. — Πόνος δαπάνα τε.] Πονεῖν ἔρη καὶ δαπανᾶν τοὺς ὀρεγομένους ἀρετῆς· καὶ πόνον μὲν τὴν γυμνασίαν εἶπε, δαπάνην δὲ τὴν ἱπποτροφίαν.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

τὸ ἀγωνίζεσθαι οὐκ ἐκτός ἐστι κινδύνου διὰ τὸ ἄδηλον τῆς τύχης· οἱ δὲ λέγουσιν, ὅτι μετὰ κινδύνου ἐνίκησεν ὁ ὑμνούμενος. — Αἰεὶ δ' ἀμφ' ἀρεταῖς.] Ἤγουν ὁ χρηστόν τι κατορθῶσαι θέλων καὶ κόπῳ καὶ χρημάτων δαπάνῃ χρῆται· τὸ δὲ μάρναται ἀντὶ τοῦ ἀγωνίζεται· τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιδος αἰτίαν σχόντος, πρὶν ἐστέρθαι τῇ νίκῃ, ὡς πέρα τοῦ δέοντος ἱπποτρόφου. — † Ἀμφ' ἀρεταῖς.] Ἀντὶ τοῦ ἐπ' ἀριστείαις, τουτέστιν ἕνεκα ἀριστειῶν, κόπος καὶ ἀναλώματα μάρναται, ἀντὶ τοῦ ἁμιλλᾶται, ἤγουν ἐπίσης συμβάλλεται πρὸς πᾶσαν ἐργασίαν ὑπὸ κινδύνων οὖσαν κεκαλυμμένην, τουτέστιν ὑποψίαν ἔχουσαν κινδύνου· οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ εὐτυχοῦντες, τουτέστιν οἱ νικῶντες, καὶ σοφοὶ τοῖς πολίταις ἐνομίσθησαν εἶναι.

35. Μάρναται.] Διεγείρονται. — Κεκαλυμμένον.] Περικυκλούμενον.

36. Ἔργον κινδύνῳ.] Τοῦτο λέγει, ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἄδηλόν ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς σταδίοις ἀγωνιζομένων, πρὶν νίκης ἐπιτυχεῖς γεγενῆσθαι, ἀπέθανον ἢ τὸ μέγεθος τῶν ἀγώνων οὐκ ἐνεγκόντες ἢ ὑπὸ τῶν ἀνθαμίλλων κατενεχθέντες· διὸ καὶ ὁ

Ἡσίοδος εἰκότως τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν ταχεῖαν προσεῖπεν.

37. Εὖ δὲ ἔχοντες.] Εὖ δὲ πράξαντες οἱ ἀρετῆς ἀντιποιούμενοι, ὅ ἐστιν ἐπιτυχόντες οἱ νικήσαντες καὶ σοφίας δόκησιν ἔχουσιν. Ἄλλως· οἱ ἐνάρετοι καὶ πονοῦσιν ἅμα καὶ ἀναλίσκουσιν ἕνεκα τοῦ ἀρετὴν κτήσασθαι. Ἢ οὕτω· παρὰ σοί, Ψαῦμι, ἕνεκα τῶν ἀρετῶν ὁ πόνος τῇ δαπάνῃ μάχεται· καὶ γὰρ δαπανᾷς καὶ ταλαιπωρεῖς. — Σοφοὶ καὶ πολῖται.] Οἱ γοῦν εὐδεμονήσαντες καὶ καλῶς διάξαντες κατὰ τὸν βίον ἤδη που καὶ σοφοὶ καὶ λόγιοι ἔδοξαν εἶναι παρὰ τοῖς πολίταις.

39. Σωτὴρ ὑψινεφές.] Ἀττικῶς ἀντὶ τοῦ ὑψιφοῦς Διός, ὅστις σωτὴρ τυγχάνεις καὶ τῶν ἐν ὕψει νεφελῶν κρατεῖς τόν τε λόφον κατοικεῖς τοῦ Κρόνου. Κρόνιον ὄρος ἐστὶν ἐν τῇ Πίσῃ ἱερὸν τοῦ Κρόνου. — † Σύνταξις. Ὦ Ζεῦ σωτὴρ ὑψινεφὲς, ἦγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν νεφελῶν ποιούμενος, καὶ ὁ οἰκῶν τὸν λόφον τὸν Κρόνιον, ἤγουν τὴν Πίσαν, καὶ ὁ ἔνδοξον ποιῶν τῇ αὐτόθι δηλονότι οἰκήσει τὸν Ἀλφειὸν τὸν ποταμὸν τὸν πλατέως ῥέοντα, καὶ ὁ τιμῶν ἀπὸ κοινοῦ, τὸ σπήλαιον τὸ σεβάσμιον τὸ τῆς Ἴδης τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ, ἱκέτης ἔρχομαι σὸς ἐν Λυδίοις αὐλοῖς ἀπύων, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε δαιδάλλειν, τουτέστι κοσμεῖν, τήν δε τὴν πόλιν, ἤγουν τὴν Καμάριναν, εὐανορίαις, ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων, κλυταῖς, τουτέστιν ἐπὶ πολὺ διηκούσαις τῇ φήμῃ.

41. Τιμῶν τ' Ἀλφεόν.] Καὶ τιμῶν, καταξιῶν, τὸν Ἀλφειὸν ποταμόν· ἀπὸ δὲ μέρους τὴν Ἦλιν λέγει διὰ τὸν ἀγῶνα.

42. Ἰδαῖόν τε σεμνὸν ἄντρον.] Τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος· ἄντρον δὲ τὸ σπήλαιον λέγει· μέμνηται δὲ τῆς ἀνατροφῆς τοῦ Διὸς καὶ ὁ Καλλίμαχος ἐν Ὕμνοις. Ἰδαῖον ἄντρον ἐν Ἦλιδι. Δημήτριος ὁ Σκήψιος· νεὼν διακόσμου ἱερὸν Διός· ἔνιοι δὲ νομίζοντες μὴ τῶν ἐν Ἦλιδι χωρίων αὐτὸν μεμνῆσθαι, ὑπέλαβον μνημονεύειν Ἴδης τῆς ἐν Κρήτῃ, ἢ τῆς ἐν Τροίᾳ· οὕτω Θέων φησίν. — Ἰδαῖον, ἤγουν Κρητικόν. Ἴδη γὰρ ὄρος καὶ ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κουρήτων ἠχούντων, ἵνα μὴ γνοίη Κρόνος αὐτὸν κλαίοντα· Λυδίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλώτεροι τῶν ἄλλων εἰσίν.

44. Ἱκέτας.] Παρακλήτωρ σοῦ· παρακαλέσων. — Ἱκέτας εἶθεν.] Ἡ ἀνταπόδοσις τῆς ἐπικλήσεως· ὦ Ζεῦ, ἱκέτης σου ἔρχομαι· ἵν' ᾖ ἱκετεύων σε, ὦ Ζεῦ. Παρακαλῶ σε, Ζεῦ, Λυδίαις ὕμνων εὐρυθμίαις, φυλάττειν τὴν Καμάριναν ἐν νίκαις καὶ ἀνδρείαις. — Λυδίοις ἀπύων.] Ἀντὶ τοῦ βοῶν, ᾄδων· αἰτήσων σε, φησίν, ὦ Ὀλυμπιόνικε Ψαῦμι, καὶ σὲ τοῖς ἵπποις ἐπιτερπόμενον εὔθυμον ἔχειν γῆρας καὶ φέρειν σε ἐπὶ τελευτὴν υἱῶν παρισταμένων. Ἄλλως· Λυδίοις ἀπύων ἐν αὐλοῖς.] Βοῶν· ἢ ὅτι αἱ λεγόμεναι γλωσσίδες τῶν αὐλῶν ἐν Λυδίᾳ γίνονται, ἢ ὅτι τοὺς μετὰ Πέλοπος ἐλθόντας πρώτους αὐλητὰς οἱ Ἕλληνες ἐμιμήσαντο· γλυκὺ δὲ τὸ Λύδιον μέλος· ἔρχομαι οὖν αἰτήσων σε διὰ Λυδίου μελῳδίας, ὥστε σε ταύτην τὴν πόλιν τὴν Καμάριναν ταῖς εὐφημίαις καὶ ταῖς εὐανδρίαις αὔξειν καὶ ἀγάλλειν· εὐρυθμίαις δὲ Λυδίαις, Λυδιστὶ ἡρμοσμέναις. Λυδίοις ἀπύων, Λυδιστὶ ἡρμοσμένοις. Πτολεμαῖος δὲ ὁ Ἐπιθέτης τοὺς ἐν Λυδίᾳ αὐλοὺς φησι πρωτεύειν ἐν τῇ τέχνῃ. (Ιλιάδ. β, 111. καὶ 196.)

46. Εὐκαναίαισι.] Ἀνδραγαθίαις.

48. Σέ τ', Ὀλυμπιόνικε.] Πάλιν ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Ψαῦμιν· καὶ σὲ ἦλθον αἰτήσων, ὦ τὰ Ὀλύμπια νενικηκώς, ταῖς ἵπποις ἐπιτερπόμενον· Ποσειδανίαισι δὲ, ἐπεὶ φίλιππος ὁ Θεός· μέχρι τῆς τελευτῆς σου τοῦ βίου διάγειν ἐν εὐθυμίᾳ καὶ τὸ γῆρας τοῖς καλοῖς τέρπειν. Αἰτήσω δὲ σὲ, φησίν, Ὀλυμπιόνικε Ψαῦμι, σὲ τὸν ἵππους τοῦ Ποσειδῶνος ἐπιτερπόμενον· τῆς γὰρ ἱππικῆς ἔφορος ὁ Θεός· εὔθυμον ἔχειν γῆρας καὶ φέρειν ἐς τὴν τελευτὴν υἱῶν σου παρισταμένων· ἡ εὐχεται παῖδας αὐτῷ γενέσθαι, ἢ ὑπὲρ τῶν ὄντων καὶ παρεστώτων αὐτῷ. — Σέ τ', Ὀλυμπιόνικε.] Πρὸς τὸν Δία τὸν λόγον τείνων ἀπέστρεψε πρὸς τὸν Ψαῦμιν· δέον γὰρ οὕτως εἰπεῖν· αἰτῶ σε, ὦ Ζεῦ, κοσμεῖν τὴν πόλιν καὶ τὸν Ψαῦμιν εὐθύμου γήρως ἐπιτυχῆ ποιῆσαι· ἐπειδὴ πρὸς τοῦτον ἐποίει τὸν ὕμνον, φέρειν σε εἶπεν, ἀντὶ τοῦ ἔχειν γῆρας εὔθυμον· τὸ δὲ Ποσειδωνίοις εἶπεν, ἢ διότι Ποσειδῶν πρῶτον Πέλοπι ἅρμα ἐνεχείρισεν, ὡς πρώην εἴρηκεῖ, ἢ τὸ Ποσειδωνίοις ἀντὶ τοῦ ταχέαι καὶ γαύροις· ταιαύτη γὰρ ἡ τῆς Θαλάττης ὁρμή. — ἢ Σύνταξις. Σέ τ', Ὀλυμπιόνικε.] Σέ τε, ὦ Ψαῦμι Ὀλυμπιόνικε, τὸν ἐπιτερπόμενον ἵπποις Ποσειδωνίοις, ἀντὶ τοῦ ἀρίστοις, ἔχειν γῆρας ἄλυπον μέχρι τοῦ τέλους τοῦ βίου σου, υἱῶν σοι παρισταμένων· εἴ τις δὲ ἄρδει, ἀντὶ τοῦ αὔξει, πλοῦτον ὑγιέντα, τουτέστιν ὑγιεινὸν, ὑγιείας μετέχοντα, ἐξαρκῶν,

ἀντὶ τοῦ ἐπαρκούμενος, ἤγουν βοηθούμενος ὑπὸ χρημάτων, καὶ εὐλογίαν, τουτέστιν ἔπαινον προστιθεὶς μὴ ζητήσῃ Θεὸς γενέσθαι.

53. Υἱῶν, ψαῦμι, παρισταμένων.] Παρεστώτων σοι, ὦ Ψαῦμι, καὶ υἱῶν· ἴσως δὲ ὡς πρὸς τέλεσιν ἄπαιδα, ἢ ὡς ἐπιθυμοῦντα ἀῤῥένων παίδων, ἢ ὡς λοιπὸν παρεστώτων αὐτῷ παίδων.

54. Ὑγίεντα δ' εἴ τις ὄλβον.] Τὴν μεθ' ὑγείας εὐδαιμονίαν· ὁ δὲ νοῦς· ὁ δὲ τὸν πλοῦτον καὶ τὴν εὐδαιμονίαν αὔξων ἐν ἑαυτῷ καὶ οὕτως ἐπαρκῶν τῇ περιουσίᾳ καὶ διοικῶν τὴν ὕπαρξιν, ὥστε καὶ εὐφημίας αὐτῷ προσγενέσθαι, οὗτος μὴ ζητείτω ἔτι καὶ Θεὸς γενέσθαι. Τὸν μετὰ ὑγείας, ἢ τὸν ἄθραυστον καὶ ὑγιῆ· ὁ μὲν Ἀρίσταρχος ἀναγινώσκει ὀξύτονον τὴν παραλήγουσαν, ἀντὶ τοῦ ὑγιαίνοντα· τινὲς δὲ ὡς χαρίεντα· εἰ δὲ πλοῦτον ἔχει τις, μεθ' ὑγείας διοικῶν αὐτὸν καὶ δαπανῶν ὅπως πρεπώδες ἐστι, πρὸς τῇ τύχῃ δὲ καὶ ὑμνῳ εὐφημεῖται, μὴ ζητείτω Θεὸς γενέσθαι· ταῦτα γὰρ αὐτῷ ἱκανά. Ὄλβον, τὸν ἐξ ὑγιοῦς ὄλβον, εἴ τις ἄρδοι, οἷον εἴ τις ἐπιμελούμενος τοῦ ἀπὸ τῶν καλῶν συναγομένου πλούτου τοῦτον αὔξειν ἱκανὸς ὢν τοῖς κτήμασιν καὶ προστιθεὶς εὐλογίαν, μὴ ζητείτω Θεὸς γενέσθαι· ταῦτα γὰρ αὐτῷ ἱκανά· κτεάτεσσιν, ἀπ' εὐθείας τῆς κτέατος Δωρικῶς· τὰ γὰρ εἰς ον εἰς ος ποιοῦσιν, ὡς παρ' Ὁμήρῳ ἀνδραποδέσσιν. (Ἰλ. η, 475.)—Ὑγίεντα δ' εἴ τις.] Τοῦτο λέγει, ὅτι ἐάν τις μεθ' ὑγείας ἀπολαύῃ τῶν ὄντων, μηδαμόθεν ἁρπάζων ὥσπερ ἕτεροι, ἀλλὰ νίκαις ἑαυτὸν ὥσπερ ὁ Ψαῦμις κοσμῶν, μὴ τούτου μεῖζον ζητήσῃ· οὐκ ἔστι γὰρ χρεῖττων ταύτης εὐδαιμονία ἑτέρα, οὐδ' ἡ τῶν Θεῶν· ἢ τὸ ὑγίεντα ἀντὶ τοῦ δίκαιον, ἵν' ᾖ τὸ Ἐξαρκέων κτεάτεσσι τούτου μεθερμηνευτικόν.

55. Ἐξαρκῶν.] Ἀντὶ ἐξαρκούμενος· καὶ ἔστιν ἀλλοίωσις κατὰ διάθεσιν.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ς'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου τῶν Ὀλυμπίων εἴδους.

Αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιά. Τὸ ά ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ δὲ χρυσέας ἀμφίμακρος ἢ ἀνάπαιστος· - - υ - - - υ - . Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον· - - υ υ - υ υ - . Τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον, πρώτου χοριαμβικοῦ, δευτέρου Ἰωνικοῦ, τρίτου χοριάμβου· - υ υ - υ υ - - - υ υ - . Τὸ δ' ἐγκωμιολογικόν· - υ υ - υ υ - - - υ - - . Τὸ έ Εὐριπίδειον ἢ ληκύθειον· - υ - - - υ - . Τὸ ς' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον· - - υ υ - υ υ - - . Τὸ ζ' ἰαμβέλεγος· ἔστι δὲ καὶ τοῦτο ἀπὸ δύο πενθημιμερῶν· τὸ δὲ ἰαμβικὸν πενθημιμερὲς πρῶτον κεῖται καὶ ὕστερον τὸ δακτυλικόν, ὃ καὶ ἐλεγεῖον λέγεται, ἀμετάδλητον, ἀκατάληκτον· - - υ - - - υ υ - υ υ - . Τὸ ή ἴαμβος τρίμετρος· υ - υ - - - υ - - - υ - . Τὸ θ' ὅμοιον τῷ ς', οἱονεὶ προσοδιακόν· - - υ υ - υ υ - - . Τὸ ί ἐγκωμιολογικόν, λειπούσης τῆς ἐσχάτης· - υ υ - υ υ - - - υ - . Τὸ ιά ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. - - υ - - - υ - - .

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιδ'. Τὸ ά ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν· - υ υ - υ υ - - - υ - - . Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον· - - υ υ - υ υ - . Τὸ γ' Στησιχόρειον τῷ Πινδαρικῷ ἰδιώματι· ὁ γὰρ τελευταῖος ἀντὶ τροχαίου ἴαμβον ἔχει· - υ - - - υ - - - υ υ - . Τὸ δ' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν, ἤγουν δύο ἀνάπαιστοι, μονόμετρον ἀκατάληκτον· υ υ - υ υ - . Τὸ έ Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον· - - υ υ - - υ υ - . Τὸ ς' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν δίμετρον ἢ μονόμετρον· ὡς θέλεις γὰρ τοὺς ἀναπαίστους λαμβάνεις· - - υ υ - . Τὸ ζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· - - υ - - - υ - . Τὸ ή Εὐριπίδειον· - υ - - - υ - . Τὸ θ' προσοδιακὸν δίμετρον ἀκα-

τάληκτον· - - υ υ - υ υ -. Τὸ ί δακτυλικὸν πενθημιμερές. - υ υ - υ υ -. Τὸ ιά προσοδιακὸν δίμετρον ἀκατάληκτον· - - υ υ - υ υ -. Τὸ ιβ' δακτυλικὸν τρίμετρον· - υ υ - υ υ - - Τὸ ιγ' προσοδιακὸν ἀπὸ χοριάμβου, ἀνακλώμενον· - υ υ υ υ - - υ -. Τὸ ιδ' Στησιχόρειον· - υ - - - υ - - - υ - - -.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ἔκτου εἴδους· ἔστι δὲ τὸ ἆσμα στροφῶν έ.

Τοῦ ἕκτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιά. Τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ἔχει δὲ συνεκφώνησιν ἤτοι συνίζησιν τὸ πρῶτον κῶλον τῆς πρώτης στροφῆς. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ τρίτον προσοδιακὸν τρίμετρον ἀκατάληκτον, τοῦ πρώτου χοριάμβου, τοῦ δευτέρου Ἰωνικοῦ, τοῦ τρίτου πάλιν χοριάμβου. Τὸ δ' ἐγκωμιολογικὸν ἤτοι διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς. Τὸ έ τροχαϊκὸν ἑρθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθειον. Τὸ ς' προσοδιακὸν τρίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς· τοῦτο δὲ ἀναπαιστικὸν ἔστιν ἑρθημιμερὲς, ὡς ἐμοὶ δοκεῖ, σπονδείου ἀρχομένου. Τὸ ζ' ἀσυνάρτητον ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν, ὃ καλεῖται ἰαμβέλεγος. Τὸ ή ἴαμβος τρίμετρος ἀκατάληκτος. Τὸ θ' ὅμοιον τῷ ς', ἤτοι προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἢ καὶ ἀναπαιστικόν. Τὸ ί ἐγκωμιολογικὸν, ἤτοι διπενθημιμερὲς, ὅμοιον τῷ τετάρτῳ· ἐλλείπει δὲ μιᾷ συλλαβῇ τὸ ἰαμβικὸν τοῦτο καὶ προσοδιακόν ἐστιν ἐκ χοριάμβου, Ἰωνικοῦ, καὶ πάλιν χοριάμβου καταληκτικοῦ. Τὸ ιά ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· ἐπὶ τῷ τέλει τὰ ῥηθέντα σημεῖα.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ιδ'. Τὸ πρῶτον ἐγωμιολογικὸν, ὅμοιον τῷ ί τῆς στροφῆς, ἢ καὶ προσοδιακὸν, ὡς εἴρηται ἐκεῖ. Τὸ δεύτερον προσοδιακὸν, δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ τρίτον Στησιχόρειον, ἤτοι τροχαϊκὸν τρίμετρον ἔχον ἐν τῷ τέλει ἴαμβον Πινδαρικῷ ἰδιώματι. Τὸ δ' ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ έ Ἰωνικὸν, δίμετρον ὑπερκατάληκτον ἀπὸ τῶν μειζόνων. Τὸ ς'. Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν, ὅμοιον τῷ τετάρτῳ. Τὸ ζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ή τροχαϊκὸν ἑφ-

θημερὲς Εὐριπίδειον. Τὸ Θ' προσοδιακὸν, ὅμοιον τῷ δευτέρῳ. Τὸ ί δακτυλικὸν πενθημιρές. Τὸ ιά ὅμοιον τῷ β'. Τὸ ιδ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιγ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ χοριάμβου. Τὸ ιδ' τροχαϊκὸν τρίμετρον καθαρὸν Στησιχόρειον· οὐκ ἔχει γὰρ τὸ Πινδαρικὸν ἰδίωμα. Ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Ἀγησίᾳ Συρακουσίῳ.] Γέγραπται ἡ ᾠδὴ ὡς μὲν ἔνιοι Ἀγησίᾳ Συρακουσίῳ, ὡς δὲ ἔνιοι Στυρηλίῳ, υἱῷ Σωστράτου ἀπήνῃ· κατελύθη δὲ ἡ ἀπήνη, ὡς τινές φασιν, ὀγδοηκοστῇ πέμπτῃ Ὀλυμπιάδι· κατ' ἐνίους δὲ ὀγδοηκοστῇ ἕκτῃ. Ἄπορον δὲ, τὴν ποστὴν Ὀλυμπιάδα ἐνίκησεν.

1. Χρυσέας ὑποστάσαντες.] Ἀλληγορεῖ ὁ ποιητὴς ὡς ἐπὶ οἰκίας μεγαλοπρεποῦς κατασκευὴν τὸν ἐπίνικον διατιθέμενος, παραβάλλει δὲ προπυλαίῳ μὲν τὸ προοίμιον, τῷ δὲ ὅλῳ οἴκῳ τὸν ὕμνον, ἑαυτὸν δὲ τῷ κατασκευάζοντι· ὁ δὲ νοῦς τοιοῦτος· ὕμνον πήξομεν, ὥσπερ Θαητὸν μέγαρον, χρυσέας κίονας ὑποστάσαντες τῷ προθύρῳ τοῦ θαλάμου· ὅπερ ἐστὶ τὸ προοίμιον· καὶ ὥσπερ Θαύματος ἄξιον μέγαρον ἢ οἶκον κατασκευάσαντες τὸ πρόθυρον ἀξιοπρεπῶς ποιοῦμεν, οὕτω καὶ τοῦ ὕμνου τὸ προοίμιον πήξομεν ἀξιόλογον, προκαταβαλλόμενοι ἀρχὰς κεφαλαιώδεις. Ἄλλως· Χρυσέας· τιμίας νῦν κίονας ὑπορθώσαντες· Θηλυκῶς δὲ νῦν προήγαγεν, ὡς καὶ Ὅμηρος, (Ὀδυσ. α, 52.).

ἔχει δέ τε κίονας αὐτός.

Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

Χρυσέας ὑποστάσαντες.] Τὸν λόγον ποιεῖται ἐκ μεταφορᾶς τῶν οἰκίας μεγαλοπρεπεῖς κατασκευζόντων· ὥσπερ γὰρ ἐκεῖνοι εἰς τὰ πρόθυρα κίονας μεγάλας ὑποβάλλουσιν, οὕτω καὶ οὗτος ὡσπερεὶ μέγαρον κατασκευάζων τὸν ὅλον ὕμνον, χρυσέας κίονας ἐν τοῖς προθύροις, ἤτοι τῷ προοιμίῳ, ὑρίσησι· κίονας δὲ χρυσᾶς ἐνταῦθα νόει τὴν τοῦ προοιμίου καλλίστην καὶ μεγαλοπρεπεστάτην ἀρχήν· πήξομεν καὶ κατασκευάσομεν τὸν ὕμνον οὕτως, ὥσπερ ὅτε πηγνύομεν Θαητὸν καὶ Θαυμαστὸν μέγαρον καὶ οἶκον ὑποστήσαντες καὶ ὑποβάλλοντες τῷ εὐτειχεῖ προθύρῳ τοῦ θαλάμου χρυσέας καὶ λαμπρὰς κίονας· ὥσπερ ὅτε Θαυμαστὸν μέγαρον πήγνυμεν, εὔκτιστον ποιοῦμεν τὸ πρόθυρον αὐτοῦ, λαμπρὰς κίο-

νας ὑποτιθέντες αὐτῷ· οὕτω θαυμαστὸν ὕμνον μέλλοντες συντιθέναι, λαμπρὰ πρότερον τὰ τούτου προοίμια ποιήσαντες οὕτω συνθῶμεν αὐτόν· ἀρχομένου γὰρ ἔργου, λαμπροῦ δηλονότι, χρὴ ποιῆσαι πρόσωπον, ἤγουν ἀρχήν, τηλαυγῆ, τουτέστι λαμπράν. — Εὐτειχεῖ.] Ἑβραίῳ.

3. Θαητόν.] Θαυμαστὸν περὶ τὴν θέαν. — Ἰστέον ὅτι θάλαμος, μέγαρον, μέλαθρον διαφέρουσι· θάλαμος μὲν λέγεται ἀπὸ τοῦ θάλλειν τοὺς δύο νεονύμφους, ὄντινα λέγομεν καὶ παστόν· μέγαρον δὲ λέγεται τὸ παλάτιον καὶ πᾶν οἴκημα ὑψηλὸν, ἀπὸ τοῦ μέγα ἄζεσθαι, ἤγουν ὑψοῦσθαι· μέλαθρον δὲ λέγεται ὁ οἶκος, ἐν ᾧ μαγειρεύουσιν, ἤγουν τὸ μαγειρεῖον, ἀπὸ τοῦ μελαίνειν τὸν αἰθέρα διὰ τοῦ καπνοῦ δηλονότι.

4. Πάξομεν.] Καιρίως μὲν τὸ πῆξαι ἐπὶ τῆς τῶν ξύλων ἁρμογῆς λέγεται, νῦν δὲ καταχρηστικῶς ἐπὶ τοῦ κατασκευάσομεν. — Πάξομεν.] Κτίσομεν. — Ἀρχομένου δ' ἔργου.] Ὁ δὲ ἀντὶ τοῦ γάρ· ἡ γὰρ ἀκολουθία· παντὸς γὰρ ἔργου, φησὶν, ἀρχομένου περίβλεπτον καὶ ἐξαίρετον δεῖ ποιεῖν τὸ τῆς προσόψεως, ἤτοι τὴν εἰσβολὴν καὶ τὴν ἀρχὴν λαμπρὰν καὶ ἐπίσημον· τοῦτο δὲ λέγει, ἐπειδὴ καὶ τὰ περὶ αὐτῶν προτερήματα κατ' ἀρχομένης τῆς ᾠδῆς λέγει.

5. Εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας.] Λοιπὸν περὶ τοῦ Αἰγησίου φησίν· εἴ τις οὖν, ὃν τρόπον οὗτος Ὀλυμπιονίκης εἴη καὶ προφήτης τοῦ κατὰ Πίσαν καὶ Ὀλυμπίαν μαντείου καὶ συνωκηκὼς τὰς Συρακούσας, τίνα διαφύγῃ ἂν ὁ τοιοῦτος ὕμνον, οὐχὶ δὲ πάντως ἂν τύχῃ τῶν πολιτῶν γε δὴ τυχὼν ἀρθόνων ἐν τῷ ὑμνεῖσθαι; τοῦτο δὲ προστίθησιν, ἐπειδὴ οἱ πολῖται κατὰ φύσιν ἀλλήλοις φθονοῦσιν. — Εἰ δ' εἴη μέν τις Ὀλυμπιονίκης τῷ βωμῷ τε τοῦ Διὸς τῷ μαντικῷ τῷ ἐν τῇ Πίσῃ ταμίας, ἤγουν ἱερεὺς, συνοικιστής τε τῶν ἐνδόξων Συρακουσῶν· ταῦτα δὲ τοῦ Ἀγησίου εἰσὶ πλεονεκτήματα· οὐκ αὐτὸς δὲ συνῴκισε τὰς Συρακούσας, ἀλλ' οἱ πατέρες αὐτοῦ ὧν τὸ ἔργον ἐπὶ τῷ παιδὶ αὐτῶν τίθησιν οἰκείως.

7. Βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ.] Παρόσον ὁ Ἀγησίας ἱερεὺς ἦν τοῦ ἐν Πίσῃ μαντικοῦ βωμοῦ τοῦ τῷ Διὶ ἀνιερωμένου· μαντείῳ δὲ ἀντὶ τοῦ μαντικῷ· βωμῷ ἀντὶ τοῦ βωμοῦ· δι' ἐμπύρων ἐν Ἤλιδι Ἰαμίδαι ἐμαντεύοντο, ἀφ' ὧν τὸ γένος εἶχεν Ἀγησίας· τοῦ δὲ μαντείου τοῦ ἐν Ἤλιδι καὶ Δικαίαρχος μέμνηται. — Βωμῷ τε.] Τοῦτο λέγει διὰ τὸν Ἀγησίαν· ἦν γὰρ καὶ Ὀλυμπιονίκης καὶ τοῦ ἐν Ὀλυμπίᾳ βωμοῦ ἱερεὺς ἡ διοικητὴς καὶ ἑορταστὴς, καὶ οἱ αὐτοῦ

πρόγονοι συνῴκισαν τὴν Συρακουσίων πόλιν· τὸ μαντεῖον δὲ λέγει, διότι ἐνταῦθα οἱ Ἰαμίδαι ἐμαντεύοντο, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ.

8. Συνοικιστής τε.] Τοῦτο δὲ οὐκ ἀληθές· οὐ γὰρ οὗτος συνῴκισε τὰς Συρακούσας· ἀλλὰ πρὸς ἐγκώμιον εἴληφεν· ἀπὸ γὰρ ἐνείνων ὁ Ἀγησίας τῶν συνοικισάντων· συνοικιστήρ τε, ὅτι οἱ πρόγονοι αὐτοῦ σὺν Ἀρχίᾳ παρεγένοντο ἐν Συρακούσαις, οἱ Ἰαμίδαι, ἀφ' ὧν εἰκὸς παραλαβεῖν τινας.

9. Τίνα κεν φύγοι ὕμνον.] Ἀντὶ τοῦ τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο ἐκεῖνος ὁ ἀνὴρ ἐν ᾠδαῖς ἐπιθυμηταῖς ἐπικύρσας, ἤγουν ἐπιτυχὼν πολιτῶν οὐ φθονούντων.

12. Ἴστω γάρ.] Γινωσκέτω· καὶ Ὅμηρος. (Ἰλιάδος ο, 217.)

Ἴστω τοῦθ' ὅτι νῶϊν ἀνήκεστον ἄλγος ἔσται·

Ἄλλως· Σωστράτου υἱὸς ὁ Ἀγησίας· ὁ δὲ νοῦς· εἰ δὲ ἐν τῷδε | βεβηκὼς τῷ τρόπῳ ὁ τοῦ Σωστράτου παῖς Ἀγησίας τὰ τρία τὰ προειρημένα ἔχων, Ὀλυμπιονίκης καὶ ταμίας τοῦ Διὸς βωμοῦ καὶ συνοικιστὴς τῶν Συρακουσῶν· πεδίλῳ δὲ καὶ τὰ ἑξῆς εἶπεν, ἵν' εἴπῃ, ὅτι προσήρμοστο αὐτῷ τὰ προειρημένα δαιμονίως καὶ ἐξαιρέτως, ὡσανεὶ πέδιλον τῷ ποδί, τουτέστιν ὁ ὕμνος· πέδιλον τὸ ὑπόδημα· νῦν δὲ τῇ βάσει καὶ τῷ ῥυθμῷ λέγει· οἷον ὅτι, ἔχων τὰ προειρημένα τρία καὶ ἐν τούτῳ τῷ πεδίλῳ τῆς ἱμερτῆς ἀοιδῆς, τουτέστι περὶ πόδας ἑαυτοῦ πεποιημένος τὰ τρία καὶ συνῃρημένα αὐτὰ ἔχων ὁ Ἀγησίας.— † Σύνταξις. Ἴστω γάρ.] Γινωσκέτω δὴ ὁ υἱὸς τοῦ Σωστράτου ὁ Ἀγησίας τούτῳ τῷ ὑποδήματι, ἀντὶ τοῦ τούτῳ τῷ ὕμνῳ, τουτέστι τῷ τῆς νίκης τῶν Ὀλυμπίων καὶ τῷ τῆς ἱερατείας καὶ τῷ τῆς συνοικίσεως τῶν Συρακουσῶν, δαιμόνιον πόδ' ἔχων, ἀντὶ τοῦ δαιμονίως αὐτὸς ἁρμόζων, τουτέστιν ὡς ἀπὸ μοίρας δαίμονος.

13. Δαιμόνιον.] Προσφυῆ· εὐτυχές. — Πόδα.] Θεμέλιον.

14. Ἀκίνδυνοι δ' ἀρεταί.] Ἡσίοδος δὲ λέγει, (Ὅπ. καὶ Δ. 287.)

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

Ο' δὲ λέγει, ὅτι αἱ ἀρεταὶ αἱ χωρὶς ἱδρώτων καὶ κινδύνων οὐκ εἰσὶ τίμιαι οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις οὔτε παρὰ τοῖς Θαλαττεύουσιν ἁπλῶς, εἰ μὴ καὶ ναύμαχός τις εἴη· παραμυθεῖται δὲ αὐτὸν, ἐπειδὴ μετὰ μόχθου πολλοῦ ἐνίκησεν· ἤτοι ὡς περὶ τὸν οἶκον αὐτῶν πολλῶν κινδύνων γενομένων, ἢ αὐτοῦ μετὰ κινδύνου νικήσαντος. — Ἀκίνδυνοι δ' ἀρεταί.] Αἱ ἀρεταὶ δὲ αἱ χωρὶς κινδύνων οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις, τουτέστιν οὔτ' ἐν γῇ οὔτε

ἐν θαλάσσῃ εἰσὶ τίμιαι, ἤγουν ἐπαινεταί· κυβερνήτης γὰρ ἄριστος ἐν κλύδωνι δείκνυται, καὶ ἀγωνιστὴς κραταιὸς ἰσχυρὸν ἀνταγωνιστὴν ἔχων· εἴ τι δὲ καλὸν σὺν πόνῳ κατορθωθῇ, πολλοὶ τούτου μέμνηνται· ὁ μετὰ πόνου καὶ κινδύνου τὴν ἀρετὴν κατορθώσας πλείστου ἄξιος διὰ τὸ προηγήσασθαι πόνων τῆς αὐτοῦ ἀρετῆς· ὁ δὲ ἁπλῶς οὕτως εὐτυχῶν οὐκ ἐπαινετὸς· τύχης γὰρ εὐμενείᾳ κάλλιστος εἶναι δοκεῖ· χρὴ οὖν καὶ τοὺς ἐν ἠπείρῳ καὶ τοὺς θαλαττεύοντας οὐ μόνον ὡς κατὰ σκοπὸν αὐτοῖς χωροίη τὰ πράγματα σκοπεῖν, ἀλλὰ καὶ ἀγῶνας κατορθοῦν ἐθέλειν· τοῦτο δὲ λέγει παραμυθούμενος Ἀγησίαν ὡς μετὰ πόνου νικήσαντα.

16. Πολλοὶ δὲ μέμνανται.] Ταῦτα δὲ ὡς κάλλιστα παρὰ τοῖς πολλοῖς μνημονεύεται, τὰ μετὰ πόνων ἀγαθὰ συμβαίνοντα δικαίως· ἢ οὕτω· πολλοὶ τοῦ καλοῦ μνημονεύουσιν, ὅταν πονηῶσι.

17. Εἴ τε ποναθῇ.] Ἤγουν διὰ πόνου τινὶ γένηται· ὁ γὰρ συμβὰς αὐτῷ πόνος οὐκ ἐᾷ λήθην κατακαυχήσασθαι.

18. Τὶν δ' αἶνος ἔυσιμος.] Σοὶ δὲ ὦ Ἀγησία, πρόχειρος καὶ ἁρμόδιος, ὁ ἔπαινος καὶ πρέπων ὁ ὑπὸ τοῦ Ἄδρἀστου ῥηθεὶς τοῦ Ταλαοῦ παιδὸς εἰς τὸν μάντιν Ἀμφιάραον τὸν Οἰκλέους υἱόν, ὃν διαστᾶσα ἡ γῆ ἐδέξατο ἅμα τῷ ἅρματι ἐν Ὠρωπῷ τῆς Βοιωτίας, κινδυνεύειν μέλλοντα· περὶ οὗ μάντεως Ἀμφιαράου ὁ τοῦ Ταλαοῦ παῖς Ἄδραστος εἶπεν, ὅτε συνηθροίσθησαν οἱ τῶν ἑπτὰ πυλῶν νεκροὶ ἐν Θήβαις καὶ ἐγένοντο ἑπτὰ πυρκαϊαί. Ποθεῖ στρατιᾶς ὀφθαλμὸν ἐμᾶς, καὶ τὰ ἑξῆς· τίς οὖν τοῦ Ἀδράστου πρὸς τὸν Ἀμφιάραον ἔπαινος ἐοικώς σοι; ἐκεῖνος ἀγαθὸς ἦν πολεμεῖν καὶ μάντις· οὐ δὲ καὶ ἀνδρεῖος καὶ μάντις ἀγαθός· ἔχεις δὴ τὸν Ἀμφιαράου ἔπαινον ἑτοίμως. — † Ὦ Ἀγησία, πρὸς σὲ δέ ἐστιν ὁ ἔπαινος ἕτοιμος, ἤγουν πρόχειρος, οὐ σὺν πόνῳ εὑρισκόμενος, ἅτε δηλονότι ὑφ' ἑτέρου προειρημένος, ὃν δικαίως ἐρθέγξατό ποτε ὁ Ἄδραστος διὰ γλώττης εἰς τὸν μάντιν τὸν Ἀμφιάρεων τὸν υἱὸν τοῦ Οἰκλέους, ἡνίκα κατέσχεν ἡ γῆ αὐτόν τέ νιν, ἤγουν καὶ αὐτὸν ἐκεῖνον, καὶ τὰς ἵππους αὐτοῦ τὰς φαιδίμας, τουτέστι τὰς λαμπρὰς, τὰς περιφανεῖς· τῶν νεκρῶν γὰρ δὴ τῶν ἑπτὰ πυρκαϊῶν τελεσθέντων, ἤγουν συναχθέντων καὶ ἀποκαταστάντων ἐπὶ τῷ δοθῆσεσθαι τῇ πυρᾷ ἑπτὰ γὰρ ταγμάτων ὄντων ἑκάστου τάγματος οἱ πεσόντες εἰς ἰδίαν πυρκαϊὰν συνελέγοντο· εἶπεν ἐν ταῖς Θήβαις ὁ υἱὸς τοῦ Ταλαοῦ ὁ Ἄδραστος τοιοῦτό τε

ἔπος· ποθῶ ἰδεῖν δηλονότι τὸν ὀφθαλμὸν τῆς ἐμῆς στρατιᾶς, ἀντὶ τοῦ τὸν περιφανέστατον καὶ ἐξαίρετον τουτέστι τὸν Ἀμφιάραον, ἀμφότερον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατ' ἀμφότερα, μάντιν τε ἀγαθὸν ὄντα, ἦγουν ἀγαθὸν τὴν μαντικήν, καὶ δουρὶ μάρνασθαι, τουτέστι καὶ ἀγαθὸν κατὰ τὴν ἐν πολέμῳ μάχην.

19. Ἐν δίκᾳ.] Μετὰ δικαιοσύνης ἰδίας.

21. Ἐπεὶ κατάγε.] Κεραυνωθεὶς γὰρ Ἀμφιάραος κατέδυ μετὰ τοῦ ἅρματος ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας, καταποθεὶς ὑπὸ τῆς γῆς· αὐτόν τέ νιν, ὅτι ἐκ παραλλήλου τέθηκε τὰς ἀντωνυμίας, καὶ ἔστι ἡ μία αὐτῶν περισσή· κατεπόθη δὲ Ἀμφιάραος, οἱ μὲν περὶ Ὠρωπὸν, οἱ δὲ περὶ Κλεωνάς· τοὺς δὲ ἵππους αὐτοῦ φησιν Ἀντίμαχος εἶναι ἀσυστάτους, οἱ δὲ Θεσσαλοὺς, ὀνόματα δὲ αὐτῶν Θόας καὶ Δίας· ὁ δὲ ἡνίοχος αὐτοῦ Βάτων ἐκαλεῖτο ἢ Σχοίνικος, συγκαταποθεὶς αὐτῷ. — Σύναπτε τὴν κατὰ μετὰ τοῦ ἔμαρψεν.

22. Ἔμαρψεν.] Ἦγουν κατεκάλυψε σχισθεῖσα ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας, ἔνθα καὶ μαντεῖον αὐτοῦ ἐστι· δέον ἑπτὰ πυρῶν τελεσθεισῶν εἰπεῖν, τελεσθέντων εἶπε πρὸς τὸ νεκρῶν οὕτω· τελεσθέντων δὲ νεκρῶν ἑπτὰ πυρῶν, ἀντὶ τοῦ νεκρῶν γεγονότων ἑπτὰ καύσεων· ἑπτὰ δὲ καύσεις λέγει, ἐπειδὴ καὶ τὰ τάγματα παντὸς τοῦ Ἀργείου στρατεύματος ἑπτὰ ἦσαν, ὥστε οἱ ἐν ἑνὶ ἑλάστῳ ἀποθανόντες πυρᾷ ὑπεβλήθησαν πεπαυμένου τοῦ πολέμου καὶ ὑποσπόνδους τῶν Ἀργείων τοὺς αὐτῶν νεκροὺς εἰληφότων· οὕτω γὰρ ἦν ἔθος, ὥστε μὴ νόει τὸ νεκρῶν περὶ τῶν στρατηγῶν· ἀμήχανον γάρ· ἐπεὶ Ἄδραστος μὲν ζῶν ἐξεκεχωρήκει πρὸς Ἄργος, Ἀμφιάρεως δὲ ζῶν ὑπὸ γῆς κατεπόθη, Πολυνείκης δὲ μετὰ Ἐτεοκλέους ἐντὸς Θηβῶν ἦχθη, οἱ δὲ καυθέντες τῶν στρατηγῶν τέσσαρες ἦσαν· τὸ δὲ Θήβαις πρὸς τὸ τελεσθέντων συναπτέον.

23. Τελεσθέντων.] Ἐπισωρευθέντων, ἤτοι καταριθμηθέντων· ἵνα καὶ τὸ ἑξῆς τοῦ λόγου οὕτως ἔχῃ· καταριθμήσας γὰρ ὁ Ἄδραστος τοὺς νεκροὺς καὶ λείποντα τὸν Ἀμφιάραον εὑρὼν εἰκότως δυσφορήσας τὸν λόγον ἀπεφθέγξατο. Ἄλλως· — Ἑπτὰ δ' ἔπειτα.] Ζητεῖται, πῶς ἑπτά φησι τὰς πυράς· ἀδύνατον γάρ· ᾠφάνισσο γὰρ ὁ Ἀμφιάραος. Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀποφεύγει, Πολυνείκης δὲ ἄταφος ἔῤῥιπτο ὡς ἐπιστρατεύσας τῇ πατρίδι ὥστε τῷ ἀληθεῖ λόγῳ τέσσαρας εἶναι τὰς πυρκαϊὰς τῶν τεθνηκότων· ἀλλ' ἐπιλυτέον οὕτως, ὅτι τὰς πυρὰς ὁ Πολύδαρος οὐ καταριθμεῖται πρὸς

αὐτοὺς τοὺς στρατηγοὺς, ἀλλὰ τὰ τούτων στρατεύματα· ἑπτὰ γὰρ τάξεις στρατευμάτων περὶ τὰς ἑπτὰ πύλας τῶν Θηβῶν μάχην συνεστήσαντο, καὶ οὕτω τῶν ἐν ἑκάστῃ πύλῃ τεθνηκότων στρατιωτῶν φησι γενέσθαι τὰς ἑπτὰ πυρκαϊάς. Ἄλλως· τὸ σημεῖον χ', ὅτι ἑπτὰ πυράς φησι, τῶν ἑπτὰ μὴ ἀποθανόντων. Ἀμφιάραος γὰρ κατεπόθη σὺν ταῖς ἵπποις ἐν Ὠρωπῷ πόλει τῆς Βοιωτίας.— Ἑπτὰ δ' ἔπειτα πυρᾶν.] Τῶν διαβεβοημένων ἐστὶ καὶ τοῦτο, πῶς ἑπτά φησι γενέσθαι πυρὰς τῶν ἑπτὰ ἐπιστρατευσάντων καὶ οὐ πάντων καέντων. Ἀμφιάρος μὲν κατεπόθη σὺν τοῖς ἵπποις ἐν Ὠρωπῷ, Πολυνείκης δὲ οὐκ ἐτάφη· ἄταφος γὰρ ἔμεινεν. Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀπῆλθε· καταλείπονται δ'. Τυδεύς, Καπανεύς, Παρθενοπαῖος, Ἱππομέδων. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι ἰδιάζει καὶ ἐν τούτοις ὁ Πίνδαρος, ὡς καὶ ἐν ἄλλοις, ὁ δὲ Ἀριστόδημός φησι τὰς ἑπτὰ πυρὰς εἶναι τῶν στρατιωτῶν τῶν ἀπολομένων· οὕτω καὶ Ἱππομέδων καὶ Ἁρμονίδης γράφει· καὶ πυρὰς ποιοῦντες ἑπτὰ ἐπὶ τοῖς ἕρμασιν, ἐνταῦθα ὅπου καλοῦνται ἑπτὰ πυραί, ἢ ἀπὸ τῶν ἑπτὰ ἐπὶ Θήβαις, ἢ ἀπὸ τῶν ἑπτὰ παίδων Νιόβης ἐκεῖ καυθέντων ἀπὸ τῶν ἰδ' χωρισθεισῶν τῶν συζυγιῶν.

24. † Ἀπὸ τοῦ Ταλαὸς Ταλαΐων, ἀπὸ τούτου Ταλαϊονίδης, ὡς ἀπὸ τοῦ Ἰαπετὸς Ἰαπετίων, εἶτα ἀπὸ τούτου Ἰαπετιονίδης.

26. Ποθέω.] Ὁ Ἀσκληπιάδης φησὶ ταῦτα εἰληφέναι ἐκ τῆς κυκλικῆς Θηβαΐδος. — Σρατιᾶς ὀφθαλμόν.] Ἤτοι τὸν ἐν πολέμῳ περιβλεπτον ἢ τὸν προορᾶν τὰ μέλλοντα δυνάμενον ὡς μάντιν· καὶ δι' ἀμφότερά φησιν αὐτὸν ποθεῖν· εἰς δὲ τὸ μάντις καὶ πολεμιστὴς ἀπὸ κοινοῦ τὸ ἀγαθός· ὅπερ ἔξεστιν εἰπεῖν καὶ τῷ Ἀγησίᾳ τῷ δεσπότῃ τοῦ ὕμνου· τί δὲ αὐτῷ πάρεστιν, ὃ καὶ τῷ Ἀμφιαράῳ; καὶ μάντις καὶ ἀνδρεῖος τὰ ἐν μάχαις· ὀφθαλμὸν στρατιᾶς τὸν Ἀμφιάραον ἐκάλεσεν ὡς δυνάμει προὔχοντα καὶ μάντιν ὄντα καὶ προορᾶν τὰ μέλλοντα δυνάμενον· ὀφθαλμὸς γὰρ προὔχει τοῦ σώματος, τοῦτο οὖν καὶ ἐπὶ τούτου λέγει τοῦ νικηφόρου.

27. Ὥσπερ ἐν τῷ Ἱέρωνος Ὀλυμπιονίκῃ (Ὀλυμπ. Α'. 165.) ἔμεινε τὰ Ἀμφότερα ἐν τῷ Πέποιθα δὲ μήτινα ξένον, οὕτω καὶ τοῦτο. † Ἀμφότερον, εἰ μὲν οὐδετέρως τοῦτο δέχοιτό τις, παρακινδυνεύει· οὐ γὰρ ἐνικῶς δύναται λέγεσθαι τὰ ἀμφότερα· εἰ δὲ ἀρσενικῶς κατ' αἰτιατικὴν, ἀντὶ τοῦ ἀμφοτεροδέξιον, ἔξω τῆς γνώμης τοξεύει τῶν χρησαμένων αὐτῷ· ἐπὶ γὰρ

τούτου τοῦ σημαινομένου καὶ μετὰ εὐθείας ἔστιν ὅτε λέγουσιν αὐτὸ ὡς ἐν τούτοις (Ἰλ. χ, 74. ω, 516.).

Ἀμφότερον, πολιός τε νόον πολιός τε κάρηνον.

δοκεῖ δὴ ἐπιβρηματικῶς μᾶλλον λέγεσθαι, ἀντὶ τοῦ κατ' ἀμφότερα· οὕτω γὰρ καὶ τὴν ἔννοιαν σώζει καὶ τὸ παρανενδύνεμα λύει καὶ τῇ χρήσει οἰκείως ἔχει.

29. † Σύνταξις. Τὸ καὶ ἀνδρί.] Τοῦτο τὸ πρὸς Ἀμφιάραον ῥηθὲν ἁρμόζει καὶ τῷ Ἀγησίᾳ· καὶ γὰρ καὶ αὐτὸς ἀμφότερά ἐστι, καὶ ἀνδρεῖος καὶ ἐκ μάντεων καταγόμενος — Τὸ καὶ ἀνδρί.] Τοῦτο τὸ ἐπὶ Ἀμφιάρεῳ δηλονότι ῥηθὲν ἔπος πάρεστι νῦν, ἀντὶ τοῦ ἁρμόζει, καὶ τῷ ἀνδρὶ τῷ Συρακουσίῳ, τῷ δεσπότῃ τοῦ μετὰ χορείας ὕμνου, ἤγουν τῷ Ἀγησίᾳ.

30. Κώμου δεσπότᾳ.] Τῷ Ἀγησίᾳ· φασὶ γὰρ τὸν Ἀγησίαν μεθ' Ἱέρωνος στρατευσάμενον πολλοὺς πολέμους κατορθωκέναι μαντείᾳ καὶ ἀρετῇ.

31. Νῦν πάρστι γράφε διὰ τὸ μέτρον, καὶ οὐ σύσερίς τις· εἰ δ' ἄλλως γράφεις οὐκ ὀρθὸν ἔσται.

32. Οὔτε σύσεροις ἐών.] Ἐγὼ γάρ, φησίν, οὔτε φιλόνεικος οὔτε σύσερίς τις πάνυ ὢν καὶ τὸν μέγιστον ὅρκον ὀμόσαιμι, μαρτυρῶν τῷ Ἀγησίᾳ, ὃ καὶ ἐπὶ τοῦ Ἀμφιαράου λέγεται· εὔχομαι δὲ ἐπιτρέψαι μοι τὰς Μούσας καὶ συνεργῆσαι· εἰκότως δὲ ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν αἰτιᾶται, ἐπειδὴ οἶδεν ἀνάρμοστον ὂν τὸ ὀμνύναι ποιητὴ ἐγκωμιάζοντι· ὁ γὰρ σύσερις καὶ ψευδῆ σύναται λέγειν πρὸς φιλονεικίαν. — Οὔτε σύσερίς τις.] Τουτέστιν ἄγαν σκληρὸς εἰς ἔριν, οὔτε φιλόνεικος, καὶ μέγαν ὅρκον ὀμόσας, τοῦτο τὸ ἔπος, ἤγουν τοῦτον τὸν ἔπαινον ἀληθῶς αὐτῷ, τῷ Ἀγησίᾳ, μαρτυρήσω· αἱ γλυκύφωνοι δὲ ᾠδαὶ ἐπ' ἐμοὶ τοῦτο δώσουσιν, ἤγουν οὐκ ἀντιτάξονται, συνδραμοῦνται τῇ μαρτυρίᾳ.

35. Τοῦτό γέ οἱ σαφέως μαρτυρήσω.] Τοῦτο αὐτῷ μαρτυρήσω τὸ προδεδηλομένον, ὅτι εἰς πάντα ὁ Ἀγησίας παραπλήσιος ἦν τῷ Ἀμφιαράῳ.

36. Ἐπιτρέψοντι.] Συμφωνήσουσιν.

37. Ὦ Φίντις, ἀλλὰ ζεῦξον.] Οὗτος ἦν ἡνίοχος τῆς ἀπήνης. Ἄλλως· ὁ νοῦς· ἀλλ' ὦ Φίντις, ζεῦξον ἤδη τὰς ἡμιόνους μοι· τροπικῶς δὲ λόγῳ χρῆται· δοκῶν γὰρ προσκαλεῖσθαι τὸν ἡνίοχον τὴν ἑαυτοῦ ψυχὴν σπουδάσαι πρὸς τὸν ὕμνον προτρέπεται καί φησιν ἀντὶ τοῦ, γενοῦ μοι πρόφασις, ἡ ἔστω μοι ἀφορμὴ τοῦ ὕμνου Φίντις ὁ ἡνίοχος καὶ τὰ ἅρματα.

τοῦ ἡνιόχου· ὦ Φίντις Δωρικῶς ἐσχημάτισται· εἴη δ' ἂν κατὰ τὴν ἡμετέρκν διάλεκτον Φίλτις· οἱ Δωριεῖς γὰρ μεταθέασι τὸ λ εἰς ν, ὅταν ᾖ εἴτε τὸ τ, εἴτε τὸ θ· τῇ δὲ κλητικῇ οὐκ ἐχρήσατο ἀλλὰ τῇ εὐθείᾳ Ἥλιος, ὃς πάντ' ἐφορᾷς. (Il. γ. 277.)— † Σύνταξις. Ἀλλ' ὦ Φίντις, ἤγουν ἡνίοχε, πρὸς τὸν ἑαυτοῦ δὲ λέγει νοῦν, ζεῦξον ἤδη ἐμοί, ἤγουν ἀπὸ τοῦ νῦν, τὸ σθένος τῶν ἡμιόνων, τουτέστι τὴν δύναμιν τοῦ λόγου τοῦ περὶ τῶν ἡμιόνων τοῦ Ἀγησίου καθ' ὅτον τάχος, ὅπως ἐν ὁδῷ καθαρᾷ, τουτέστι δικαίᾳ, ἀναβιβάσωμεν τὸν ὄχλον ἤγουν τὸ ὄχημα, ἀντὶ τοῦ τὸν ὕμνον τὸν ἐπὶ τῷ ὀχήματι, ἵκωμαί τε, ἀφίκωμαί τε, καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν, ἤγουν, πρὸς τὸν Ἴαμον· κεῖναι γάρ, ἤγουν, αἱ ἡμίονοι τοῦ Ἀγησίου μόναι δηλονότι ἐξ ἁπάντων τῶν ἄλλων ἵππων ἐπὶ τὴν ὁδὸν ταύτην, ἤγουν τὴν πρὸς τὸ γένος τοῦ Ἀγησίου ἐπίστανται ἡγεμονεύσαι, ἤγουν ὁδηγῆσαι, προσδαποιῆσαι· ἐπεὶ στεφάνους ἐδέξαντο, ἤγουν ἐστεφανώθησαν ἐν τῇ Ὀλυμπίᾳ· χρὴ τοίνυν ἀναπυστάμεν, ἤγουν ἀναπετανύειν, ἀνοίγειν, χάριν αὐτῶν, τῶν ἡμιόνων δηλονότι, τὰς πύλας τῶν ὕμνων, ἀντὶ τοῦ χρὴ ὑμνεῖν αὐτάς.

39. Ὄφρα κελεύθου τ' ἐν καθαρῷ.] Ἵνα ἐπιβιβάσωμεν ἐν καθαρᾷ ὁδῷ τὸ ὄχημα· ἀλληγορεῖ δὲ νῦν περὶ τοῦ ὕμνου λέγων ἵνα διὰ καθαρᾶς λεωφόρου τὸν ὕμνον ἐπιβιβάσαντες τῷ ὀχήματι χρησώμεθα. Ἄλλως. Ὄφρα κελεύθω.] Ἀλληγορεῖ καί φησιν ἵνα δικαίᾳ καὶ καθαρᾷ ὁδῷ τῇ τῶν λόγων ἐπιβήσωμεν τὸ ὄχημα, ἀντὶ τοῦ ὑμνήσωμεν δικαίως καὶ προσηκόντως, καὶ ἵνα πρὸς τὸ γένος ἵκωμαι τῶν ἀνδρῶν· λέγει δὲ τῶν προγόνων τοῦ Ἀγησίου· ἵκωμαι δὲ ἐν αὐταῖς διὰ τῶν ἐγκωμίων· ἐκεῖναι γὰρ αἱ ἡμίονοι τοῦ Ἀγησίου παρὰ τὰς ἄλλας πάσας ἐπίστανται καὶ δύνανται ἡγεμονεῦσαι ταύτην τὴν ὁδόν· ποίαν ὁδόν; τὴν τῶν ὕμνων· ἐπειδὴ τοὺς ἐν Ὀλυμπίᾳ στεφάνους ἐδέξαντο· ᾧ τάχος, ἀντὶ τοῦ ὡς τάχος· τῇ ὁδῷ δὲ τῇ καθαρᾷ, τῇ μὴ ἐχούσῃ ἐπίληψιν ἢ ψεῦδος, ἀλλὰ ἀλήθειαν· τὸ δὲ ὄχον κατὰ τὸ πλεῖστον ἐπὶ τῶν ἡμιόνων τιθέασι· τὸ δὲ βάσομεν ἀντὶ τοῦ βήσομεν Ὁμηρικόν.

40. Ὄχον.] Ῥυθμόν. — Ἵκωμαί τε πρὸς ἀνδρῶν καὶ γένος.] Τὸν καὶ σύνδεσμον ὑπερβιβαστέον· καὶ πρὸς τὸ τῶν ἀνδρῶν γένος παραγένωμαι, τουτέστι μνημονεύσω καὶ τῶν προγόνων αὐτοῦ ἀνέφερε δὲ ὁ Ἀγησίας εἰς τοὺς Ἰαμίδας τὸ γένος· ἔνιοι δὲ τὸν καὶ σύνδεσμον περισσὸν δέχονται, ἵν' ᾖ· ἵκωμαί τε πρὸς τὸ τῶν ἀνδρῶν γένος.

41. Ἐξ ἄλλαν.] Παρὰ τὰς ἄλλας πάσας, ἀντὶ τοῦ ὑπὲρ πάσας τὰς λοιπάς· αὗται γὰρ παρὰ τὰς ἄλλας πάσας τὰς ἀγωνισαμένας νικήσασαι προκαλοῦνται τὸν ὕμνον.

42. Ἀγεμονεῦσαι.] Προτερεῦσαι.

43. [illegible] Ἀνα[illegible] τοῦ ἐπεδείξαντο τοὺς στεφάνους, οὓς ἔλαβον· ἐπειδὴ καὶ αὗται [illegible] ἡμίονοι τοῖς στεφάνοις ἐβάλλοντο καὶ τοῖς ἄνθεσιν. — Πύλας ὕμνων.] Ἐνέμεινε τῇ τροπῇ καὶ φησι· προσήκει τὰς πύλας τῶν ὕμνων ἀνοίγειν ταῖς ἡμιόνοις· προσήκει καθάπερ πύλας οὕτω, καὶ τοὺς ὕμνους ἀναπετάσαι· εὖ δὲ τῇ παρασκευῇ παρίστησι τήν τε τοῦ ἐπαινουμένου μεγαλειότητα καὶ τὴν τοῦ ἐπαινεῖν αὐτοῦ δύναμιν ὁ ποιητής· περὶ τῶν ἡμιόνων λόγος· αὗται γὰρ παρὰ τὰς ἄλλας ἀγωνιζόμεναι νικήσασαι προκέκληνται τὸν ὕμνον· γράφεται καὶ, ἐπεδείξαντο τοὺς στεφάνους, οὓς ἔλαβον.

45. † Ἀναπιτνάμεν.] Ἀπὸ τοῦ πιτνῶ, τὸ πίπτω καὶ τῆς ἀνὰ προθέσεως ἀναπιτνῶ· ἀφ' οὗ ἀναπιτνάμεν καὶ Δωρικῶς ἀναπιτνάμεναι· καὶ ἀναπιτνάμεν ἀντὶ τοῦ ἄνω κεῖσθαι ποιεῖν, ἤγουν ἀνοίγειν, ἀναπετᾶν· ἀποθάλλει δὲ τὸ προσγεγραμμένον ι, καὶ συστέλλεται κατὰ τὴν ἀκολουθίαν τοῦ ἔμεναι, δόμεναι, θέμεναι.

46. Πρὸς Πιτάναν δέ.] Πιτάναν νῦν τὴν ὁμώνυμον πόλιν λέγει τῇ ἡρωΐδι, ἐπικειμένην ταῖς ὄχθαις τοῦ Εὐρώτα ποταμοῦ· προσέθηκε δὲ παρ' Εὐρώτα πόρον, ἐπειδὴ καὶ τῆς Αἰολίδος ἐστὶν ἡ Πιτάνη· αὕτη δὲ ἡ Πιτάνη ἡ τοῦ Εὐρώτα πρόγονός ἐστι τῶν Ἰαμιδῶν. ταύτης γὰρ καὶ Ποσειδῶνος Εὐάδνη, Εὐάδνης δὲ καὶ Ἀπόλλωνος Ἴαμος ὁ μάντις ἀφ' οὗ καὶ Ἰαμίδαι· τῆς Πιτάνης δ' ὁμώνυμος ἡ πόλις. Εὐάδναι δὲ δισσαί, μία μὲν ἡ Ποσειδῶνος καὶ Πιτάνης, ἑτέρα δὲ Ἰφιτόου, ἣν καὶ Ἰανειραν λεγομένην φασὶν Εὐάδνην ὠνομάσθαι διὰ τὸ πλῆθος τῶν ἐδῶν, ὧν ἔδωκε Καπανεύς· ἡ δὲ Λακωνικὴ Πιτάνη Εὐρώτα τοῦ ποταμοῦ γενεαλογεῖται εἶναι, ὡς Σωσίβιος· ἡ ἡρωΐνη, ἀφ' ἧς καὶ ἡ πόλις . . . . . καθ' ὃ ἔτι ἐδόκει παρθένος εἶναι· διὸ καὶ οἱ ἐξ αὐτῶν παῖδες Παρθένιοι. Ἄλλως· Πρὸς Πιτάναν καὶ παρ' Εὐρώτα πόρον.] Ὁ Λύγκου Λακεδαίμονος καὶ Ὑπερμνήστρας τῆς Δαναΐδος υἱὸς Ἀβας ἔσχε γυναῖκα τὴν Ἀριστοδήμην τὴν Ἀριστομάχου τοῦ Ἀριστοδήμου τοῦ Ἡρακλείδου, ἐξ ἧς ἐγένοντο αὐτῷ δίδυμοι παῖδες Πρητεὺς καὶ Ἀκρίσιος· οὗτοι δὲ διαστάντες ἀλλήλοις ἐπὶ τὴν βασιλείαν τοῦ πατρὸς Ἀβαντος ἐστασίασαν· καὶ ὁ μὲν Πρητεὺς ἐκράτησε τῆς Τίρυνθος καὶ τῆς Ἀργείας, ὁ δὲ Ἀκρίσιος τῆς Ἄργους καὶ τῆς Ἀκροκορίνθου· ἐκ δὲ τοῦ Πρητέως καὶ Ἀντείας τῆς Ἰοβάτου θυγατρὸς ἐγένοντο Προῖτος καὶ Ἀκρισιώνη καὶ Ἀναξιβίη· ἐκ δὲ τοῦ Ἀκρισίου καὶ Εὐρυδίκης τῆς Λακεδαίμονος τοῦ Ζηλείου καὶ Σπαρτοῦ τῆς Ἀμυκλαίου θυγατρὸς ἐγένοντο Δαναὴ καὶ Προῖτος καὶ Ἀλκιδίκη καὶ Γοργοφόνη καὶ Ἀστυδάμεια καὶ Ἱππονόη καὶ Ἀμφιθέα καὶ Ἀμφιθέη καὶ Ἀμφιθέη καὶ Ἀμφιθέη

οἱ Ἰαμίδαι μάντεις κατὰ Πίσαν, εἰς οὓς τὸ γένος ἀνάγει ὁ Ἀγησίας· καὶ οὕτως εὑρίσκεται ὡς μὲν ἀπὸ τῆς Πιτάνης Ἀργεῖος, ὡς δὲ ἀπὸ Ἰάμου καὶ Εὐάδνης τῆς ἐν Ἀρκαδίᾳ Ἀρκάς· ἔστι δὲ Πιτάνη πόλις Λακεδαιμονος, καὶ Εὐρώτας ποταμὸς καὶ Σπάρτης καὶ ἄλλος Ἰ[illegible] τῆς Πιτάνης. Εὐρώτου τοῦ Λακωνικοῦ ποταμοῦ θυγάτηρ γέγονε Πιτάνα· αὕτη ὑπὸ Ποσειδῶνος ἔγκυος γενομένη καὶ τῷ δοκεῖν εἶναι παρθένος λανθάνουσα, ὅτε καιρὸς ἦκε τοῦ τοκετοῦ, γεννήσασα τὴν Εὐάδνην δέδωκε ταῖς ἀμφιπόλοις λάθρα πρὸς Αἴπυτον Ἀρκάδων βασιλέα ἀγαγεῖν τὸ βρέφος· ἄλλοι δὲ φασι καὶ ἀληθῆ λέγοντες, ὡς ἡνίκα τοῦτο ἐγέννησε, διὰ τῶν Θεραπαινίδων εἰς ἐρημίαν ἐξέθηκεν· ὅθεν ἀνελόμενος Αἴπυτος ἔθρεψεν· ὃ καὶ Πίνδαρος εἰδώς, ἐπειδὴ ἐγκώμιον Δ'γησίου ποιεῖται, ἀντὶ τοῦ εἰπεῖν ἐκθεῖναι αὐτὴν τὸ βρέφος, ἐκπέμψαι πρὸς Αἴπυτον λέγει· ἀτιμίαν γὰρ Ἀγησίου εἶχεν ἄν. † Σύνταξις· Πρὸς τὴν Πιτάνην δὲ τὴν τοῦ ὀνόματος αὐτῆς μεταδοῦσαν τῇ πόλει τῇ παρὰ τὸ ῥεῦμα τοῦ Εὐρώτα τοῦ ποταμοῦ δεῖ σήμερον ἀπελθεῖν ἐγκαίρως, ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου λέγεται τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην.

47. Δεῖ σάμερον ἐλθεῖν ἐν ὥρᾳ.] Ἐν δέοντι καιρῷ δεῖ αὐτῆς μνησθῆναι σήμερον. Ἄλλως· δεῖ σήμερον, φησίν, κατὰ τὸν ὡρισμένον καιρὸν τῶν ἐγκωμίων ἐλθεῖν ταχέως καὶ περὶ τῆς Πιτάνης εἰπεῖν τῆς τοῦ Εὐρώτα ποταμοῦ θυγατρός· ἑαυτὸν λέγει ὁ ποιητής, ἀντὶ τοῦ σχολάσω τῷ ὕμνῳ.

48. Ἄτοι Ποσειδάονι.] Ἥτις μιγεῖσα τῷ Ποσειδῶνι Πιτάνη λέγεται τὴν ἱοπλόκαμον, ἀπὸ μέρους τὸ πᾶν, καλὴν Εὐάδνην τεκεῖν, καὶ διαλαθεῖν ἐγκυμονοῦσαν καὶ κρύψαι τὴν ὠδῖνα τὴν ἐν τῇ δοκούσῃ παρθενίᾳ. Παρθένιοι δὲ λέγονται παῖδες οἱ κρύφα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων· οὕτω που καὶ Ὅμηρος ἐν τῷ καταλόγῳ τῶν Ἀχιλλέως νηῶν φησι· (Ἰλιάδ. π, 179.)

Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευεν
Παρθένιος·

Ἄλλως· Ἄτοι Ποσειδάονι.] Πρὸς τὴν ἱστορίαν, ὅτι φησὶ τὸν Ποσειδῶνα Πιτάνῃ μιχθέντα λάθρα γεννῆσαι Εὐάδνην· ἐκ ταύτης δὲ καὶ Ἀπόλλωνος Ἴαμος, ἀφ' οὗ οἱ Ἰαμίδαι.

50. Ἰσθόστρυχον.] Μελανότριχα.

51. Κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις.] Ἤγουν συνέλαβε

δὲ ἐν τοῖς μυχοῖς τῆς γαστρὸς ἐγκυμόνησιν, σύλληψιν παρθενικὴν· ἀσάρειάν τινα ἔχει ὁ λόγος, ταύτης δὲ αἰτία ἡ διάλυσίς ἐστιν· εἰ γὰρ συνημμένος ὁ λόγος ἐλέγετο, ἦν ἂν σαφὴς ἔχων οὕτως· ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου, λέγεται συλλαβοῦσα ἐν τοῖς μυχοῖς τῆς γαστρὸς σύλληψιν παρθενικὴν τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην· κατὰ τὸν μῆνα δὲ τὸν ὡρισμένον τοῦ τόκου, ἦγουν αὐτίκα δὲ καθ' ὃν μῆνα ἔτεκεν αὐτὴν, πέμπουσα ἀμφιπόλους, ἀντὶ τοῦ προσπόλους ἤγουν δούλους, ἐκέλευσεν αὐτοῖς δηλονότι δοῦναι τὸ βρέφος τῷ ἥρωϊ τῷ Εἰλατίδῃ, ἤγουν τῷ Λιπύτῃ τῷ υἱῷ τοῦ Ἐλάτου πορσαίνειν, ἤγουν ἀνατρέφειν, αὔξειν· ἀπὸ τοῦ πόρρω πόρσω, καὶ ἀπὸ τούτου πορσαίνω, τὸ εἰς προκοπὴν ἄγω, καὶ πόρρω ποιῶ ἐκείνου, ἐφ' ᾧ ἐστιν· τοῦτο διπλῶς νόει· ἔκρυψε δὲ ἡ Πιτάνη ἐν τοῖς κόλποις τὴν παρθένιαν καὶ παρθενικὴν ὠδῖνα, ἤγουν ἣν συνέλαβεν ὠδῖνα ἔκρυψε παρθένος εἶναι δοκοῦσα· ἡ οὕτως· ἔκρυψε δὲ ἐν τοῖς κόλποις τὴν ὠδῖνα τὴν παρθενίαν τουτέστι τὴν κρυφίως γενομένην. Παρθένιοι γὰρ λέγονται παῖδες οἱ λάθρα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων οὕτω που καὶ Ὅμηρός φησι

Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευεν
Παρθένιος. (Ἰλ. π, 179.)

ἐμοὶ δὲ δοκεῖ κάλλιον παρθενίᾳ γράφειν, ἵν' εἴη σαφὴς ὁ λόγος οὕτως· ἔκρυψε δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα, ἐν τῇ παρθενίᾳ, ἐν τῷ δοκεῖν ἔτι παρθένος εἶναι· εἰ δ' ἐπ' εὐθείας τὸ παρθενίᾳ θήσεις λέγων, ἔκρυψε δὲ ἡ παρθενία τὴν ἐν τοῖς κόλποις ὠδῖνα, οὐ μόνον σαφέστερος ἂν εἴη ὁ λόγος, ἀλλὰ καὶ κατὰ σύνταξιν ἀρίστως ἔχων· οἱ δὲ γράφοντες τὸ ψαι διφθογγον, ἵνα πρὸς τὸ λέγεται συντάξωσιν, ἀγνοοῦσι τὰ μέτρα.

52. Κυρίῳ δ' ἐν μηνί.] Ὁ νοῦς· τῷ Κυρίῳ δὲ μηνὶ τοῦ τίκτειν ἀποστείλατα θεράποντας ἐκπέμπει τὸ βρέφος πρὸς τὸν βασιλέα τῶν Ἀρκάδων Λίπυτον Ἐλάτου παῖδα. Ἄλλως· κύριον εἶπε τὸν μῆνα, εἰς ὃν ἔδει τεκεῖν αὐτήν· τῷ τὸ κῦρος ἔχοντι τοῦ τόκου. —54 Ἥρωϊ πορσαίνειν.] Τὸ ἑξῆς· ἥρωϊ Εἰλατίδᾳ δόμεν ὥστε πορσαίνειν καὶ τρέφειν τὸ βρέφος.

55. Ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ.] Τὴν Φαισάναν πάντες μὲν οἱ ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν ἐξεδέξαντο, ὁ δὲ Δίδυμός φησι τῆς Ἤλιδος αὐτὴν εἶναι, καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως, ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ

τοῦ Λἰπύτου· οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι τὸ περὶ Ἀλφειοῦ οὕτως ἐπιλύονται, ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα· φέρεται γὰρ ἐξ Ἀσέας κώμης Ἀρκαδικῆς· ἢ ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐξ Ἀσέας εἰσὶ τῆς Ἀρκαδικῆς καὶ ἀντιποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. Δίδυμός φησιν, ὅτι πάντες οἱ ὑπομνηματιστάμενοι Φαισάναν φασὶν εἶναι τῆς Ἀρκαδίας πόλιν· αὐτὸς δέ φησιν εἶναι τῆς Ἠλιάδος, καὶ παρατίθεται Ἴστρον ἱστοροῦντα ἐν τῇ πέμπτῃ τῶν Ἠλιακῶν ἤτοι οὖν Πίνδαρος ψεύδεται, ἢ διὰ τὸ τὴν Πίσαν ὑπὸ τοῖς Ἀρκάσι ποτὲ γενέσθαι βασιλεύειν φησὶ τῆς Φαισάνης τὸν Λἴπυτον. Ἄλλως· ὁ νοῦς· ὅστις Λἴπυτος βασιλεύων τῆς Ἀρκαδίας καὶ ἔχων ὑφ' ἑαυτὸν τὴν Φαισάναν ἔλαχε κατοικεῖν ἐν ταῖς ἀρχαῖς τοῦ ποταμοῦ· ἄρχεται γὰρ τὰ ῥεῖθρα ἐν Ἀρκαδίᾳ, ἐν Ἤλιδι δὲ ἐκλάμπει πολύς. † Σύνταξις. Ὃς ἀνδρῶν Ἀρκάδων. Ὅστις ἦγουν ὁ Λἴπυτος, ἀνδρῶν Ἀρκάδων ἐβασίλευε κατὰ τὴν πόλιν τὴν Φαισάναν, ἔλαχέ τε, ἤγουν ἐκληρώθη, οἰκεῖν τὸν Ἀλφειόν· ἀπὸ τῆς Φαισάνης γὰρ καταῤῥεῖ ὁ Ἀλφειὸς, καταντᾷ δὲ εἰς τὴν Ἤλιν· τὸ δὲ μέσον αὐτοῦ κατὰ τὴν Ἐπίδαυρον, ἔνθα δὲ ἀνατραφεῖσα αὐτὴ, δηλονότι ἡ Εὐάδνη, ὑπ' Ἀπόλλωνος πρῶτον ἔψαυσεν Ἀφροδίτης γλυκείας, ἀντὶ τοῦ ἱμερτῆς· κλέπτουσα δὲ, ἤγουν πειρωμένη λαθεῖν ἐγκυμονοῦσα τὸν γόνον, τουτέστι τὸ σπέρμα τοῦ Θεοῦ, ἤτοι τοῦ Ἀπόλλωνος, οὐκ ἔλαθε τὸν Λἴπυτον ἐν παντὶ χρόνῳ, ἤγουν διὰ παντός.

58. Πρῶτον ἔψαυσε.] Δαιμονίως τὸ ἔψαυσεν ὡς ἐπὶ Θείας ἀφροδισίας συνόδου ἔταξε· τὸ δὲ ὅλον· διερθάρη ὑπ' Ἀπόλλωνος. Ἄλλως· τῆς γλυκείας πρῶτον τοῦ Ἀπόλλωνος συνουσίας μετέσχεν· λάθρα τεκοῦσα ἡ Πιτάνη ἀπέστειλεν εἰς Ἀρκαδίαν Λἰπύτῳ τῷ Ἐλάτου παιδί· τὸ δὲ ἐκ συντυχίας συμβεβηκὸς ἐκ προνοίας λέγει γεγενῆσθαι· τὴν γὰρ Εὐάδνην ἐκτεθεῖσαν Λἴπυτος εὑρὼν ἀνέλαβεν.

59. Οὐδ' ἔλαθεν.] Οὐκ ἠδυνήθη δὲ λαθεῖν τὸν αὐτὴν θρέψαντα Λἴπυτον δεξαμένη γόνον Θεοῦ· οὐκ ἔλαθε τὸ ἐκ Θεοῦ λαθραῖον ἀδίκημα κρύπτουσα τὸν πάντα χρόνον· ἤγνω γὰρ αὐτὴν ἔγκυον οὖσαν· Θεοῖο γόνον, τὸν ἐξ Ἀπόλλωνος γενόμενον παῖδα.

61. † Συντάξις. Ἀλλ' ὁ μὲν Πυθώναδε.] Ἀλλ' ὁ μὲν γνοῦς θυμὸν οὐ φατὸν, ἤγουν ἄῤῥητον, μέγαν ἐν τῇ ψυχῇ κατασχὼν σὺν φροντίδι ὀξείᾳ τουτέστιν ἐπιτεταμένῃ, ἀπὸ

μεταφορᾶς τῶν ὀξέων βελῶν τῶν βλάπτειν μάλιστα δυναμένων, ἀφανὴς ἐγένετο ἀπερχόμενος Πυθώναδε, ἤγουν εἰς τὴν Πυθῶνα, μαντευσόμενος περὶ ταύτης τῆς ἀφορήτου βλάβης, τουτέστι τῆς κρυφίου διακορήσεως· ἡ δὲ, ἤγουν ἡ Εὐάδνη, καταθεῖσα τὴν ζώνην αὐτῆς τὴν φοινικόκροκον, ἤγουν τὴν κρόκῳ βεβαμμένην καὶ τὴν κάλπιδα τὴν ἀπὸ ἀργύρου κατεσκευασμένην· ἔστι δὲ ἡ κάλπις ἀγγεῖόν τι ὑδροδόχον. — Ἐν Συμῷ πιέσας χόλον.] Κατὰ τὴν ψυχήν· καίτοι δεινὴν οὖσαν τὴν ὀργὴν λογισμῷ κατασχὼν καὶ πρὸ τῆς ἀληθοῦς γνώσεως οὐκ ἐκρῆναι τὸ δεινὸν βουληθείς, καί τοι καὶ πάνυ χαλεπαίνων, εἰς τὸ τοῦ Πυθίου Ἀπόλλωνος μαντεῖον ἐπορεύετο γνωσόμενος περὶ τοῦ ἀτλήτου καὶ ἀτόπου τῆς διαφορᾶς πάθους· ὀξείᾳ δὲ μελέτᾳ, τῇ μεγάλῃ φροντίδι· μελέτας γὰρ τὰς φροντίδας λέγουσιν. — Πιέσας.] Κρατήσας.

63. Ἰών.] Βαθίζων.

65. Ἀτλάτου.] Περὶ τοῦ προδεδηλωμένου ἀτολμήτου ὄντος, ἢ ἦν οὐκ ἄν τις ῥᾳδίως ἐνέγκοι διὰ τὴν ὕβριν.

66. Φοινικόκροκον.] Κοκκινόβαφον. — Ἀ δὲ φοινικόκροκον.] Ἡ Εὐάδνη· φοινικόκροκον δὲ, τὴν ἐκ φοινικῆς κρόκης ὑφασμένην.

67. Ζώναν.] Ὁ Αἴπυτος ἕως ᾤχετο πρὸς Δελφοὺς μαντευσόμενος, ἡ Εὐάδνη ἀφελομένη τὴν ζώνην τῆς γαστρὸς καὶ τὴν ὑδρίαν ἀποθεμένη ἔτεκε τὸν Ἴαμον.

68. Ἀργυρέαν.] Ἔθος δὲ ἦν ταῖς ἡρωΐσιν ἑαυταῖς ὑδρεύσασθαι, ὡς καὶ ἡ Εὐάδνη, ὅτε τὸν παῖδα ἐγέννησε· ἔθος δὲ καὶ ταῖς τικτούσαις λύειν τὰς ζώνας.

69. Λόχμας ὑπὸ κυανέας.] Τοῦ ἀνθηροῦ καὶ καταπύκνου τοῖς φυτοῖς τόπου· κυανέας, ἤτοι τὰς βαθείας ἢ παρὰ τὴν τῶν ἰῶν χροιάν. — Λόχμας ὑπὸ κυανέας.] Ἤγουν ὑποκάτω δένδρων σκιᾶς βαθείας ποιητικῶν διὰ τὴν πυκνότητα. Ἔτεκεν υἱὸν Θεόφρονα, ἤγουν ἐνθέου φρονήσεως δεκτικόν· τοῦτο δέ φησι διὰ τὴν ὕστερον ἠσκημένην αὐτῷ μαντικήν. — Κυανέας.] Ἢ τὰς σκιώδεις διὰ τὸ δάσος ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει τὴν χροιάν· Θεόφρονα δὲ λέγει τὸν Ἴαμον ὡς γινώσκοντα τὰ πάντα διὰ τῆς μαντικῆς, ὥσπερ οἱ θεοί· παρέστησεν αὐτῇ, φησὶ, καὶ τὰς Μοίρας μετὰ τῆς Εἰλειθυίας, ἵνα τὰ κάλλιστα τῷ παιδὶ ἐπικλώσωσι· τοῦτο δὲ ἐποίει σεμνύνων τὰς αὐτοῦ γονάς.

70. Τίκτε Θεόφρονα κοῦρον.] Τὸν Ἴαμον, ὅτι μάντις

τὴν τέχνην ὁ Ἴαμος· ἢ ὅτι θεῶν βουλαῖς ἐγένετο· ὁ δὲ νοῦς· ἡ δὲ Εὐάδνη τὴν ἐκ φοινικῆς κρόκης ζώνην λύσασα καὶ ἀποθεμένη δὲ καὶ τὴν κάλπιν οὕτω λοιπὸν ἔτεκεν ἐν συσκίῳ τόπῳ τὸν ἐσόμενον θεόφρονα παῖδα· λέγει δὲ τὸν Ἴαμον, ἀφ' οὗ τὸ γένος ἔχει ὁ Ἀγησίας.

71. Τᾷ μὲν ὁ χρυσοκόμας.] Τῇ Εὐάδνῃ ἀποκυούσῃ παρέστησεν ὁ χρυσοκόμης Ἀπόλλων τὴν Εἰλείθυιαν κεχαρισμένα φρονοῦσαν καὶ τὰς Μοίρας· ἡ δὲ ἔνδειξις οὐ μόνον περὶ εὐτοκίας, ἀλλὰ καὶ καλλίστης γενέσεως τοῦ παιδός. — Τῇ μέν.] Ταύτῃ μὲν τικτούσῃ ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην παρέστησεν Ἐλευθὼ, ἤγουν Εἰλείθυιαν, εὔφορον δηλονότι θεὰν τῶν τόκων. — Πραΰμητίν τ' Ἐλευθώ.] Πραεῖαν καὶ εὐμενῆ· τὴν Εἰλείθυιαν πραϋμῆτιν εἶπεν, ὅτι αἱ τίκτουσαι πρᾳότεραι γίνονται ἢ ὅτε παρθένοι εἰσίν.

72. Παρέστασέ τε.] Τοὺς συνδέσμους μεταθετέον· ὁ γὰρ λόγος οὕτως ἀπαιτεῖ· τῇ μὲν ὁ Χρυσοκόμας πραϋμῆτιν Εἰλείθυιαν παρέστασε Μοίρας τε κατὰ τὸν τόκον ὑπ' ὠδῖνος. — Πρῦμητιν.] Ἤγουν πραέα, φίλα φρονοῦσαν αὐτῇ, καὶ τὰς Μοίρας συμπαρέστησεν, ἵν' εὐδαίμων δηλονότι εἴη ὁ παῖς· ἦλθε δὲ ὁ Ἴαμος εἰς φῶς αὐτίκα ἐκ τῆς ἐπεράράστου ἐντὸς τῶν σπλάγχνων ἐγκυμονήσεως, τὸν μὲν κνιζομένα, ἀντὶ τοῦ λειπουμένη, ἀλγοῦσα, κατελίμπανεν ἐν γῇ· δύο δὲ δράκοντες γλαυκῶπες, ἤγουν λαμπροὺς καὶ στίλβοντας ἔχοντες τοὺς ὀφθαλμοὺς, κατὰ βούλησιν θεῶν ἐθρέψαντο αὐτὸν κηδόμενοι, ἤγουν ἐπιμελούμενοι, δι' ἰοῦ μελισσῶν ἀμεμφοῦς, τουτέστιν οὐ μέμψεως ἀξίου ἀλλὰ ἐπαίνου δηλονότι, ἤγουν διὰ μέλιτος· ὁ βασιλεὺς δὲ, ὁ Αἴπυτος δηλονότι, ἐπεὶ ἀφίκετο ἐκ τῆς Πυθῶνος τῆς πετραέστης, ἤγουν τῆς πετρώδους, τῆς τροχείας, ἐλαύνων, τοὺς ἵππους δηλονότι, ἅπαντας τοὺς ἐν τῷ οἴκῳ ἠρώτα τὸν παῖδα, ὃν ἡ Εὐάδνη ἔτεκε· τοῦ Φοίβου γὰρ πατρὸς ἔφη αὐτὸν γεγονέναι, υἱὸν δηλονότι, μάντιν δὲ ἔσεσθαι τοῖς ἀνθρώποις ἔξοχον περισσῶς πάντων τῶν ἀνθρώπων, ἤγουν ὑπὲρ πάντας ἀνθρώπους· οὐδέποτε ἐκλείψειν, ἤγουν σβεσθήσεσθαι, ἐκποδὼν γενήσεσθαι τὴν γενεὰν αὐτοῦ.

73. Ἦλθε δ' ὑπὸ σπλάγχνων.] Ὁ νοῦς τοιοῦτος· ἐγεννήθη δὲ ἐξ ἐπεράστου ὠδῖνος ὁ Ἴαμος, καὶ ἦλθεν εἰς τὸ φῶς εὐθέως· τοῦτον οὖν τίκτουσα καὶ ἐπιλυπουμένη καταλέλοιπεν ἐπὶ τῇ γῇ ἡ Εὐάδνη· δύο δὲ αὐτὸν φοβερώτατοι δράκοντες θεῶν βουλήσει ἀνέθρεψαν ἀβλαβῆ ἰὸν προσφερώμενοι,

НБ ОНУ імені І.І. Мечникова

ἵνα λέγῃ τὸ μέλι· ἡ δευτέρα ὑπὸ ἀντὶ τῆς μετὰ, ἡ πρώτη δὲ ὑπὸ ἀντὶ τῆς ἀπό. — Ὑπὸ σπλάγχνων.] Ἦγουν ἐν τῇ κνηδνί· ἐν τούτῳ γὰρ τὸ τῆς γαστρὸς μέρει ἐστὶ τὸ ἔμβρυον· ἢ τὸ σπλάγχνων ἀντὶ τοῦ γαστρὸς ἁπλῶς.

74. Ὠδῖνος ἐρατῆς.] Ἤτοι γέννας ἐπιθυμητῆς, ἢ διότι θεοῦ παῖδα ἐγέννα, ἢ ὅτι πᾶσαι ἐπιθυμοῦσι τεκεῖν καὶ τῶν ἐντεῦθεν ἀπηλλάχθαι κακῶν.

75. Ἐς φάος αὐτίκα.] Εὐθέως· ἀκολούθως, ὡς ἀπὸ εὐμενεστάτης Εἰλειθυίας, ῥᾳδίαν καὶ ἄμοχθον τὴν ὠδῖνα ἐποιήσατο. — Τὸν μὲν κνιζομένα.] Δοκεῖ τὸν κνιζομένα ἐναντίον εἶναι πρὸς τὴν τῆς Εἰλειθυίας εὐμένειαν· καὶ ἴσως τὴν μετρίαν αἴσθησιν τῆς ἀλγηδόνος ὑποφαίνει κνισμὸν ὀνομάζων· ἡ κνιζομένη, λυπουμένη· ἤλγει μὲν γὰρ ὡς μήτηρ στέργουσα τὸ τέκνον· κατελείπετο δὲ αὐτὸ ἐπὶ τῆς ἐρημίας, βουλομένη λαθεῖν· κνιζομένη, λυπουμένη ἐπὶ τοῦ μὴ δύνασθαι τρέφειν αὐτόν.

76. Γλαυκῶπες αὐτόν.] Ἡ πυρῶδες· τὸ γὰρ γλαυκὸν ἐπὶ τοῦ πυρώδους ἔθεσαν πολλοὶ καὶ τὴν σελήνην Γλαυκὼ λέγουσιν· ἢ ἀπὸ τοῦ γλαύσσειν. — Γλαυκῶπες.] Εὐόφθαλμοι.

77. Δαιμόνων βουλαῖσιν.] Ἤτοι καθόλου τῶν θεῶν ἀκουστέον, ἢ εἰς Ἀπόλλωνα καὶ Ποσειδῶνα ἀνακτέον, τὸν μὲν πατέρα τὸν δὲ προπάτορα.

78. Ἀμεμφεῖ.] Ἐπαινετῷ. — Ἀμεμφεῖ ἰῷ.] Ἀμεμφῆ ἰὸν εἶπε τὸ μέλι τὸ σκληρότερον· ὁ γὰρ ἰὸς μοχθηρίαν τινὰ ὑποφαίνει· ὡς ἐπὶ δρακόντων· ὃς τὸν ἰὸν εἶπεν· ἀποβάλλει γὰρ ὁ δράκων ἰόν· βουλῇ δὲ θεῶν ὡς μελισσῶν ἄνθος ἡδὺ γίνεται καὶ οἷον ὡς μέλι· ἐπειδὴ δράκοντές εἰσιν οἱ τρέφοντες, καὶ οὗτοι εἰώθασιν ἐμεῖν τὸν ἰόν, ὥστε τοὐναντίον ἐργάζεσθαι τὸν τῶν δρακόντων ἰὸν ὥπερ εἰώθασι κατὰ φύσιν, τοῦ θεοῦ εἰς τοῦτο παραστήσαντος τὴν φύσιν τῶν δρακόντων· ἢ ἰῷ μελισσῶν, τῷ μέλιτι διὰ τὴν δρυμήτητα καὶ κατὰ μεταφοράν· ἀμεμφεῖ ἰῷ μελισσῶν, ἤτοι ἀμέμπτῳ ἰῷ καὶ παρὰ τῶν μελισσῶν, ἤτοι ἁπαλωτέρῳ καὶ γλυκυτέρῳ. Ἄλλως· ἠστειεύσατο εἰπὼν ἀντὶ τοῦ ἰοῦ μέλι προιέναι· τὸ δὲ σημεῖον χ'· ὅτι ἰὸν μελισσᾶν εἶπε τὸ μέλι διὰ τὸ ἀφιέσθαι ὑπ' αὐτῶν· φησὶ δὲ τὸν Ἴαμον ὑπὸ δρακόντων μέλιτι τραφῆναι. — Εἰκότως εἶπε τὸ ἀμεμφεῖ ἰῷ μελισσᾶν· ὁ γὰρ τῶν ὄφεων ἰὸς μεμπτὸς διὰ τὸ φθοράν ἐργάζεσθαι.

79. Καδόμενοι.] Φροντίζοντες. — Βασιλεὺς ὁ' ἐπεὶ πε-

τραέσσας.] Τῆς τραχείας· τὸ δὲ ἑξῆς· πετραέσσας Πυθῶνος· ὁ δὲ νοῦς ἐπειδὴ οὖν ἦλθεν ἐκ τοῦ μαντείου ὁ βασιλεὺς Αἴπυτος, ἀνήρετο πάντας τοὺς ἐν τῇ οἰκίᾳ περὶ τοῦ γεννηθέντος παιδὸς ὑπὸ τῆς Εὐάδνης.

82. Μὴ λάθῃς εἰς τὸ παῖδα ἔξωθεν τὸ διὰ, ἀλλ' ὥσπερ ἁμὲν στερούμαί σε πλοῦτον καὶ ἀφαιροῦμαί σε οἰκίαν, καὶ ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἔρομαί σε λόγον. Εὐριπίδης· (Φοίν. 562.) Ἀγ' ἣν ς' ἔρομαι δύο λόγω· τὸ δὲ εὔχοντο ἀντὶ τοῦ διεβεβαιοῦντο, ἐπεὶ καὶ ὁ καυχώμενος διαβεβαιοῦται τοῦτο ὃ καυχᾶται· ἡ εὔχοντο ἀντὶ τοῦ μετὰ τῆς πρὸς Θεοὺς εὐχῆς διεβεβαιοῦντο· τὸ δὲ πεμπτέον γεγενημένον ἀντὶ τοῦ πέντε ἡμέρας ἔχον μετὰ τὸ γεννηθῆναι· ἔστι δὲ ἀπὸ τοῦ ποιητοῦ λέγοντος· πέντε τούτων ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι ἐκεῖνοι οὔτε ἀκοῦσαι οὔτε εἰδεῖν διεβεβαιοῦντο· τὸ σχίνῳ ἐνταῦθα καὶ τὸ βατίᾳ καταχρηστικῶς εἶπε· σχῖνος γὰρ τὸ λεγόμενον ἰδιωτικῶς βρύλον καὶ ἡ τούτων συναγωγή· ἐνταῦθα δὲ τῷ σχίνῳ καὶ βατίᾳ ἀντὶ τοῦ δασεῖ νόει, ἢ διότι ἐν τοῖς βάτοις τὰ ῥόδα καὶ τὰ ἴα εὑρίσκεται καὶ ἐν ταῖς σχίνοις· σέον δὲ ἁρῶς εἰπεῖν, ἤτοι ψιλῶς βεβρεγμένος, ἄβρον εἰπε πρὸς τὸ σῶμα.

84. Περὶ Θνατῶν.] Περισσῶς ὑπὲρ πάντας ἀνθρώπους· ἔλεγε γὰρ αὐτὸν ἐκ πατρὸς Ἀπόλλωνος γεγονέναι καὶ περισσῶς ὑπὲρ πάντας ἀνθρώπους γενέσθαι μάντιν, καὶ μηδέποτε αὐτοῦ τὸ γένος διαλείπειν. Ἄλλως· τὸ ἔφη ἀπὸ κοινοῦ, τὴν μαντείαν οὐδέποτε ἐκλείψειν τὴν γενεὰν αὐτοῦ διὰ τὸ ἀπ' αὐτοῦ τοὺς Ἰαμίδας εἶναι.

87. Ὡς ἄρα μάνυεν.] Οὕτως ἄρα ἐδήλου· οἱ δὲ, ἤμουν οἱ ἐν τῷ εἶκω, οὐτ' οὖν ἀκοῦσαι οὔτε εἰδεῖν τοῦτον εὔχοντο, ἤγουν ἠρνοῦντο μετὰ καταρῶν, καὶ ταῦτα πεμπταῖον, ἤγουν πέντε ἡμερῶν γεγενημένον, τουτέστιν ὄντα. — Ἀλλ' ἐγκέκρυπτο.] Ὁ ἀλλὰ ἀντὶ τοῦ καί· ἤγουν· καὶ γὰρ ἐγκέκρυπτο ἐν σχίνῳ καὶ ἐν βατίᾳ, ἤγουν βάτῳ ἀπειράτῳ, τουτέστιν ἀψηλαφήτῳ, ἀψαύστῳ, διὰ τὰς ἀκάνθας. — Τοὶ δ' οὔτ' ὦν.] Οἱ κατ' οἶκον τοῦ Αἰπύτου θεράποντες εἶπον· τῷ γὰρ εὔχοντον τοῦ ἐαντὶ εἶπον οἱ Λάκωνες χρῶνται. — Οὔτ' ὦν ἀκοῦσαι.] Ἀντὶ τοῦ ἔλεγον μήτε ἀκηκοέναι παιδὸς μήτε ἰδεῖν παῖδα ἤδη πέντε ἡμερῶν διελθουσῶν τῆς γεννέσεως τοῦ παιδός.

88. Οὔτ' ἰδεῖν εὔχοντο ἕως τοῦτ' ὄνομ' ἀθάνατον.] Ὁ νοῦς· ἔκειτο δὲ ὁ παῖς βεβρεγμένος καὶ κεκαλυμμένος ταῖς

τῶν ἴων ἀκτῖσι καὶ καταδεδροσισμένος· διόπερ καὶ τὴν κλῆσιν τὴν τοῦ Ἰάμου αὐτῷ ἡ μήτηρ ἔθετο ἀπὸ τῆς τῶν ἰῶν αἰτίας· ἀθάνατον δὲ εἶπεν ὀνομάσθαι αὐτὸν ὡς ἀπὸ τῶν χρησμῶν· εἶπε γὰρ ἀνωτέρω, οὐδέποτε ἐκλείψειν τὴν γενεὰν αὐτοῦ. — Εὔχοντο.] Ὤμνυον. — Πεμπταῖον γεγενημένον.] Τοῦτο ὡς ἀπὸ τῶν οἰκετῶν· δίδομεν γὰρ αὐτοῖς τὸ εἰδέναι, εἰ καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν, ἀφ' οὗ γέγονεν, ἐπίστανται· ἀλλὰ ῥητέον ἐκτοῦ ποιητικοῦ προσώπου τὸ τοιοῦτον λέγεσθαι. οἱ οὖν οἰκέται τοῦ Αἰπύτου ἐρωτώμενοι ἔλεγον μήτε ἑωρακέναι μήτε ἀκηκοέναι· εἶτα ὁ ποιητὴς ἀφ' ἑαυτοῦ· καὶ ταῦτα πεμπταῖον ἤδη ὂν τὸ παιδίον.

90. Βατείᾳ τ' ἐν ἀπειράτῳ.] Βάτειαν εἶπε τὴν βάτον, ὅ ἐστιν ἀκάνθης εἶδος, καὶ τὸν Ἴαμον ἐτυμολογεῖ· ἀπειράτῳ δὲ, ἐν ὄρυμῷ μεγάλῳ, ἀπειράτῳ ὑπὸ πολλῶν — Βατείᾳ τ' ἐν ἀπειράτῳ.] Ἣν οὐκ ἔστι διὰ τὰ κέντρα διαπερᾶσαι, ἢ τὴν πολλὴν καὶ δύσβατον μετασχηματίσας βάτειαν εἶπεν· οἷον ἐν ὄρυμῷ μεγάλῳ.

91. Ἀκτῖσιν ἰῶν.] Ἤγουν λαμπρότησι, διαυγείαις ξανθαῖς καὶ καταπολὺ πορφυροῖς, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ διαυγῶν ἰῶν ξανθῶν καὶ καταπολὺ πορφυρῶν βεβρεγμένος, τουτέστι δεδροσισμένος τὸ τρυφερὸν σῶμα· διὸ καὶ τοῦτο, ὃ ἐκαλεῖτο δηλονότι, τὸ Ἴαμος· ἀπὸ γὰρ τῶν ἰῶν Ἴαμος ἐκλήθη· διέδωκεν ἡ μήτηρ αὐτοῦ καλεῖσθαι αὐτὸν κατὰ πάντα τὸν ἑξῆς χρόνον, ἀθάνατον, ἀντὶ τοῦ ἀθανάτως. — Παμπορφύροις ἀκτῖσιν.] Ζηνόδοτος γράφει.... ἀντὶ τοῦ βεβρεγμένος· ἀκτῖνας λέγει τὰς ἀποπιπτούσας ἀπὸ τῶν ἀνθέων ὀρόσους· (Ἰλιάδ. ξ, 351.)

Στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι·

ἢ τὴν λαμπηδόνα τῶν ἀνθέων ἀκτῖσι δὲ παμπορφύροις εἶπεν, ἐπειδὴ τῶν ἰῶν τὰ μὲν ὑπολευκίζει, τὰ δὲ πορφυρᾶ ἐστιν.

93. Τὸ κατεφάμιξεν.] Ἀντὶ τοῦ διὰ τὸ τοῖς ἰοις δροσίζεσθαι αὐτὸν ἀστείως καὶ Ἴαμον καλεῖσθαι. — Κατεφάμιξεν.] Ἐκήρυξεν. — Καλεῖσθαι.] Ἀπὸ τοῦ ἀμᾶν, ὃ δηλονότι τὸ θερίζειν, ἅ, ὅ ἐστιν ἄνθη, λέγεται Ἴαμος.

95. Τοῦτ' ὄνυμ' ἀθάνατον.] Ἀντὶ τοῦ ὄνομα τὸ ἀθάνατον, ὅτι διαθόητος ἦν· ἢ ὅτι ἐξ αὐτοῦ πολὺ γένος ἐγένετο τῶν Ἰαμιδῶν, ἢ ὅτι περιθόητος ἦν μάντις καὶ ἀεὶ ὀνομαζόμενος· διὰ τὸ ἀπ' αὐτοῦ κεκλῆσθαι τοὺς Ἰαμίδας. — Ἀθάνατον.] Αἰωνίως δηνεκῶς. — Τερπνᾶς δὲ ἥβας.] Ὅτι ἐν ταύτῃ

μάλιστα τὰ ἡδέα τοῖς ἀνθρώποις γίνεται. Ἄλλως. Τερπνὰς δ' ἐπεὶ χρυσοστεφάνοιο.] Ὁ νοῦς· ἐπειδὴ δὲ ἐν ἀκμῇ ἡλικίας ἐγένετο, καὶ τὸν καρπὸν τοῦ χρόνου ἤνεγκε, λέγει δὲ τὰ γένεια, τότε δὴ παραγενόμενος εἰς τὴν Ἐπίδαυρον ηὔξατο· ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος, ὧν ἡ μὲν Ἀρκαδία πρὸς τὴν ἀρχὴν, ἡ δὲ Ἦλις τὰ πρὸς ταῖς ἐκβολαῖς οἰκεῖται τοῦ ποταμοῦ· ἐνταῦθα οὖν εἰς τὴν Ἐπίδαυρον ἐπεκαλέσατο τὸν τε ἑαυτοῦ πρόγονον Ποσειδῶνα καὶ τὸν τοξοφόρον καὶ ἔφορον τῆς Θείας Δήλου τὸν Ἀπόλλωνα τὸν ἑαυτοῦ πατέρα· καλῶς εἶπε τερπνὴς χρυσοστεφάνοιο καρπόν· ἐν γὰρ τῇ ἀκμῇ τοῦ σώματος οἱ ἄνδρες τὰ τέλεια φρονοῦσι· τερπνὴν δὲ καὶ εὐστέφανον ἐκάλεσε τὴν ἀκμὴν τοῦ σώματος διὰ τὸ ἐπίχαρι αὐτῆς. Καρπὸν Ἥβας, τῆς Διὸς λέγει, ὡς ἤδησεν· Ἀλφεῷ μέσῳ· ὁ Ἀλφειὸς ἐκ τῆς Ἀρκαδίας ῥέει ἐπὶ τὴν Ἦλιν κατελθών· ἐν τῷ ποταμῷ ὑπαίθριος, ἀντὶ τοῦ ὑπὸ τὸν ἀέρα ἐν νυκτὶ ἐκάλεσε τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πρόγονον, ἀντὶ τοῦ πάππον κατὰ μητέρα· εἶπε γὰρ ἐν τοῖς προτεθεῖσιν, ὅτι τῇ Πιτάνῃ τῇ νύμφῃ ἐμίγη ὁ Ποσειδῶν, ἐξ ἧς Εὐάδνη, καὶ ἀπὸ Εὐάδνης καὶ Ἀπόλλωνος Ἶαμος. — Τερπνὰς δ' ἐπεί.] Ἐπεὶ εἰς τοῦτο ἡλικίας ἦλθεν, ὡς γένειον ἀνθῆσαι ξανθόν· τὸ δὲ τερπνὰς ἵπε διὰ τὸ τοὺς ἐν τοιαύτῃ ἡλικίᾳ ὄντας ὡραίους φαίνεσθαι· ὅσον δὲ εἰπεῖν χρυσοστέφανον πρὸς τὸ καρπὸν, χρυσοστεφάνοιο εἶπε πρὸς τὸ ἤδης· ἐπεὶ δὲ ἔλαβεν ὁ Ἶαμος καρπὸν ἥβης ἡδείας, πάγκαλον προτείνουσης στέφανον, ἤγουν γένεια, ἃ προίτειναν ἡλικίας ἀκμὴ τερπνὴ παγκάλως δι' αὐτῶν στεφανοῦσα, τουτέστιν ἐπειδὴ εἰς ἀκμὴν ἡλικίας ἔφθασε τερπνῆς, καὶ γενείοις παγκάλως ἐστεφανώσατο, καταβὰς ἐν τῷ μέσῳ τοῦ Ἀλφειοῦ, ἤγουν κατὰ τὴν Ἐπίδαυρον· ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος· ἐκάλεσε τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πάππον τὸν εὐρυβίαν, ἤγουν τὸν καταπολὺ ἰσχυρὸν, καὶ τὸν σοφὸν, ἤγουν τὸν εὔφρονα, τὸν ἡγεμόνα τῆς Δήλου νήσου τῆς Θεοδωμήτου τὸν τοξοφόρον, τουτέστι τὸν Ἀπόλλωνα τὸν πατέρα αὐτοῦ, αἰτῶν αὐτοὺς ἐν νυκτὶ ὑπαίθριος, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐν ἀσκέπῳ τόπῳ, τιμήν τινα τῇ ἑαυτοῦ κεφαλῇ, περιφραστικῶς ἀντὶ τοῦ ἑαυτῷ, λαότροφον, τουτέστιν ὑπὸ τοῦ λαοῦ αὐξανομένην.

96. Χρυσοστεφάνοιο.] Τῆς προξενούσης χρυσοῦν στέφανον.

99. Εὐρυβίαν.] Μεγαλοδύναμον.

101. Θεοδωμήτας λέγει, ἢ ἣν ἔχουσιν οἱ θεοὶ δόμον, Ἀ-

πάλλων καὶ Ἄρτεμις, ἡ τῆς ὑπὸ θεῶν κατασκευασθείσης· ὄφαλον γὰρ οὖσαν Ζεὺς ἀνῆκεν εἰς φῶς· Θεόδμητον ἴσως λέγει αὐτήν, διὰ τὸ πλανωμένην στῆναι ὑπὸ τῆς γεννήσεως τοῦ Ἀπόλλωνος. — Σκοπόν.] Φύλακα.

102. Λαότροφον.] Τὴν διατρέφουσαν αὐτὸν ἐκ τοῦ λαοῦ ἐπιστήμην ἑαυτῷ αἰτῶν· λέγει δὲ τὴν μαντικήν· οἱ γὰρ τοιοῦτοι ὑπὸ τοῦ πλήθους τρέφονται μαντευόμενοι· τινὲς δὲ λαοτρόφον φασὶ τὴν βασιλείαν τὴν τοὺς λαοὺς τρέφουσαν· λαότροφον οὖν προπαροξυτόνως τὸν διὰ τῆς μαντικῆς τρεφόμενον, παροξυτόνως δὲ τὴν τρέφουσαν τὸν λαόν, τουτέστι τὸν ὄχλον. Ἄλλως· λαοτρόφον τιμάν· βασιλικὴν ἀρχήν· ᾧ καὶ Ὅμηρος ὁμολογῶν τοὺς βασιλέας ποιμένας λαῶν ὀνομάζει· αἰτεῖ οὖν τιμήν τινα τὴν ἀπὸ πολλῶν, ἐν πολλοῖς ὄχλοις, ὑπάρξαι αὐτοῦ τῇ κεφαλῇ· τιμὴν ὑπὸ τῶν λαῶν καὶ αὐξανομένην καὶ τρεφομένην. — Λαοτρόφος, ὁ λαὸν τρέφων· λαότροφος δὲ προπαροξυτόνως, ὁ ὑπὸ λαοῦ τρεφόμενος.

104. Νυκτὸς ὑπαίθριος.] Τοῦτο συναπτέον τῷ πρώτῳ· καταβὰς ἐν μέσῳ τῷ Ἀλφειῷ νυκτὸς ὑπαίθριος· οἰκεῖος δὲ καὶ ὁ καιρὸς πρὸς θείαν ἐπίκλησιν· κύχετο οὖν, φησίν, αἰτῶν καὶ παρακαλῶν νυκτὸς ὑπαίθριος· ἀρχαιότατος δὲ ὁ τρόπος τῆς εὐχῆς. — Νυκτὸς ὑπαίθριος.] Δίχα τινὸς ἐν τῇ κεφαλῇ καλύμματος· οὕτω γὰρ ἦν ἔθος εὔχεσθαι· τὸ νυκτὸς δὲ πρὸς τὸ καταβὰς συνάπτεται· μὴ λάθῃς δὲ ἔξωθεν ἐπί, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ καταβάς· νυκτὸς γὰρ ἦν ἡ τοιαύτη κατάβασις.

105. Ἀρτιεπὴς πατρία ὄσσα.] Ἡ ἀληθὴς καὶ ἀψευδής· ἡ δὲ ἀρτιεπὴς καὶ ἀληθὴς φωνὴ τοῦ πατρὸς αὐτοῦ πρὸς τὰς εὐχὰς ἀντεφθέγξατο· ὄσσα δὲ ἡ φωνὴ σαφὴς καὶ μηδὲν ἔχουσα ἀποκεκρυμμένον, ὥσπερ οἱ σεισμοί. — Ἀρτιεπής.] Ἡ ἄρτια καὶ ἀληθῆ λέγουσα. (Αἰσχύλ. Προμ. 1032.)

Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταμαι στόμα

Τὸ Θεῖον.

τὸ πατρία ὄσσα ἀντὶ εὐθείας ληπτέον, ἵν' ᾖ· ἀντεφθέγξατο ἡ πατρικὴ ὄσσα ἡ ἀρτιεπής, ἤγουν παραυτίκα τῶν ἐκείνου λόγων· τὸ δὲ μετάλλαξέν τέ μιν διὰ μέσου, ἀντὶ τοῦ ἠρεύνα ὅτου χάριν αὐτὸν ἐπεβοήσατο· τὸ δὲ ἀντεφθέγξατο πρὸς τὸ ὄρσο ἔχει τὴν δύναμιν· πάγκοινον δὲ τὸν χῶρον διὰ τὴν ἐν αὐτῷ ὕστερον συμβᾶσαν πανήγυριν τῶν Ὀλυμπίων.

† Σύνταξις· ἀντεφθέγξατο δὲ αὐτῷ χρηματισμὸς πατρικὸς ἀρτιεπὴς, ἤγουν ἀληθῆ χρηματίζων, μετάλλαξέ τε αὐτὸν,

ἤτοι ἐζήτησε, τουτέστιν καὶ ἐπεστράφη αὐτοῦ· ἔστι δὲ ὁ λόγος πρωθύστερος· ὤφειλε γὰρ οὕτως· ἐζήτησε δὲ αὐτὸν, ἤγουν ἐπεστράφη αὐτοῦ χρησμὸς τοῦ πατρὸς ἀψευδῆ χρηματίζων, καὶ ἀντεφθέγξατο· ὅρσο, τέκνον, ἤγουν διεγέρθητι, κινήθητι ὄπισθεν τῆς φήμης, ἤγουν τοῦ ἐμοῦ χρηματισμοῦ, τῆς ἐμῆς φωνῆς, ἐλθεῖν ὧδε εἰς τὴν χώραν τὴν πάγκοινον, ἐσομένην δηλονότι· τίνα δὲ ταύτην τὴν χώραν λέγει, ἐν τῷ ἐπαγομένῳ λόγῳ δείκνυσιν· ἐπάγει γάρ· ἵκοντο δὲ, ἀφίκοντο δὲ ἐπὶ τὴν πέτραν τοῦ Κρονίου λόφου τοῦ ὑψηλοῦ τὴν ἠλίβατον, ἤγουν τὴν μετέωρον καὶ ὀρθίαν, τουτέστι τὴν Ὀλυμπίαν, ὅπου παρέσχεν αὐτῷ, τῷ Ἰάμῳ δηλονότι ὁ Ἀπόλλων θησαυρὸν μαντείας διπλοῦν, τότε μὲν φωνὴν ἀκούειν αὐτοῦ, δηλονότι τοῦ Ἀπόλλωνος, ψευδέων ἄγνωστον, ἤγουν οὐ γινώσκουσαν ψεύδη, ἐνεργιτικῶς· εἰ γὰρ ἐπὶ παθητικῆς ἐλέγετο σημασίας, δοτικῇ ἂν συνετάττετο· ὅταν δὲ ἐλθὼν ὁ Ἡρακλῆς ὁ θρασυμήχανος, ἤγουν ὁ γενναῖα μηχανώμενος, τὸ βλάστημα τὸ σεβάσμιον τῶν ἀπὸ τοῦ Ἀλκαίου, τοῦ Ἀμφιτρίωνος, ἑορτήν τε τοῦ πατρὸς αὐτοῦ κτίσῃ, ἤγουν συστήσῃ, πλειστόμβροτον, ἤγουν πλείστων ἀνθρώπων συγκροτουμένην, καὶ νόμον μέγιστον ἀγώνων, θείη δηλονότι· οὐ γὰρ δύναται τὸ κτίσῃ ἀπὸ κοινοῦ λέγεσθαι, συνυπακούεται δὲ τὸ οἰκεῖον κατ' ἀναλογίαν τοῦ προῤῥηθέντος· ἐν βωμῷ Διὸς ἀκροτάτῳ, ἀντὶ τοῦ ὑψηλοτάτῳ· τότε δὴ προσέταξε τῷ Ἰάμῳ ποιῆσαι χρηστήριον, ἤγουν μαντεῖον· ἀφ' οὗ χρόνου καταπολὺ δεδοξασμένον ἐστὶ κατὰ τοὺς Ἕλληνας τὸ γένος τῶν Ἰαμιδῶν, ἤγουν τῶν ἀπὸ τοῦ Ἰάμου καταγομένων, ἀφ' οὗ ἀπὸ κοινοῦ, ὄλβος, εὐδαιμονία ἠκολούθησεν, αὐτῷ δηλονότι.

106. Μετάλλασέν τέ μιν.] Ἐὰν μὲν ἐπὶ τοῦ Ἀπόλλωνος, νοεῖσθαι δεῖ οὕτως· ἐπεζήτησέ τε αὐτὸν καὶ ἐν φροντίδι ἔσχεν, ὅπως ἂν τὰ μέλλοντα προλέγειν παράσχοι αὐτῷ· ἐὰν δὲ ἐπὶ τοῦ Ἰάμου, ὅτι τῆς φωνῆς ἀκούσας τοῦ Ἀπόλλωνος ἐπεζήτησεν αὐτὸν, ὥστε καὶ κατ' ὄψιν αὐτὸν εὐτυχῆσαι τῆς θείας τοῦ θεοῦ· τὸ δὲ μετάλλασεν ἐὰν λάβωμεν ἀντὶ τοῦ ἀνηρώτησεν, ἀκύρως κεῖται· μεταλλῆσαι γάρ ἐστι τὸ ζητῆσαι ὡς ἀπὸ τῶν μετάλλων· Ἄλλως. — Μετάλλασέν τέ μιν.] Ἰδίως κέχρηται τῇ λέξῃ· μεταλλῆσαι γάρ ἐστι τὸ ζητῆσαι ἀπὸ τῶν μετάλλων νῦν δὲ ἐπ' οὐδενὸς τοιούτου τέταχεν, ἀλλ' ἀντὶ τοῦ ἐφθέγξατο καὶ προσεῖπεν αὐτὸν καὶ οἱονεὶ ἐφιλοφρονήσατο· ἔνιοι δὲ οὕτως· ἐπεὶ ἀφανὴς ἦν ὁ Ἀπόλλων

τῷ Ἴαμῳ, μόνῃ δὲ φωνῇ προσεῖπεν αὐτὸν, ἐφθέγξατο μὲν ὁ Ἀπόλλων, ὁ δὲ Ἴαμος ἐζήτησε τὸν ῥηθεξάμενον τίς ἦν· τὸ δὲ ἐξῆς λεγόμενον ἐφθέγξατο. Ὄρσο τέκνον ἀὐτρο πάγκοινον ἐς χώραν· ταῦτα παρὰ Ἀπόλλωνος πρὸς Ἴαμον· ἄγε δὴ, ἀνίστασο πατ, ἀπέλθωμεν εἰς τὴν ἐσομένην ὕστερον πολύκοινον καὶ πολυπληθῆ χώραν, λέγει δὲ τὴν Ὀλυμπίαν· ὡς δὲ Θεὸς μάντις ἀκριβὴς ἐστιν εἰς τὰ μέλλοντα.

107. Πάγκοινον χώραν.] Τὴν Ἰλιάδα, ὅτι πολλοὶ ξένοι ἐκεῖσε ἤρχοντο ἀγωνισόμενοι.

108. Φάμας ὄπισθεν.] Τῇ ἐμῇ φωνῇ ἐπικατακολούθει. Ὁμηρικῶς δέ, Χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς· (Ἰλιάδ. υ, 131.) τῆς ἐμῆς φωνῆς ὄπισθεν· καθηγήσομαι μὲν ἐγὼ, σὺ δὲ ἀκολουθήσεις ἐς τὴν ἐσομένην πάγκοινον χώραν τὴν Ὀλυμπίαν.

109. Πέτραν ἀλίβατον.] Τὴν ὑψηλὴν, καὶ ἤτοι ἐφ' ἧς βαίνοντά ἐστιν ἁλιτεῖν διὰ τὸ ὕψος, ἢ ἐφ' ἧς ἀνατέλλων πρῶτον ὁ ἥλιος βαίνει· ὁ δὲ νοῦς· ὅρμησον, ὦ τέκνον, καὶ ἐλθὲ εἰς τὴν πολύκοινον ἐσομένην χώραν, κατακολουθῶν τῇ ἡμετέρᾳ φωνῇ· παρεγένετο δὲ εἰς τὴν ὑψηλὴν πέτραν τοῦ Κρονίου, ἐν ᾗ Κρονίῳ παρέσχεν αὐτῷ ὁπλοῦν θησαυρὸν μαντείας.—Πέτραν.] Τὰν ἐν Ὀλυμπίᾳ λόφον φησίν.

111. Θησαυρὸν δίδυμον.] Ἕνα μὲν τὸ κατὰ τὸ παρὸν εὐθέως τότε φωνὴν ἀκούειν ψευδέων ἀνεπίγνωστον, οἷον ἀληθῆ, ὕστερον δὲ καὶ παρὰ τῷ βωμῷ τοῦ Διὸς μαντεύεσθαι ἐκ τῆς τοῦ πυρὸς ἀναδόσεως. Ἄλλως· ἔνθα οἱ ὦπασε θησαυρὸν δίδυμον ἕως τὸ βωμῷ.] Ὁ νοῦς· ἐδίδου δὲ ὁ Ἀπόλλων τῷ Ἴαμῳ δίδυμον θησαυρὸν τῆς μαντείας, τότε μὲν φωνῆς κατακούειν ἀληθοῦς, ὅτε δὲ ὁ ἰσχυρὸς Ἡρακλῆς, τὸ τῶν Ἀλκαιδῶν βλάστημα, τύχῃ ἐλθὼν εἰς Ὀλυμπίαν καὶ κτίσῃ τῷ αὐτοῦ πατρὶ περίβλεπτον καὶ πολυάνθρωπον πανήγυριν καὶ τὸν νόμον καὶ θεσμὸν τῶν μεγίστων Ὀλυμπιακῶν ἄθλων ἐπὶ τῷ τοῦ Διὸς ὑψηλοτάτῳ βωμῷ, τότε Ἴαμον ἐκέλευσεν ὁ Ἀπόλλων χρηστήριον θέσθαι καὶ μαντεῖον τὸ διὰ τῶν θυμάτων. Ἄλλως· μαντεῖον ἦν ἐν Ὀλυμπίᾳ, οὗ ἀρχηγὸς γέγονεν Ἴαμος τῇ διὰ τῶν ἐμπύρων μαντείᾳ· ἣ καὶ μέχρι τοῦ νῦν οἱ Ἰαμίδαι χρῶνται· ἀναλαμβάνοντες γὰρ τὰ τῶν ἱερείων δέρματα ἐπιτιθέασιν εἰς τὸ πῦρ καὶ οὕτω μαντεύονται· ἔνιοι δὲ οὕτω φασί· τεμνομένοις δίρμασι μαντεύεσθαι αὐτούς· λαμβάνοντες γὰρ τὰς βύρσας τῶν ἱερείων ἔτριζον, καὶ κατὰ τὰ σχίσματα

ἐμαντεύοντο ἀφορῶντες εἰς τὴν τομήν, πότερα εὐθεῖά ἐστιν ἢ οὔ· τότ' αὖ χρηστήριον θέσθαι· τὸ διὰ τῶν ἐμπύρων μαντεύεσθαι· οὕτω δὲ μέχρι νῦν οἱ Ἰαμίδαι μαντεύονται, ἔμπυρα θύματα τιθέντες ἐν τῷ βωμῷ. Ἡρακλείδης δὲ ἐν τῷ περὶ χρησμῶν τοῖς δέρμασί φησιν αὐτοὺς μαντεύεσθαι ἀφορῶντας τὰς σχισμὰς τῶν δερμάτων, πότερον εὐθεῖαί εἰσιν ἢ οὔ.

113. Ψευδέων ἄγνωστον.] Ἀληθῆ· ἄγνωστος δὲ ψευδέων ἢ τῶν Θεῶν φωνή· ἄλλοι δέ φασιν, ὀρνέων.

115. Σεμνὸν Θάλος.] Τὸ βλάστημα τῶν Ἀλκαιδῶν· φησὶ δὲ τὸν τοῦ Ἀμφιτρύωνος· οὗτος γὰρ Ἀλκαίου παῖς· ἔνιοι μέντοι αὐτὸν τὸν Ἡρακλέα Ἀλκαῖον καλεῖσθαι βούλονται, μετωνομάσθαι δὲ Ἡρακλέα Ἀπόλλωνος τοῦτο χρησμοδοτήσαντος. Δίδυμός φησι μὴ σώζεσθαι τὸν λόγον· τὸν γὰρ Ἡρακλέα Θάλος εἶπεν Ἀλκαΐδᾶν ἀπὸ Ἀμφιτρύωνος, ὃς ἦν Ἀλκαίου παῖς· ἔθος δὲ τῷ Πινδάρῳ κατὰ τοῦ ἑνὸς τάσσειν τὸ πληθυντικόν· ὅτι Ἀμφιτρύων Ἀλκαίου παῖς ἐστι, δῆλον· ἀφ' οὗ καὶ Ἀλκείδης ὁ Ἡρακλῆς τὸ πρότερον ἐκαλεῖτο.

116. Πατρός θ' ἑορτάν,] Τὸ τε οὐκ ἔστιν ἀργὸν ὡς οἴονταί τινες, ἀλλὰ τοῦτο λέγει διὰ τὸ προϋπάρχειν ἐκεῖ Κρόνου ἱερόν, ἔθεν καὶ Κρόνιος λόφος καλεῖται, ἢ διότι ἡ τοῦ Διὸς ἑορτὴ καὶ τῶν ἄλλων ἕνδεκα θεῶν ἦν, ὡς ἔφαμεν τὸ Ἑλοταῖς Θεῶν μεγίσταις, ἐν τῷ Ψαύμιδος Ὀλυμπιονίκῃ. (Ὀλυμπ. Ε', 11) Τὸ δὲ κτίσηι ἀντὶ τοῦ ποιήσῃ· ὁ γὰρ κτίζων οἰκίαν οἰκίαν ποιεῖ ταύτην. — Πλειστόμβροτον.] πρὸ ἣν πλεῖστοι τῶν ἀνθρώπων ἀθροίζονται. Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ, τῷ κατὰ τὴν Ὀλυμπίαν μαντικῷ βωμῷ τοῦ Διός· περὶ οὗ οἱ πολλοὶ τῶν ἀνθρώπων συνάγονται.

119. Χρηστήριον.] Ὅτι ἐμαντεύοντο ἐν τῇ Ὀλυμπίᾳ οἱ Ἰαμίδαι, ἢ μηρὸν πιμελῇ κεκαλυμμένον εἰς πῦρ ἐμβάλλοντες, ἢ ὀρὰν προβάτων σχίζοντες, καὶ ἐκ τῆς σχίσεως, εἰ μὲν εὐθεῖα γένηται, καλὰ ἔσεσθαι τὰ μαντευόμενα, εἰ δὲ λοξή, ἀποτρόπαια.

120. Ἐξ οὗ βλὸς Ἰαμιδῶν ἔσπετο.] ἰδίως τῇ φράσει ἐχρήσατο· ἀφ' οὗ δὴ χρόνου τὸ ἐνδοξότατον γένος τῶν Ἰαμιδῶν εὐδαιμονίᾳ ἠκολούθησεν· ἀντὶ δοτικῆς τὴν ἀκολουθίαν ἐχούσης πρὸς τὸν λόγον· ἀφ' οὗ τῷ τῶν Ἰαμιδῶν γένει ὁ βλὸς ἠκολούθησε καθ' Ἕλληνας — Πολύλλειτον.] Πολυξέστατόν ἐστιν.

121. Ἰαμιδᾶν.] Ἐκτεταμένον τὸ Ἰαμιδᾶν διὰ τὸ ἀντίστροφον.

122. Ὅλβος δ' ἅμ' ἕσπετο.] Ὁμηρικῷ τῷ σχήματι τῆς ἐσμηνείας κέχρηται· ἐξ οὗ τῶν Ἰαμιδῶν τὸ γένος ὅλβος ἅμ' ἕσπετο, ἀντὶ τοῦ τῷ τῶν Ἰαμιδῶν γένει ὅλβος ἠκολούθησεν. Ἄλλως· ὁμοίως τῷ·

Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο. (Ἰλιάδ. ο, 305.)

—Τιμῶντες δ' ἀρετάς.] Ἤτοι καθόλου γνωμικὸς ὁ λόγος, ἢ ἐπὶ τῶν Ἰαμιδῶν· οἱ δὲ Ἰαμίδαι τὰς ἀρετὰς τιμῶντες ἀεὶ εἰς ἐπίδοξον ὁδὸν βίου πορεύονται. — Τὸ τιμῶντες εἰ μὲν μετὰ τοῦ οἱ ἄρθρου εἴποις, καθολικῶς γνωμικὸς ἔσται ὁ λόγος· εἰ δὲ χωρὶς τοῦ ἄρθρου, πρὸς τοὺς Ἰαμίδας νοήσεις· καὶ τὸ Τεκμαίρει χρῆμ' ἕκαστον ἢ δι' αὐτοὺς ἢ διὰ πάντας ἐρεῖς. † Σύνταξις. Οἱ τιμῶντες δέ, ἀντὶ τοῦ οἱ ἀσκοῦντες τὰς ἀρετὰς, ὥσπερ οὗτοι ὄλονότι, εἰς φανερὰν ὁδὸν ἔρχονται, ἤγουν εἰς διάδηλον καὶ φανερὰν πολιτείαν.

123. Τεκμαίρει χρῆμ' ἕκαστον.] Ἀμφίβολον, πότερον ἀρσενικόν ἐστι τὸ ἕκαστον ἢ οὐδέτερον· ἐὰν μὲν οὐδετέρως δεξώμεθα, οὕτω· σαφὲς δὲ ποιεῖ καὶ τεκμηριοῖ ἕκαστον ἔργον τὸ ἴδιον πρᾶγμα· ἐὰν δὲ ἀρσενικῶς, οὕτως· ἕκδηλον καὶ φανερὸν καθίστησι τῶν ἀνθρώπων ἕκαστον τὸ ἴδιον πρᾶγμα φανερὸν ποιεῖ, ὡς Ὅμηρον ἡ ποίησις, ἡ ῥητορικὴ Δημοσθένην· ἕκαστον γὰρ τῶν ἀνθρώπων τεκμαίρει καὶ μηνύει τὸ οἰκεῖον πρᾶγμα, ὡς Ὅμηρον ἡ ποίησις καὶ Δημοσθένην ἡ ῥητορικὴ λείπει τὸ, ἐγὼ τοίνυν διὰ τοῦτο ἐπαινῶ· ὁ δὲ λόγος γνωμικός. — Τεκμαίρει χρῆμ' ἕκαστον.] Ἤγουν ἕκαστον ἀνθρώπων ἡ πρᾶξις δεικνύει· ψόγος δὲ ἀπ' ἄλλων φθονούντων κρέμαται, ἀντὶ τοῦ ἐπιφέρεται τούτοις, ὧν ἐπὶ τὴν ἔνδοξον ὄψιν χάρις, νίκης ὄλονότι, αἰδοία, ἤγουν αἰδοῦς ἀξία, στάζει, ἀντὶ τοῦ παραγίνεται, πρῶτον, τουτέστιν ἐξαιρέτως, περὶ ὠδοῦκατον ὁρόμον ἐλαυνόντων τοὺς ἵππους.

124. Μῶμος δ' ἐξ ἄλλων.] Φθόνος δὲ καὶ ψόγος ἐξ ἄλλων τινῶν, ἐκ τῶν φθονερῶν, ἐπικρέμαται τούτοις, οἷς ἂν ποτε κατὰ τὴν Ὀλυμπίαν περὶ τὸν ὠδοῦκατόκυκλον ὁρόμον ἀγωνισαμένοις καὶ νικήσασιν ἡ ἐκ τῆς νίκης χάρις ἔνδοξον τὴν ὄψιν παράσχῃ. Ἄλλως· ὁ νοῦς· ἐκ τῶν ἄλλων τῶν φθονούντων μῶμος ἐπικρέμαται τοῖς τετυχηκόσι τῶν τιμῶν τούτων. οἷον οἱ μὴ τετυχηκότες τοὺς τυχόντας διαμωμῶνται ὡν-

μηδενὸς ἀξιολόγου τετυχηκότας. — Μῶμος δέ.] Τοῦτο λέγει ὑπὲρ τοῦ Ἀγησίου ἢ ὡς φθονηθέντος παρά τινων διὰ τὴν κατορθωθεῖσαν αὐτῷ νίκην, ἢ ἁπλῶς τοῦτο λέγων, ὅτι οἱ νικῶντες βασκαίνονται. Πρὸς γὰρ τὸν ἔχοντ' ὁ φθόνος ἔρπει, φησὶ Σοφοκλῆς. (Αἴας. 157.) Τὸ δὲ ποτὶ πρὸς τὸ μορφὰν συναπτέον οὕτως· οἷς πρὸς τὴν μορφὴν τὴν εὐκλέα καὶ ἔνδοξον στάζει χάρις αἰδοία καὶ σεμνή, τουτέστιν οἷς διὰ τὴν κατορθωθεῖσαν αὐτοῖς νίκην μεγάλη τις εὐφροσύνη συμβαίνουσα χαρίεντα αὐτῶν τὰ πρόσωπα τίθησιν· ἡ γὰρ ἐν τῷ προσώπῳ ἐπιφαινομένη ἡδονὴ τεκμήριόν ἐστι τῆς ἐν τῇ ψυχῇ ἡδονῆς· δέον δὲ εἰπεῖν εὐκλεῶς πρὸς τὸ στάζει, εὐκλέα εἶπε πρὸς τὸ μορφάν· τὸ δὲ πρῶτον πρὸς τὸ στάζει συναπτέον οὕτως· οἷς στάζει πρῶτον χάρις αἰδοία, καὶ τὰ ἑξῆς.

127. Αἰδοία ποτιστάξει.] Ἐπεὶ οἱ νικῶντες δοκοῦσιν εὐειδεῖς εἶναι· τὸ δὲ ποτιστάξει, ἐπιχαρίτους ποιήσει τοὺς νικῶντας· τὸ ἑξῆς τοῦ λόγου· οἷς ἂν ποτε πρῶτον ἁρματηλατήσασιν ἡ αἰδοία χάρις ἐπιστάζει εὐκλεᾶ μορφάν· μορφὰν δὲ εἶπε διὰ τὸ περιβλέπτους εἶναι τοὺς νικῶντας καὶ ἐπιχαρίτας καὶ λαπρούς.

129. Εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος.] Κυλλήνη ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ· φησὶ δὲ, ὅτι εἰ δή ἀληθῶς οἱ τοῦ Ἀγησίου κατὰ μητέρα πρόγονοι τὴν Κυλλήνην κατοικοῦντες τὸ τῆς Ἀρκαδίας ὄρος, ἐτίμησαν διὰ δώρων καὶ θυσιῶν πολλῶν πολλάκις τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν τὸν τῶν ἀγώνων θεσπόζοντα καὶ τὰς μερίδας τῶν ἄθλων κεκληρωμένον, τὸν τὴν Ἀρκαδίαν τιμῶντα, τοῦτον ἂν εἰποιμεν καὶ νῦν, ὦ Σωστράτου παῖ, σὺν τῷ ἑαυτοῦ πατρὶ τελειοῦντά σου τὴν ἐπὶ τῇ νίκῃ εὐδαιμονίαν· ὄροις, τῆς Ἀρκαδίας· τὸ δὲ Στύμφηλον Κυλλήνη ὑπόκειται. — † Εἰ δ' ἐτύμως.] Εἰ δ' ἀληθῶς, ὦ Ἀγησία, οἱ ἄνδρες οἱ σοὶ πρόγονοι πρὸς μητρὸς οἱ οἰκοῦντες ὑποκάτω τοῦ ὄρους τῆς Κυλλήνης, Ἀρκὰς γὰρ ἦν πρὸς μητρὸς ὁ Ἀγησίας, θυσίαις λωτανευτικαῖς πολλάκις πολλὰς ἐδώρησαν, ἀντὶ τοῦ ἐδωρήσαντο, ἐδεξιώσαντο, εὐσεβῶς τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν, ὃς τῶν ἀγώνων ἐξουσιάζει καὶ μερίδος τῶν βραβείων, καὶ τὴν Ἀρκαδίαν τε τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν τιμᾷ, ἧγουν δοξάζει οἰκῶν ἐν αὐτῇ· ἐκεῖνος ὁ Ἑρμῆς, ὦ παῖ τοῦ Σωστράτου, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Διὶ τῷ βαρυγδούπῳ, τουτέστι τῷ τῶν βροντῶν αἰτίῳ τῶν βαρὺν κτύ-

πον ἐργαζομένων, κραίνει, ἀντὶ τοῦ διοικεῖ τὴν εὐτυχίαν τὴν σήν· δόξαν ἔχω, ἀντὶ τοῦ λόγον φέρω τινὰ ἐπὶ γλώσσῃ, ἤγουν πρόχειρον εἰρῆσθαι ἀπὸ νοῦ δηλονότι, ὡς σίδηρον ἀπὸ ἀκόνης λιγυρᾶς, τουτέστιν ὀξέως ποιούσης ἠχεῖν τὰ ἀκονώμενα, ὃς με ἔλκει ἐθέλοντα ἐπὶ πνοὰς καλλιῤῥόους, ἤγουν ὠδὰς εὐήχους, τὰς ἀπὸ τῶν ὀργάνων ἀναφερομένας.

130. Ἀγησία.] Σημείωσαι ὅτι κατὰ μητέρα Ἀρκὰς ἦν Ἀγησίας. — Μάτρωες.] Οἱ μητέρος ἀδελφοί. — Μάτρωες ἄνδρες.] Οἱ πρὸς μητρὸς συγγενεῖς σου· ἐνταῦθα γὰρ ἡ σὴ προμήτωρ Εὐάδνη, ὡς ἔφαμεν, ἀνετράφη ὑπὸ τῷ Λιπύτῳ.

131. Δώρησαν Θεῶν κάρυκα.] Ἀντὶ τοῦ ἐδωρήσαντο τῷ κήρυκι τῶν Θεῶν, ἡ χροιᾶς ἐτίμησαν αὐτόν.

134. Ὃς ἀγῶνας ἔχει.] Ἐναγώνιος γὰρ ὁ Θεός· ἢ ὅτι κήρυξ, κήρυξ δὲ καὶ ἐν ἀγῶσιν· ἢ ὅτι τῆς πάλης ἐστὶν εὑρετής· ἐναγώνιος γὰρ ὁ Θεός· δι' ὃν νικῶσιν οἱ περὶ Ἀγησίαν. — Ἔχει.] Κρατεῖ.

136. Τὸ τιμᾷ εἰ μὲν γ' πρόσωπον νοήσεις, οὕτως ἐρεῖς· καὶ τιμᾷ τὴν Ἀρκαδίαν τὴν εὐάνορα, διὰ τὸ νεῶν αὐτοῦ ἐκεῖ εἶναι· εἰ δὲ ἀντὶ τοῦ τιμῇ, τὸ ἔχει ἀπὸ κοινοῦ λάβῃς οὕτω· καὶ ἔχει τὴν εὐάνορα Ἀρκαδίαν ἐν τιμῇ, τουτέστιν, ἡ ἐκεῖ κατοικῶν τιμᾶται, ἡ ἐκεῖ κατοικεῖ εἰς ταύτης τιμήν.

137. Ὦ παῖ Σωστράτου.] Τῇ σῇ εὐτυχίᾳ, ὦ τοῦ Σωστράτου παῖ, τὴν εὐδοξίαν ἐπιστέρνοι· τὸ γὰρ κραίνειν καὶ ἐπ' ἄλλων οὕτω τίθησιν Ὅμηρος·

Χρυσὸς δ' ἐπὶ χείλεσι κεκράανται,
ἐπιτετερμάτισται· τινὲς δέχονται ὡς ἁπλῶς αὐτοῦ λέγοντος ἐστεφάνωται. (Ὀδυσ. δ, 132.)

140. Δόξαν ἔχω ἕως τοῦ ἔτικτεν.] Ὁ νοῦς· ἔχω τινὰ καὶ ἑτέραν δόκησιν οὕτω με προτρεπομένην λέγειν περὶ σοῦ, ὡσανεὶ τῆς ἀκόνης τῆς ὀξύνειν δυναμένης τὸ παραθηγόμενον· ἥτις δόκησις θέλοντί μοι καὶ βουλομένῳ προσέρπει καὶ προσπίπτει ὑπὸ ταῖς τῶν αὐλῶν πνοαῖς καὶ τῶν ἤχων· διὰ πνοῆς γὰρ ὁ ἦχος ἐκφέρεται· ἥτις δόκησίς ἐστι τοῦ ὑμνεῖν σε ἐκ τῆς ἐμῆς προγόνου Μετώπης, ἀπὸ Στυμφίλου πόλεως Ἀρκαδικῆς· ματρομάτορα δὲ τὴν Μετώπην λέγει ὁ Πίνδαρος οὕτω· θυγάτηρ μὲν γὰρ ἦν Μετώπη Λάδωνος τοῦ τῆς Ἀρκαδίας ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ· ἐκ ταύτης γέγονε νύμφη τις Θήβη, ἀφ' ἧς ἡ πόλις· Θηβαῖος δὲ ὁ Πίνδαρος· διὰ τοῦτο ματρομάτορα ἰδίαν λέγει τὴν Μετώπην· θηλικῶς οὕτω ποταμὸς ἐν Ἀρ-

καδίᾳ Μετώπη. — Τὸ ἔχω τινὰ ἐπὶ γλώττῃ δόκησιν ἀκόνας λιγυρᾶς τοῦτο λέγει, ἀντὶ τοῦ ἐπέρχεταί μοι ἔννοιά τις καὶ λόγος ἡδὺς ὑπὲρ σοῦ, παρακινῶν με λέγειν τοῦτο πρὸς σέ· ὥσπερ γὰρ ἡ ἀκόνη ὀξύνει τὸ παραθηγόμενον, οὕτω καὶ ἡ ἐμὴ μουσικὴ ὥσπερ τις ἀκόνη ἐστὶ πρὸς ἐμέ· ἐπεὶ δὲ διὰ τῆς μουσικῆς ἔψαλλε πάντα τὰ αὐτοῦ ποιήματα, εἰκότως καὶ τὴν νῦν ἐπερχομένην αὐτῷ δόκησιν ὑπὲρ τοῦ Ἀγησίου εἰπεῖν τῆς αὐτοῦ μουσικῆς ταύτην εἶναί φησι· τὸ δὲ πνοαῖς αὐλῶν λέγει, διότι καὶ μετὰ μουσικῆς καὶ μετὰ αὐλῶν ᾖδε τοὺς ὕμνους.

141. Ἀκόνας λιγυρᾶς] Ἀκόνην ὀξεῖάν φησι τὴν μουσικήν· λιγὺς γὰρ νῦν ὁ ὀξύς· καὶ Ὅμηρος. (Ἰλιάδ. β, 247.)

Θερσῖτ' ἀκριτόμυθε, λιγὺς περ ἐὼν ἀγορητής,
Ἴσχεο.

οὐ γὰρ ἐχωρεῖ τὸν ἄκριτα λέγοντα ἡδὺν εἶναι. Ἄλλως· ἀκόνης τινὸς δόκησιν ἔχω ἐπὶ γλώσσης, ὃ ἐστι παρακονῶμαι· ἢ οὕτως ἡ δόκησις, ἀκόνη μου· ὃ δοκῶ παρὰ τῶν ἀνδρῶν, τοῦτό μοι ἀκόνη ἐστὶν ἡ παροξύνουσά με καὶ παρορμῶσα· ἢ οὕτω· τῆς λιγυρᾶς ἀκόνης ἔχω δόκησιν ἐπὶ τῆς γλώσσης, ἥτις κραίνει τῆς εὐτυχίας τὴν δόκησιν· ὁ δὲ νοῦς· ὀξὺς ὢν ὀξύτερος γίνομαι παρ' ἀκόνης, τῆς δοκήσεως θιγόμενος.

142. Προσέρπει.] Προσάγει, παροξύνει καὶ αὐτόν με θέλοντα ταῖς καλλιρόοις ῥοαῖς καλλίροοι δὲ ῥοαί, ἀπὸ τῶν ὀργάνων ἐκπεμπόμεναι.

143. Καλλιῤῥόοισι.] Ταῖς ἀπὸ τῶν ὀργάνων ἀναφερομέναις τῶν μετ' αὐλοῦ ὕμνων. — Ματρομάτωρ.] Ἡ τῆς μητρὸς τῆς ἐμῆς μήτηρ· πῶς δέ, ἐπιόντες ἴδιξομεν — Σύνταξις. Ματρομάτωρ ἐμά.] Μητρομήτωρ ἐστὶν ἐμή, ἀντὶ τοῦ τῆς ἐμῆς πατρίδος, τουτέστι τῶν Θηβῶν μήτηρ ἡ Μετώπη ἡ εὐανθὴς, ἤγουν ἡ φαιδρὰ, ἡ τῆς Στυμφαλίδος Θυγάτηρ· Θυγατέρα δὲ λέγουσι τὴν Μετώπην τῆς Στυμφαλίδος διὰ τὸ εἶναι τὴν Στυμφαλίδα περιεκτικὴν αὐτῆς· μητρομήτωρ δὲ εἰπὼν ἐπάγει ὡς ἐφερμηνεύων· ἥτις, ἤγουν ἡ Μετώπη, τὴν Θήβαν ἔτεκε τὴν πλήξιππον, ἤγουν τὴν πλήττουσαν τοὺς ἵππους ἐν τοῖς δρόμοις, τουτέστι τὴν ἱππικὴν, τὴν πολεμικήν· ταύτης ἐπέραστον ὕδωρ πίομαι, ἀντὶ τοῦ εὐπορίαν λόγων ἀπὸ ταύτης πορίσομαι ποικίλον ὕμνον συντιθεὶς χάριν ἀνδρῶν αἰχμητῶν, τουτέστι πολεμιστῶν.

144. Στυμφαλὶς εὐανθὴς Μετώπα.] Μετώπη Ἀσωποῦ μὲν

ἦν γυνὴ, μήτηρ δὲ Θήβης, ἀφ' ἧς ἡ πόλις Θήβη προσηγορεύθη διὰ τὴν οἰκειότητα οὖν, φησὶν ὁ Πίνδαρος, τὴν πρὸς ἑαυτῆς Μετώπης, ἥτις Θήβης μήτηρ τῆς ἐμῆς πατρίδος, ἔλκεται με ἡ Μετώπη Ἀρκὰς οὖσα· τὴν δὲ Μετώπην φασὶ γήμαντα Ἀσωπὸν τὸν Ὠκεανοῦ Λάδωνος οὖσαν θυγατέρα τεκνῶσαι Κόρκυραν, Αἴγιναν, Σαλαμῖνα, Θήβην, Ἄρπιννάν, Νέμεαν· εὐανθὴς δὲ Μετώπα, ἡ ἀκμαία καὶ ἀνθηρὰ, ἵν' ὁ λόγος ἐπὶ τῆς νύμφης ἀκούηται. Ἄλλως. Στύμφηλος ὑπόκειται τῇ Κυλλήνῃ, ἔστι δὲ τῆς Ἀρκαδίας· οἱ δὲ κατὰ τὴν μητέρα πρόγονοι τοῦ Ἀγησίου Στυμφήλιοί εἰσι. Φιλοστέφανος δὲ ἐν τῷ περὶ Κυλλήνης φησὶ Κυλλήνην καὶ Ἑλίκην Θρίψι· ἐναγωνίου δὲ ὄντος τοῦ Θεοῦ φησιν ὅτι οἱ περὶ τὸν Ἀγησίαν διὰ τὴν συγγένειαν, ἐπειδὴ καὶ ὁ Ἑρμῆς ἐν Ἀρκαδίᾳ, εἰκότως νικῶσιν. Ἄλλως. Στυμφαλὶς εὐανθής.] Στύμφηλος γὰρ πόλις Ἀρκαδίας. Ὅμηρος· (Ἰλιάδ. β, 608.)

Στύμφηλόν τ' εἶχον καὶ παρράσιην ἐνέμοντο.

ματρομάτορα δὲ λέγει τὴν μετώπην ὁ Πίνδαρος οὕτω· Μετώπη θυγάτηρ μὲν Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ, ἥτις Μετώπη ἐγέννησε τὴν ἱππικὴν Θήβην, κατὰ ἀναφορὰν τῶν ἐνοικούντων ἐν ταῖς Θήβαις. — Στυμφαλὶς] Ἤγουν Ἀρκαδικὴ· Στύμφαλος γὰρ πόλις Ἀρκαδίας· τὸ δὲ εὐανθὴς ἀντὶ τοῦ ὡραία. Ἱστορία· ἡ Μετώπη θυγάτηρ ἦν Λάδωνος τοῦ ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ, ἀφ' οὗ θυγατέρα ἔσχε Θήβην, ἧς ἡ πόλις ἐπώνυμος. Θηβαῖος δὲ ὁ Πίνδαρος· διὸ καὶ τὴν Μετώπην μητρομάτορα καλεῖ, οἱονεὶ μητέρα τῆς μητρὸς αὐτοῦ Θήβης· φασὶ δὲ τὴν Μετώπην οἱ μὲν λίμνην, οἱ δὲ ποταμόν.

146. Τᾶς.] Ταύτης οὖν τῆς Μετώπης· λέγει δὲ νῦν τὸν ὁμώνυμον ποταμὸν τῇ ἡρωΐδι· ὅτι δὲ ἡ Μετώπη τῆς Ἀρκαδίας ποταμὸς, Καλλίμαχος ἱστορεῖ ἐν ὕμνοις· Πολύστειόν τε Μετώπην.

147. Πίομαι ἀνδράσιν ἕως τοῦ ὕμνον.] Ἀνδράσι νῦν τῷ τε Ἀγησίᾳ καὶ τοῖς τούτου προγόνοις· τὸ δὲ πλέκων ἤτοι πρὸς τὸ ποικίλον καὶ διάφορον τῆς φθογγῆς· λέγουσι γὰρ καὶ στροφὰς ὧδε· ἡ ὡς ἐπὶ στεφάνῳ μουσικῆς· ὁ δὲ λόγος ὧ τῆς ἐμῆς πατρίδος Ἀρκαδικῆς Μετώπη· λέγει δὲ, τοῦ ποταμοῦ γεύσομαι τῷ ὕμνῳ, καὶ τὰ εἰς τὸ ἐγκώμιον ἀναλήψομαι, αὐτῷ τε τῷ Ἀγησίᾳ καὶ τοῖς τούτου ἀνδρείοις καὶ πολεμικωτάτοις προγόνοις τὸν ποικίλον καὶ πολύφθογγον

ὕμνον διαπλέκων καὶ συντιθείς· οὐ λέγεται κυρίως ὅτι πίσμαι τὸ ἀπὸ τῆς Μετώπης ὕδωρ· ἀλλὰ οἷον, γεύσομαι αὐτῆς διὰ τὸν ὕμνον, καὶ ταύτην εἰς τὸν ὕμνον συλλήψομαι.

148. Ὄτρυνον νῦν ἑταίρους, Αἰνέα.] Ἀποστρέφει τὸν λόγον πρὸς τὸν Αἰνέαν τὸν χοροδιδάσκαλον. Αἰνέας γὰρ οὗτος χοροδιδάσκαλος, ὥτινι ὁ Πίνδαρος ἐχρήσατο διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι καὶ μὴ δύνασθαι ἐν τῷ δήμοσίῳ δι' ἑαυτοῦ καταλέγειν τοῖς χοροῖς, ὅπερ οἱ πλεῖστοι καὶ μεγαλόφωνοι τῶν ποιητῶν ἀγωνιζόμενοι ἐποίουν, δι' ἑαυτῶν διδάσκοντες τοὺς χορούς· ἀπέστρεψεν οὖν τὸν λόγον ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν λέγων· παρόρμησον νῦν, ὦ Αἰνέα, τοὺς ἑταίρους τοὺς ἐν τῷ χορῷ, ὥστε ὑμνῆσαι πρῶτον μὲν τὴν Ἥραν, ἔπειτα δὲ γνωρίσαι τοῖς λόγοις ποίησον αὐτούς, εἰ κατὰ τὸν ἀληθῆ λόγον ἐφεύγομεν τὸ ὄνειδος τῶν Βοιωτῶν καὶ τὴν παροιμίαν τὴν λεγομένην Βοιωτία ὗς· ἡ δὲ παροιμία ἐντεῦθεν. Ἅπαντες, ἔθνος βάρβαρον ἀρχαῖον, κατῴκησαν τὴν Βοιωτίαν, οὗς τινες ἐκ παραφθορᾶς τοῦ ὀνόματος ἀντὶ τοῦ Ἅπαντας λέγειν Ὑς ἐκάλουν· ὥστε καὶ τοῖς ὕστερον διαβῆναι τὴν λέξιν ἐπὶ τῶν Βοιωτῶν, καὶ λοιπὸν νομισθῆναι διὰ πολλὴν ἀλογίαν καὶ ἀγροικίαν οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι, τούς τε βουλομένους εἰς παιδευσιαν ἐπισκώπτειν τινὰς τοῦτο λέγειν, Βοιωτία ὗς· ὁ δὲ νοῦς· παρόξυνον ἐπὶ τοῦ παρόντος τοὺς χορευτάς, ὦ Αἰνέα, πρῶτον μὲν τὴν Ἥραν τὴν ἐν τῷ Παρθενίῳ ὄρει Παρθενίαν ἀνυμνῆσαι, καὶ γνῶναι ἀληθέσι λόγοις διὰ τοῦ ὕμνου ποίησον τοὺς ἀκούοντας, εἰ ἀποφεύγομεν ἐκεῖνο τὸ ὄνειδος, ὃ ἀμουσίας ἕνεκεν ἡμῖν τοῖς Βοιωτοῖς προστρίβεται· ὑπάρχεις γὰρ τῶν καλλικόμων Μουσῶν ἄγγελος ἀληθὴς καὶ ὑποφήτης, καὶ τρόπον τινὰ σκυτάλη καὶ σκῆπτρον τούτων τυγχάνεις καὶ κρατὴρ ἡδὺς τῶν ἐπισήμων καὶ ἄγαν εὐφήμων ὕμνων, ἀντὶ τοῦ μουσικώτατος γὰρ εἶ — † Ὄτρυνον Αἰνέα] Ὦ Αἰνέα, διέγειρον νῦν τοὺς ἑταίρους, ἤγουν τοὺς συγχορευτάς, πρῶτον μὲν ὑμνῆσαι τὴν Ἥραν τὴν Παρθενίαν, ἤγουν τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Ἀρκαδίας τιμωμένην, ἔπειτά τε γνῶναι, ἀντὶ τοῦ γνώριμον ποιῆσαι κατ' ἀληθῆ λόγον, εἰ φεύγομεν τὴν Βοιωτίαν ὗν, λέγω τὸ ἀρχαῖον ὄνειδος, τουτέστι τὴν παλαιὰν διαβολὴν τὴν ἐπὶ τῇ ἀμουσίᾳ· ὑπάρχεις γὰρ ἄγγελος ὀρθὸς, ἤγουν κήρυξ ἀληθὴς, τῶν καλλιτρίχων Μουσῶν σκυτάλη, τουτέστι ῥάβδος, γλυκὺς κρατὴρ, ἤγουν γλυκὺ ἄγγειον, γλυκὺς οἶνος τῶν

ᾠδῶν τῶν ἀγαφθέγκτων, τουτέστιν ὧν πολὺ τὸ κλέος· οὗτος ὁ Αἰνέας χοροδιδάσκαλος ἦν τοῦ παρὰ Πινδάρου χοροῦ, ὅτινι πρὸς τὸν δῆμον ἐχρῆτο Πίνδαρος διδάσκοντι τὰ αὐτοῦ ποιήματα καὶ μεθ' ἑτέρων ψάλλοντι διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι καὶ μὴ δύνασθαι λέγειν ἀξίως. Ἱστορίας, ὅθεν τὸ Υ΄ς Βοιωτίας. Γαντες, ἔθνος ἀρχαῖον καὶ βάρβαρον, ᾤκησαν ἐν Βοιωτίᾳ, οὓς διὰ πολλὴν προσοῦσαν αὐτοῖς ἀλογίαν σκώπτοντές τινες καὶ παραφθείροντες τὸ ὄνομα ἕνα ἕλαστον τούτων ὗν ἔλεγον, καὶ ἐπεκράτησε τοσοῦτον αὕτη ἡ διαφθορὰ, ὡς ὄνειδος τοῖς Θηβαίοις τοὺς ἄλλους προφέρειν ταύτην τὴν παροιμίαν τὸ Βοιωτία ὗς· λέγει οὖν ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν· διέγειρον τὸν τὰ ἔπη ᾄδοντα χορὸν, ἵνα γνῶσιν ἅπαντες, ὡς οὐ τῇ παροιμίᾳ προσήκομεν τῇ λεγούσῃ Βοιωτία ὗς, ἀλλ' ἐσμὲν Μουσῶν θρέμματα.

149. Ἦσαν Παρθενίαν.] Τὴν ἐν τῷ Παρθενίῳ τῷ ὄρει τῆς Ἀρκαδίας τιμωμένην, ἵν' ᾖ, τὴν ἐν Ἀρκαδίᾳ· οὕτω δὲ καὶ ἐν Ἄργει τιμᾶται Ἥρα. Ἥραν, τὴν Θαλαμίαν Ἥραν τινὲς δὲ τὸν Ἀγησίαν φασὶν ἱδρύσασθαι ἄγαλμα Ἥρας· οἱ δὲ ὅτι γαμήλιος καὶ αἰτία γενέσεων, καὶ ἐν Εὐβοίᾳ Παρθένος ἐκαλεῖτο, καὶ ποταμὸς Παρθένιος, ὃς Ἱμάρασος ἐκλήθη. Καλλίμαχος·

Ἀντὶ γὰρ ἐκλήθης, Ἱμάρασε, Παρθενίου.

152. Εἰ φεύγομεν Βοιωτίαν ὗν.] Ὅτι διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν τοπαλαιὸν οἱ Βοιωτοὶ ὗες ἐκαλοῦντο, καθάπερ καὶ αὐτὸς ἐν τοῖς Διθυράμβοις· Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔλεγον· καὶ Κρατῖνος·

Οὗτοι δ' εἰσὶν Συοβοιωτοί, κρουπεζοφόρον γένος ἀνδρῶν.

Ἀρίσταρχος παρὰ τὸ λεγόμενον Ἐν Βοιωτίᾳ ὗς· πεποιθὼς δὲ ὁ Πίνδαρος τοῖς ἑαυτοῦ ποιήμασι κελεύει ἐπιγνῶναι τὸν Αἰνέαν καὶ γνῶναι τὴν τέχνην, εἰ φεύγουσιν οἱ Θηβαῖοι τὸ παλαιὸν ὄνειδος παιδείᾳ διαφέροντες καὶ μουσικῇ· τὸ δὲ πρότερον ὡς ἀμαθεῖς ἐσκώπτοντο. Γαντες δὲ ᾤκησαν τὴν Θήβην, καὶ ἀπὸ τοῦ ὀνόματος μετετράπη τὸ καὶ Συοβοιωτοὺς λέγεσθαι.

154. Εὐκόμων σκυτάλα Μοισᾶν.] Τῶν εὐκόμων Μουσῶν ἀξιόλογε ἄγγελε καὶ κήρυξ· σκυτάλην γὰρ ἐκ τοῦ συμβεβηκότος λέγουσιν, ὡς καὶ ἐν τοῖς Ἀρχιλόχου ὑπομνήμασιν εἴρηται. Ἠκυμένη σκυτάλη· ἡ δὲ σκυτάλη τοιοῦτόν ἐστι. Λάκωνες κήρυκας διαπεμπόμενοι, ξύλον μελαίνοντες περι-

εἰλισσον λευκῷ ἱμάντι, καὶ περιέγραφον τῷ τε ἱμάντι καὶ τῷ ξύλῳ, εἶτα ὑπέλυον, ὥστε τὴν ἀκολουθίαν τῆς γραφῆς μὴ σώζεσθαι, εἰ μὴ προστεθείη πάλιν ὁ ἱμάς· καὶ οὕτω διὰ μὲν ἑτέρου τὸν ἱμάντα, διὰ δὲ ἑτέρου τὸ ξύλον ἀπεστελλον οἱ δὲ ὅτι ξύλον διαπρίζοντες ἔνδον ἀπέγραφον καὶ οὕτως ἀπέστελλον· οἱ δὲ, ὅτι ξύλου τι στρογγύλον, ὅπερ διαπρίζοντες τὸ μὲν ἥμισυ κατεῖχον αὐτοῦ, τὸ δὲ ἕτερον ἐδίδουν τῷ ἁρμοστῇ τῷ ἐκπεμπομένῳ εἴς τινα πόλιν· εἶτα εἰ ἐβούλοντο σημῆναι αὐτῷ περὶ ἀπορρήτων, ἱμάντι περιειλίσσοντες ὃ εἶχον αὐτοὶ ξύλον, ἀπέγραφον, ὁντινα δεξάμενος ὁ ἁρμοστὴς περιείλει ᾧ εἶχεν ἐκεῖνος ἀποκόμματι, καὶ οὕτως ἀνεγίνωσκεν· ἦσαν δὲ ἁρμοσταὶ Λακεδαιμονίων εἴκοσιν· ἄλλοι δὲ, ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες, ἐγγράφοντες αὐτῶν τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα, καὶ οὕτω σφραγίζοντες· τινὲς δὲ ῥάβδους δύο ἰσοπήχεις καὶ ἰσομήκεις. Μοισᾶν, ἀντὶ τοῦ Μουσῶν ἄγγελε καὶ κήρυξ· οἷον Μουσῶν εἷ Κήρυξ, διὰ τὸ σκυτοτορρεῖν τοὺς κήρυκας. — Ἱστορία, ὅπως ἡ σκυτάλη ἐγένετο· ὅτε πρός τινα πόλιν οἱ Λάκωνες στρατηγὸν ἔπεμπον, βουλόμενοι σημῆναί τι αὐτῷ τῶν ἀπορρήτων οὐκ ἐπίστευον χάρτῃ, ἀλλὰ τοιοῦτό τι ἐποίουν· τορεύοντες ξύλον στρογγύλον τριῶν ἢ τεττάρων πήχεων καὶ τέμνοντες εἰς δύο, τὸ μὲν ἓν τῷ ἐκπεμπομένῳ στρατηγῷ ἐδίδουν, θάτερον δὲ αὐτοὶ κατεῖχον· ὁπότε δὲ πρὸς αὐτὸν μηνῦσαί τι ἐβούλοντο, περιειλίσσοντες στενὸν ἱμάντα τῷ παρ' αὐτοῖς ξύλῳ ἔγραφον, εἶτα ἀπολύσαντες τὸν ἱμάντα τῷ στρατηγῷ αὐτὸν ἔπεμπον, ὁ δὲ ἐνειλίσσων τῷ οἰκείῳ ξύλῳ τοῦτον ἀνεγίνωσκε τὰ γεγραμένα πρὸς αὐτόν· λέγει οὖν τὸν Αἰνέαν σκυτάλην Μουσῶν, οἱονεὶ ἄγγελον τῶν αὐτοῦ ἐπῶν πρὸς τοὺς ἄλλους.

156. Σύνταξις. Εἶπον δέ.] Εἰπὲ δὲ τοῖς ἑταίροις μεμνῆσθαι τῶν Συρακουσῶν τε καὶ τῆς Ὀρτυγίας, ἥντινα, ἤγουν τὴν Ὀρτυγίαν, καθαρῷ σκήπτρῳ διοικῶν ὁ Ἶρων, τουτέστιν ἀγνῇ καὶ καθαρᾷ βασιλείᾳ, ἄρτια, ἤγουν ἔγκαιρα, ἀληθῆ βουλευόμενος, ἀμφέπει, τουτέστι περιέπει, τιμᾷ τὴν Δήμητραν τὴν φοινικόπεζαν, ἤγουν τὴν ἐρυθροὺς ἔχουσαν πόδας· ἀπὸ μέρους δὲ πᾶσαν ἐρυθρὰν θέλει δηλοῦν· καὶ τῆς Θυγατρὸς αὐτῆς τῆς λευκίππου, ἤγουν τῆς Κόρης τῆς καὶ Περσεφόνης, τὴν ἑορτὴν τιμᾷ δηλονότι, καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Δίτυνην τιμωμένου, πε-

ριφραστικῶς ἀντὶ τοῦ καὶ τὸν Δία τὸν κατὰ τὴν Δῖτνην τιμώμενον· λεύκιππον δὲ λέγει τὴν Περσεφόνην, ἐπεί φασι μετὰ τὴν ἁρπαγήν, ἣν ἥρπασεν αὐτὴν ὁ Πλούτων, εὐρεθεῖσαν διὰ λευκοπώλου ἅρματος ἀνῆχθαι ὑπὸ τῆς μητρὸς εἰς τὸν Ὄλυμπον.

157. Καὶ Ὀρτυγίας.] Ὀρτυγία νῆσος ταῖς Συρακούσαις παρακειμένη τὸ πρότερον· νῦν δὲ συνήρθη τῇ πόλει ταῖς Συρακούσαις. Ἄλλως· νῆσος πρὸ τῶν Συρακουσῶν, ἧς ἄρχει ὁ Ἱέρων· ὅτι ἡ τῶν Συρακουσίων νῆσος Ὀρτυγία ἐκαλεῖτο, καὶ ὅτι Ἀγησίας ἐπολιτεύετο ἐν Συρακούσαις· ἦν δὲ τὸ ἀνέκαθεν Στυμφήλιος ἐξ Ἀρκαδίας· ἥντινα, φησί, τὴν τῶν Συρακουσῶν πόλιν Ἱέρων καθαρῷ σκήπτρῳ διοικῶν, ἴσα καὶ θέμιστα βουλευόμενος, τιμᾷ καὶ θεραπεύει τὴν Δήμητραν τὴν ἀνθηρὸν καὶ ἐρυθρὸν ἔχουσαν πόδα, ἀπὸ μέρους καλήν· πέζα γὰρ ὁ πούς.

158. Τὰν Ἱέρων.] Ἱερωτύνην εἶχεν ὁ Ἱέρων Δήμητρος καὶ Κόρης καὶ Διὸς Δίτναίου ἐν Σικελίᾳ ἐκ διαδοχῆς Τηλίνου τοῦ προγόνου αὐτῶν — Σκάπτῳ.] Ἀρίσταρχος· τοῖς κατὰ τὸν χρόνον εἰπεῖν, ἐπικελεύων τῶν τε Συρακουσῶν μεμνῆσθαι καὶ τῆς Ὀρτυγίας· αὕτη δέ ἐστι προσεχὴς ταῖς Συρακούσαις νῆσος καὶ ἀχώματος· ὁ δὲ . . . . διὰ τὸν Ἱέρωνα, ἐπεὶ ἄνωθεν ἐκ προγόνων ἱεροφάντης ταῖν θεοῖν ἀποδέδεικται· τὰ προκείμενά φησιν ὁ . . . . καὶ παρατίθεται τὰ Φιλίστου καὶ τὰ Τιμαίου.

159. Φοινικόπεζαν.] Ἐπειδὴ οἱ λικμῶντες τὰ ἄχυρα ξανθοὶ γίνονται τὴν κεφαλήν· πᾶν δὲ ἄκρον πέζα καλεῖται. — Φοινικόπεζαν.] Κοκκινόπουν· ἐρυθρόπουν.

160. Λευκίππου τε θυγατρός.] Ἀπὸ κοινοῦ τὸ ἀμφέπει, καὶ τῆς λευκοὺς ἵππους ἐχούσης θυγατρὸς αὐτῆς· λέγει δὲ τῆς Κόρης· λεύκιππον δὲ εἶπεν, ἐπειδὴ λέγεται μετὰ τὴν ἁρπαγήν, ἣν ὑπέστη ὑπὸ τοῦ Πλούτωνος, εὑρεθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς Δήμητρος λευκοπώλῳ ἅρματι ἀνῆχθαι λοιπὸν εἰς τὸν Ὄλυμπον πρὸς τὸν πατέρα τὸν Δία· λέγεται δὲ ὁ Ἱέρων τῆς Δήμητρος καὶ τῆς Κόρης ἱεροφάντης. — Λευκίππου τε ἑορτάν.] Τὸ ἀμφέπει ἀπὸ κοινοῦ· ἐν γὰρ τῇ Σικελίᾳ τὰ τῆς Περσεφόνης ἀνακαλυπτήρια ἐτελεῖτο· λεύκιππον δὲ λέγει τὴν Περσεφόνην, ἢ διότι ἔθος ἐστὶ τοῖς ποιηταῖς τοιούτοις ἐπιθέτοις κοσμεῖν τοὺς θεούς, ὡς καὶ ἀνωτέρω φοινικόπεζαν εἶπε τὴν Δήμητραν, ἢ διότι λευκῷ ἅρματι ἐποχουμένη εὑρέθη ὑπὸ

τῆς μητρὸς, ὅτε ἁρπασθεῖσαν ὑπὸ τοῦ Πλούτωτος ἐζήτει αὐτήν.

162. Καὶ Ζηνὸς Αἰτναίου.] Ἀπὸ κοινοῦ τὸ ἀμφέπει· περιέπει δὲ καὶ θεραπεύει ὁ Ἱέρων καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου. Ἐν τῇ Αἴτνῃ Διὸς Αἰτναίου ἄγαλμα ἵδρυται, καὶ ἑορτὴ Αἰτναῖα καλεῖται. — Ἀδύλογοι δέ μιν λύραι.] Λέγονται αἱ ἀπὸ τῶν ὀργάνων πνοαί· ὁ δὲ λόγος· αἱ δὲ ἠδύλογοι αὐτὸν πνοαὶ τῶν ὀργάνων καὶ ᾠδαὶ γνωρίζουσιν, ἤτοι ὡς πολυύμνητον διὰ τὰ κατορθώματα, ἢ ὡς καὶ αὐτὸν μουσικῆς ἔμπειρον· φησὶ γάρ που ἔμπροσθεν· (Ὀλυμπ. Α', 14.) Ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀὼτῳ. — Ἀδύλογοι δέ.] Ἤγουν γλυκύρθογγοι· τοῦτο δὲ λέγει, ἢ διότι μουσικῇ καὶ αὐλοῖς ἔχαιρεν, ὡς καὶ πρώην ἔφη· Ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀὼτῳ· ἢ διότι αὐτὸν ἑκάστοτε ἐπαινεῖ, ἵν' ᾖ αἱ λύραι αἱ ἐμαί· ἐκ δὲ πάντων τούτων, ὧν ἄνω ἔφην, δείκνυσιν αὐτὸν νομίμως ἄρχοντα, ἄριστα βουλευόμενον, πρὸς Θεοὺς εὐσεβέστατον καὶ βίον ἐνήδονον ζῶντα. † Σύνταξις. Ἀδύλογοι δέ μιν.] Ἠδύλογοι δὲ λύραι καὶ μολπαὶ γινώσκουσιν αὐτὸν, ἀντὶ τοῦ λύραι δὲ καὶ μολπαὶ δι' ἡδέων λόγων ὑμνοῦσιν αὐτὸν, ἤγουν τὸν Ἱέρωνα, διὰ τὰ κατορθώματα αὐτοῦ.

163. Μὴ θραῦτοι χρόνος ὄλβον.] Ὁ λόγος εὐκτικός· μὴ δὴ οὖν, ὦ Θεοὶ, θραύτοι καὶ ἀφανίσοι αὐτοῦ τὴν εὐδαιμονίαν ὁ μακρὸς χρόνος ἐπιγινόμενος, ἀλλὰ φιλοφροσύναις καὶ εὐθυμίαις ἐπεράσταις εἴη τὸν Ἱέρωνα τὸ τοῦ Ἀγησίου ἐγκώμιον δέξασθαι· μὴ ταράσσοι. — Μὴ θραύσοι.] Εἴθε μὴ θραύσοι, ἤγουν μὴ κοιμίσαι, μὴ ἀφανίσαι χρόνος ὁ ἐρέρπων, τουτέστιν ὁ ἐπερχόμενος, τὸν ὄλβον, ἤτοι τὴν εὐδαιμονίαν αὐτοῦ ὁλονότι τοῦ Ἱέρωνος.

165. Σὺν δὲ φιλοφροσύναις.] Ὅτι φίλος Ἀγησίας Ἱέρωνος καὶ μάντις, ὃς ἀνῃρέθη Ἱέρωνος καταλυθέντος. — Σὺν φιλοφροσύναις δέ.] Ἤγουν δεξιώσεσιν ἐπεράστοις· εἴθε δέξαιτο τὸν ὕμνον τοῦ Ἀγησίου, ὃν ὑμνεῖται ὁλονότι ὁ Ἀγησίας, οἴκοθεν, ἤγουν ἀπὸ τῆς πατρίδος τοῦ Ἀγησίου, λέγω ἀπὸ τῶν τειχῶν τῶν Στυμφαλίων, τουτέστι τῶν πόλεων τῶν ἐν Στυμφαλίδι, πρατερχόμενον οἴκαδε, ἤγουν εἰς τὴν ἑτέραν αὐτοῦ πατρίδα, ἤτοι τὴν Σικελίαν. Ἀρκὰς γὰρ καὶ Συρακούσιος ὁ Ἀγησίας· λέγω λείποντα τὸν ὕμνον τὴν μητέρα τῆς Ἀρκαδίας τῆς καλῶς ἐχούσης ἕνεκα θρεμμάτων, τουτέστι τὴν Στυμφαλίδα.

167. Οἴκαθεν οἴκαδε.] Ὅτι Ἀρκὰς καὶ Συρακούσιος ὁ Ἀγη-

σίας· ὁ δὲ νοῦς· οἰκεῖον ὄντα καὶ οὐκ ἀλλότριον, ἢ ἴδιον ἐξ ἰδίων εἰ γὰρ καὶ ἐν Σικελίᾳ δοκεῖν ὁ Ἀγησίας, ὅμως ἐκ μητρὸς Ἀρκάς ἐστιν, ὥσπερ ἐδείχθη ἀνωτέρω· ἐκ τοῦ Στυμφήλου εἰς Συρακούσας πέμπει τὸν ὕμνον· μητρόπολις δὲ Ἀρκαδίας ἡ Στύμφηλος. — Τὸ Στυμφαλιῶν ἀντὶ τοῦ Ἀρκαδικῶν· Στύμφαλος γὰρ πόλις Ἀρκαδίας· ἔστι δὲ καὶ τὸ Οἴκοθεν καὶ τὸ Στυμφαλίων τειχέων καὶ τὸ Ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας ταυτό· τὸ δὲ Οἴκοθεν οἰκάδε παροιμία ἐστὶν ἐπὶ τῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἰόντων· μὴ λάθῃς εἰς τὸ Ἀρκαδίας ἔξωθεν ἀπὸ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ Μητέρα· ὥσπερ γάρ φαμεν, ἀνθρώπῳ Αἰθιοπίας συνέμιξα, ἤγουν Αἰθίοπι, οὕτω καὶ τοῦτο· τὸ δὲ εὐμήλοιο ἡ πολυθρέμμνος ἡ πελυκάρπου, ἀπὸ μέρους· μῆλον γὰρ καὶ ὁ καρπὸς καὶ τὸ πρόβατον.

168. Ποτινισσόμενον.] Παραγενόμενον· ὁ δὲ νοῦς τοιοῦτος· δέξαιτο ὁ Ἥρων ἀπὸ τῆς Ἀρκαδίας ἐρχόμενον τὸν ὕμνον καὶ καταλιπόντα τὴν Στύμφηλον πόλιν, ἥτις ἐστὶ μητρόπολις τῆς Εὐμήλου Ἀρκαδίας, καὶ εἰς Σικελίαν παραγενόμενον.

170 Ἄγαθαι δὲ πέλονθ'.] Ἀστείως ἀπολογεῖται· τουτέστι τὸν νικηφόρον ἆρα πατρίδων εἶναι· καὶ φησιν· ὥσπερ ἐστὶ λυσιτελὲς καὶ συμφέρον ἐν χειμῶνι καὶ νυκτὶ τὴν νῆα δύο ἀγκύραις ἐπερείδεσθαι, οὕτως ἐπιέρδεις καὶ δύο πατρίδας ἔχειν τὸν νικηφόρον· ἡ δὲ ἔμφασις, ὅτι ἐκπίπτοντες τῆς ἑτέρας πόλεως ἐπὶ τὴν ἑτέραν δύνανται σώζεσθαι παραγενόμενοι· ἀγαθαὶ δὲ, φησί, καὶ χρήσιμοι κατὰ χειμερίαν νύκτα δύο ἄγκυραι ἠρεισμέναι ἐκ μιᾶς νεώς· τοῦτο δέ φησι διὰ τὸ καὶ τὸν Ἀγησίαν δύο περιέχεσθαι πατρίσι, τῇ τε Δ'ρκαδίᾳ καὶ ταῖς Συρακούσαις. Ἄλλως· ἐν νυκτὶ δ' ἄνεμοι χαλεποί, πρὸς οὓς χρηστέον δύο ἀγκύραις χρησίμοις· οὕτω καὶ πρὸς τὰς γινομένας ταραχὰς αἱ δύο πόλεις. — Ἄγαθαὶ δὲ εἰσὶ δύο ἄγκυραι ἐκ νηὸς ταχείας ἀπεσκίφθαι, ἤγουν κρέμασθαι, ἐρεῖδουσαι αὐτήν· τουτέστιν ἀγαθαὶ δὲ δύο πατρίδες δεξιοῦσθαί τινα, ὥσπερ δύο ἄγκυραι ἀπεσκίφθαι ἐκ νηὸς ταχείας· ἀπὸ τοῦ σκίμπους σκίμποδος σκίμπτομαι, τὸ στηρίζομαι, ἀφ' οὗ τὸ ἀπεσκίφθαι· ὁ Θεὸς εἴθε παρέχοι τὴν μοῖραν τούτων, ἤγουν τῶν Ἀρκάδων ἐκείνων τε, ἤγουν τῶν Συρακουσίων, κλυτὴν, τουτέστιν ἐπὶ πολλὰς ἀκοὰς ἐρχομένην μετὰ δόξης.

173. Δύ' ἄγκυραι.] Τοῦτο εἶπε διὰ τὸ ἔχειν τὸν Ἀγησίαν δύο πατρίδας, Ἀρκαδίαν καὶ Συρακούσας· ὥσπερ γὰρ χειμαζο-

μένης νηὸς ἐν νυκτὶ αἱ δύο ἄγκυραι ὑράλου πέτρας ἐχόμεναι σώζουσιν αὐτὴν καὶ μὴ τοῖς ἀνέμοις ὑπείκειν ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ ὁ δύο πατρίδας ἔχων ὠφελεῖται· ἀτυχούσης γὰρ τῆς μιᾶς ἐπὶ τὴν ἑτέραν ἐλθὼν σώζεται.

174. Τῶν δ' ἐκείνων τε.] Ὁ νοῦς· Θεὸς οὖν τῶν Ἀρκάδων τὴν μοῖραν καὶ τὴν τῶν Συρακουσίων παρέχοι τῷ Ἀγησίᾳ καλλίστην.

175. Φιλέων δέσποτα.] Σὺ δὲ, ὦ δέσποτα Πόσειδον, ἄνερ τῆς Ἀμφιτρίτης, πάρεχε τῷ Ἀγησίᾳ εὐθὺν πλοῦν καὶ ἄκμητον, ὃν ἔν τε εὐθυμίᾳ καὶ εὐδαιμονίᾳ ὄντα παρέσχες, διανήξασθαι τὸν βίον· καὶ τὸν ἐμὸν δὲ ὕμνον εἰ ἄνθος, καὶ τὸν καρπὸν εἰς δόξαν ἔπαιρε.

177. Εὐθὺν δὲ πλόον.] Μέλλει γὰρ ὁ Ἀγησίας εἰς Συρακούσας πέμπειν τὸν ὕμνον πλοῖ· κατά τινας δὲ τὴν διαγωγὴν τοῦ βίου πλοῦν φησίν· ἔν τε εὐθυμίᾳ καὶ εὐδαιμονίᾳ ὄντα παράσχες διανήξασθαι τὸν βίον.

179. Πόσις.] Τὸ πόσις ἐπὶ κλητικῆ κεῖται ὑθεῖα ὄν, ὡς τὸ Ἥλιος, ὃς πάντ' ἐφορᾷς (Ἰλιάδος γ, 277. καὶ Διὶ φίλος· (Ὀδυσ. ρ, 415.) διὸ οὖν φησὶν, ὦ Πόσειδον, ὦ πόσις Ἀμφιτρίτης, εὐπλοῆσαι καμάτων ἐκτὸς ἐόντα. — Σύνταξις. Δέσποτα ποντόμεδον.] Σὺ δὲ, ὦ δέσποτα ποντόμεδον, ἧγουν βασιλεῦ τῆς θαλάττης, ἄνερ τῆς Ἀμφιτρίτης τῆς χρυσηλακάτου, φιλῶν τοῦτον, ἤγουν τὸν Ἀγησίαν ὡς ἀπόγονον σὸν, εὐθὺν πλοῦν, ἀντὶ τοῦ ἄπονον ζωὴν δίδου, αὐτῷ δηλονότι, καμάτων, ἀντὶ τοῦ δυστυχῶν ἐκτὸς οὖσαν· τῶν ἐμῶν δὲ ὕμνων τὸ ἄνθος εὐτρεπὲς ἄιξε, ἀντὶ τοῦ αὔξον, τερπνὸν ποίει· ἄιξε, αὔξανε, ἤτοι ἡδεῖς τοὺς ὕμνους τοῖς δεχομένοις καὶ κρείττονας τῶν ἄλλων ποίει· ἤγουν τῶν ἐμῶν ὕμνων τὸ ἄνθος αὔξανε πάντοτε τερπνὸν, ἀντὶ τοῦ αὐξάνων αὐτὸ τὸ ἄνθος τερπνὸν ποίει.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Ζ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ἑβδόμου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιά. Τὸ ά Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' Εὐριπίδειον Τὸ έ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ στ' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' ὅμοιον τῷ β'. Τὸ ή ἐγκωμιολογικόν. Τὸ θ' ὅμοιον τῷ στ', δακτυλικὸν πενθημιμερές. Τὸ ί Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιά δακτυλικὸν τρίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιγ'. Τὸ ά δακτυλικὸν πενθημιμερές. Τὸ β' προσοδιακὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον, ἡ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ έ ἀναπαιστικὸν μονόμετρον. Τὸ στ' περιοδικὸν, διπλοῦς τροχαῖος. Τὸ ζ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ή τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ί ἰαμβέλεγος, τοῦ πρώτου ἰάμβου λελυμένου. Τὸ ιά Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ ιβ' προσοδιακὸν δίμετρον καταληκτικόν. Τὸ ιγ' Στησιχόρειον.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ἑβδόμου εἴδους· ἔστι δὲ τὸ ᾆσμα στροφῶν έ. Παλαιόν.

Τοῦ ἑβδόμου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑπτάκις ιά. Τὸ πρῶτον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἤτοι ἐρθημιμερές. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον, Ἰωνικοῦ τοῦ πρώτου, τοῦ δὲ δευτέρου χοριάμβου. Τὸ τρίτον τροχαϊκὸν δίμετρον ἀκατά-

ληκτον. Τὸ δ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἢ ληκύθιον. Τὸ έ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ στ' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' προσοδιακὸν ὅμοιον τῷ θ'. Τὸ ή ἐγκωμιολογικόν, ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς. Τὸ θ' ὅμοιον τῷ στ'. Τὸ ί Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ιά δακτυλικὸν τρίμετρον ἀκατάληκτον· ἀφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ιγ'. Τὸ πρῶτον δακτυλικὸν πενθημιμερές. Τὸ δεύτερον προσοδιακὸν ἀπὸ μείζονος Ἰωνικοῦ τρίμετρον ἀκατάληκτον. Τὸ τρίτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ τέταρτον δακτυλικὸν τρίμετρον ἀκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ. Τὸ έ ἀναπαιστικὸν μονόμετρον. Τὸ στ' δακτυλικὸν ἑξθημιμερές, ὃ καλεῖται ἀκέφαλον διὰ τὸ ἔχειν βραχεῖαν τὴν πρώτην συλλαβήν. Τὸ ζ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ή τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' δακτυλικὸν πεντημιμερές. Τὸ ί ἰαμβέλεγος, τοῦ πρώτου ἰάμβου λελυμένου· ἔστι γὰρ ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν. Τὸ ιά Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπ' ἐλάσσονος. Τὸ ιβ' προσοδιακὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος Ἰωνικοῦ καὶ χοριάμβου καταληκτικοῦ. Τὸ ιγ' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Στησιχόρειον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα, ἤτοι ἀφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Διαγόρα Ῥοδίῳ πύκτῃ] Νικήσαντι τὴν οθ' Ὀλυμπιάδα ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν· ὁ Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ῥοδίου, ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια· περὶ δὲ τούτου τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης καὶ Ἀπόλλας, μαρτυροῦσι δὲ τοιαῦτα· κατὰ γὰρ τὴν Ὀλυμπίαν ἔστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων· μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον

προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων πέντε· ἑχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς ἀδελφὸς, πύκτης καὶ αὐτὸς προβεβλημένος· τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικὸν, τὴν δὲ δεξιὰν ὡς προσευχὴν ἀνατείνων· καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί· μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο· Εὐκλῆς πυγμῇ νικήσας Ἄνδρωνα, καὶ μετ' ἐκεῖνον Πειτίῤῥοθος· καὶ λέγεται κατὰ τὴν Ὀλυμπίαν νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρὶ, περιλαβόντας οὖν τὸν Διαγόραν περιϊέναι τὸ στάδιον, μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων· χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν, καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον, γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς, οὐχ ὁμοίαν εἶναι ταῖς ἄλλαις γυναιξὶν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, Δαμάγητον, Δωριέα, Λ'κουτίλαον, καὶ ἐξ ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίῤῥοθον· καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας, καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι, καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι· καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα· ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι· φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρὸν που πορευομένην, εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ τεμένει, καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτὴν, ὃς πρῶτος ἀφ' Ἡρακλέος λέγεται τοιοῦτος γενέσθαι· ἀφ' οὗ γὰρ Ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα, μηδενί πω τοιαῦτα συμβῆναι, ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς Ὀλυμπιονίκας γενέσθαι. — Ταύτην τὴν ᾠδὴν φασιν ἀνακεῖσθαι χρυσοῖς γράμμασιν ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ· ἀνέθεσαν δὲ ἡ Πίνδαρον τιμῶντες ἢ Διαγόραν.

1. Φιάλαν.] Τὸ προοίμιον τοῦτο ἄρχεται ἐκ παραδείγματος. — Φιάλαν ὡς εἴτις.] Τὸ σαφὲς οὕτως ἔχει· ὥσπερ εἴ τις φιάλην πάγχρυσον ἀπὸ πλουσίας χειρὸς λαβὼν πεπληρωμένην οἴνου δωρήσεται ἀκμαίῳ νυμφίῳ, ἅμα τὸν οἶνον προπίνων καὶ αὐτὴν τὴν φιάλην δωρούμενος τίμιον καὶ ἄκρου ὂν τῶν τοῦ πλούτου κτημάτων ἀπὸ τῶν οἴκων τοῦ πεν

θερσοῦ εἰς τὰ ἑαυτοῦ φέρειν οἰκήματα ἐχαρίσατο· εἶπε δὲ συμποσίου, διὰ τοῦ δώρου τὴν ὀφειλομένην χάριν ἀποσώσας καὶ τὴν ἑαυτοῦ συγγένειαν πρὸς τὸν νεανίαν τιμήσας· τῶν δὲ φίλων κατὰ τὸ συμπόσιον παρόντων ἔθηκεν αὐτὸν ζηλωτὸν καὶ ἐπίδοξον ἕνεκα τῆς ὁμοφροσύνης, ἣν ἔχει ὁ νεανίας πρὸς τὴν τοῦ δωρησαμένου θυγατέρα — Σύνταξις. Φιάλαν ὡς εἴ τις.] Ὥσπερ εἴ τις ἄνθρωπος λαβὼν ἀπὸ τῆς ἀφνειᾶς αὐτοῦ χειρὸς φιάλην καὶ ποτήριον πάγχρυσον, κορυφὴν κα ἐξαίρετον τῶν ἄλλων κτεάνων, καχλάζουσαν καὶ κινουμένη ἔνδον ὁρόσῳ ἀμπέλου, ἤτοι οἴνῳ, δωρήσεται ταύτην νεανίᾳ γαμβρῷ ἑαυτοῦ, προπίνων ἀπὸ ταύτης, τιμήσας καὶ τὴν χάριν τοῦ συμποσίου καὶ τὸ ἦθος καὶ ἴδιον κῆδος καὶ συγγένειαν, τοιοῦτόν τίμιον τὸ συμπόσιον τῇ φιλοδωρίᾳ ποιήσας, ὅτι τὸν αὐτὸν συγγενῆ ἔχει, πλείστους ἄξιός ἐστιν, ἐπειδὴ τοιαῦτα χαρίζεται· ἐν δὲ, ἤγουν σὺν τούτοις ἔθηκέ μιν καὶ αὐτὸν, τὸν γαμβρὸν, παρόντων φίλων ζηλωτὸν καὶ μακαριστὸν ἕνεκα τῆς εὐνῆς καὶ τοῦ λέχους οὗπερ ἠξίωται τῆς ὁμόφρονος καὶ σεγγενικῆς· οὕτω καὶ ἐγὼ πέμπων τοῖς ἀθλοφόροις ἀνδράσι νικῶντεσσι καὶ νικῶσιν ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθοῖ, νέκταρ χυτὸν καὶ ἀρεττὸν, ἤτοι ὕμνον, δόσιν Μουσῶν, τουτέστιν ἣν αἱ Μοῦσαι διδόασιν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως, γλυκὺν καρπὸν τῆς ἐμῆς φρενὸς, ἱλάσκομαι καὶ ἱλαροὺς αὐτοὺς τίθημι· εἰ δὲ τοιαύτη ἐστὶν ἡ τῆς παραβολῆς ταύτης ἀπόδοσις, μὴ Θαυμάσῃς· πολλὰ γὰρ ἂν τοιαῦτα ζητῶν εὑρήσεις· τὸ φιάλαν εἰ μὲν συνάψεις πρὸς τὸ πάγχρυσον, κορυφὴν αὐτὴν τῶν ἄλλων κτεάνων νόει, οὐχ ὡς ποτήριον, ἀλλ' ὡς χρυσῆν· ἔφη γὰρ πρόσθεν. Ὀλυμπ. Γ', 64.) Κτεάνων δὲ χρυσὸς αἰδοιέστατος· εἰ δὲ συνάψεις τὸ πάγχρυσον πρὸς τὸ τιμήσας, εἴποις οὕτω· τιμήσας τὴν πάγχρυσον κορυφὴν τῶν κτεάνων, τουτέστι τὸν αὐτῷ προσόντα χρυσόν· διότι οὐδέτερον κτῆμα, ἀλλὰ φιάλην ἐκ χρυσοῦ ἐχαρίσατο· τὸ δὲ ἀφνειᾶς ἀπὸ χειρὸς ἢ πρὸς τὸ ἐλὼν σύναπτε, ἢ πρὸς τὸ δωρήσεται· κρεῖττον δ' ἐστὶ τὸ πρῶτον, ὅπερ ἀγνοοῦντές τινες διὰ τὸ ἔχειν τινὰ ἀπάρειαν οὐ δέχονται· τὸ δ' οὕτως ἔχει· ἐλὼν ἀφνειᾶς ἀπὸ χειρὸς, τουτέστιν αὐτὸς ταύτην κατέχων, ἐπεὶ ἑτέρῳ ἔδωκεν, ὥσπερ ἀπὸ τῆς κατεχούσης αὐτὴν χειρὸς, ταύτην ἀφεῖναι τὴν κύλικα· τὸ δὲ κῆδος ἢ ὡς ἔφαμεν λέγε, ἢ κῆδος ἐὸν νόει τὸν ἴδιον γαμβρόν· ἢ ἦ τὸ κῆδος τιμήσας ἐὸν καὶ τὸ ἐν δέ μιν ζηλωτὸν ἔθηκε ταυτό· πρὸς δὲ τὸ εὐνᾶς εἰ καὶ τὸ ἕνεκα ἔξωθεν ἐλάβο-

μεν, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν· ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ζηλωτός· εἰ γὰρ ἡ εὐνὴ ζηλωτὸν ἐκεῖνον ἐποίησε, πῶς οὐκ εἰκός ἐστι λέγειν ζηλωτὸν εὐνῆς; ὥσπερ γὰρ ῥεῦμα πηγῆς λέγομεν, οὕτω καὶ τοῦτο· ὅπερ εἰ μὴ δέχεταί τις, οὐδεὶς ἡμῖν λόγος· τὸ δὲ ἱλάσκομαι εἶπεν ἐκ μεταφορᾶς τῶν ἱκετευομένων, οὓς οἱ ἱκετεύοντες τῷ συνεχεῖ τῆς ἱκεσίας πρὸς οἶκτον καὶ ἔλεον αὐτῶν μαλθάσσουσιν † Ἄλλως. Σύνταξις. Ὥσπερ εἴ τις φιάλην λαβὼν διόλου χρυσῆν, κορυφὴν κτεάνων, ἤγουν ἐξαίρετον κτῆμα τῶν κτημάτων, καχλάζουσαν ἔνδον ὁρόῳ ἀμπέλου, τουτέστιν οἴνῳ, ἀντὶ τοῦ οἶνον ἔχουσαν ἔνδον ἀναπηδῶντα τῇ ἑαυτοῦ φυσικῇ θέρμῃ, διὰ χειρὸς πλουσιοδώρου δωρήσεται, ἤγουν χαρίσεται νεαλῆ γαμβρῷ ἑαυτοῦ προπίνων, τουτέστιν ἅμα τῷ πόματι καὶ τὴν φιάλην χαριζόμενος, οἴκοθεν, ἤγουν ἀπὸ τοῦ ἰδίου οἴκου, ὥστε ἐνεγκεῖν τὸν νεανίαν εἰς τὴν ἑαυτοῦ οἰκίαν, τὸ ἐπαγωγὸν τοῦ συμποσίου τιμήσας, περιφραστικῶς, τουτέστι τὸ συμπόσιον καὶ τὴν συγγένειαν τὴν ἑαυτοῦ φίλων δὲ συμπαρόντων ἐποίησεν αὐτὸν, ἤγουν τὸν ἑαυτοῦ γαμβρὸν, ζηλωτὸν, τουτέστι μακαριστὸν ἕνεκα τῆς συναφείας τῆς γαμικῆς, ἢ ἐξ ἀνάγκης ἕπεται ἡ ὁμοφροσύνη· οὕτω δηλονότι καὶ ἐγὼ νέκταρ χυτὸν, λέγω δόσιν Μουσῶν, τουτέστιν ἣν αἱ Μοῦσαι διδόασι γλυκὺν καρπὸν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως πέμπων ἀνδράσιν ἀθλοφόροις, ἤτοι νικηταῖς ἐν Ὀλυμπίᾳ καὶ Πυθοῖ νικῶσιν, ἀντὶ τοῦ νικήσασιν, ἱλάσκομαι αὐτοὺς δηλονότι, ἤγουν ἱλαροὺς, χαρωποὺς ποιῶ.

3. Καχλάζοισαν.] Ἀντὶ τοῦ πεπληρωμένην· πρὸς ὃ τὸ σημεῖον· ἀντὶ τοῦ πληθύνουσαν· ἔνδον δὲ, ὅτι ἔσω τῆς φιάλης ἔχεται ὁ οἶνος· ἀμπέλου ὁρόῳ, ἤγουν τῷ οἴνῳ.

5. Προπίνων.] Προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἄγγελον χαίζεσθαι· Ἀνακρέων· Ἀλλὰ πρόπινε ῥαδινούς, ὦ φίλε, μηρούς, ἀντὶ τοῦ χαρίζου· καὶ Δημοσθένης (Ὀλυνθ. Γ'. σελ. 34, 24) τοὺς προδιδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς προπίνειν ἔφη. Ἄλλως· τινὲς προπέμπων λέγουσι, τὸ δὲ προπίνων παλαιὸν σφάλμα φασὶ τῶν γραψάντων· νεανίᾳ δὲ γαμβρῷ, τῷ ἀκμαίῳ νυμφίῳ· γαμβρὸν γὰρ κυρίως τὸν νυμφίον λέγουσι δηλοῦν· οὐ μόνον προπίνων, ἀλλὰ καὶ τὴν φιάλην χαρίσεται χρυσῆν οὖσαν· δηλοῖ γὰρ τὸ δωρεῖσθαι, ὡς Ἀνακρέων· ὡς καὶ, προπίνων χρυσᾶς φιάλας· καὶ Δημοσθένης τοὺς προδιδόντας τὴν πατρίαν.

6. Οἴκοθεν.] Διὰ γὰρ τὴν οἰκειότητα αἱ οἰκίαι κοιναί εἰσι τοῦ πενθεροῦ καὶ τοῦ γαμβροῦ. — Πάγχρυσον.] Τὸ μὲν πάγχρυσον ὡς πρὸς τὴν φιάλην, ἵν' ᾖ ἡ φιάλη ὅλη χρυσῆ· τὸ δὲ κορυφὰν κτεάνων, ὅτι ἀξιοπρεπέστερος τῶν τοῦ πλούτου χρημάτων ὁ χρυσός· κορυφὰν οὖν τὸ κεφάλαιον καὶ ἄκρον ἀκουστέον.

8. Συμποσίου τε χάριν.] Ἀντὶ τοῦ, τῶν ἐν τῷ συμποσίῳ, ὅπως δόξῃ καὶ χαριστικός τις εἶναι παρὰ τοῖς πίνουσιν. — Κἀδός τε.] Τὸ κῆδος καὶ τὴν συγγένειαν· ἔοικε γὰρ ὁ δωρούμενος πατὴρ εἶναι τῆς γαμηθείσης τῷ νεανίᾳ νύμφης· τὴν κατ' ἐπιγαμίαν οἰκειότητα τιμῶν τῷ δώρῳ τῆς χρυσῆς φιάλης· ἔνθεν καὶ κηδεστής.

9. Ἐν δέ.] Σύναπτε τὴν ἐν μετὰ τοῦ Θῆκε, ἵν' ᾖ· ἐνέθηκε.

10. Ζαλωτόν.] Ἐπαινετόν.

12. Καὶ ἐγὼ νέκταρ κυτόν.] Αὐτόχυτον καὶ ἄκρατον· τὸ δὲ σαφὲς οὕτως ἔχει· ὥσπερ ὁ πενθερὸς δωρεῖται τῷ νεανίᾳ τὴν φιάλην οἴνου πεπληρωμένην, οὕτω καὶ ἐγὼ τὸ αὐτόματον καὶ ἄκρατον τὸ ἐκ τῶν Μουσῶν ὑπάρχον μοι νέκταρ, ὃ ἐκ τῆς ἐμαυτοῦ διανοίας ἐκαρπωσάμην, παρέχω τοῖς νικηταῖς ἀνδράσι· νικητὰς δὲ τοὺς ἐν Ὀλυμπίᾳ λέγει καὶ ἐν Πυθῶνι· ἱλαροὺς αὐτοὺς καὶ εὐχαρίστους ἀποτελῶν· νέκταρ τὸ ποίημα εἶπε, Μοισᾶν δὲ δόσιν τὴν μουσικὴν καὶ τοὺς ὕμνους· ἱλάσκομαι δὲ, ἱλαροὺς ποιῶ τοὺς τὸν ὕμνον λαμβάνοντας νικηφόρους, ὡς ὁ προπίνων πενθερὸς τῷ γαμβρῷ τὴν φιάλην καὶ δωρούμενος λαμπρὸν κατασκευάζει τὸν λαμβάνοντα, καὶ γεγηθότα· νέκταρ χυτὸν καὶ αὐτὸ ἄκρατον· οὐ γὰρ ἐπιδέεται τοῦτο κράσεως, καθάπερ οἶνος χωρὶς ὕδατος· καρπὸν φρενὸς τὴν ποίησιν εἶπε καὶ τὴν ἐπίνοιαν τῶν ποιημάτων.

14. Καρπόν.] Εὕρεσιν.

17. Ὁ δ' ὄλβιος.] Οὗτος δέ ἐστιν εὐδαίμων, ὃν ἀγαθὴ δόξα καὶ φήμη κατέχει, ἤτοι γνωμικῶς, ἢ ἰδίως ὃν ἂν εὐφημήσω· καθόλου πᾶς ὁ καλῶς ἀκούων ὄλβιός ἐστιν· ἢ φῆμαι ἀγαθαὶ κατέχουσιν ἐκ τῶν ἐμῶν ποιημάτων· οἵτινες τῶν ὑπ' ἐμοῦ μνησθέντων. — Σύνταξις. Ὁ δ' ὄλβ.ος.] Οὗτος δὲ μακάριος, ὃν κατέχουσι φῆμαι ἀγαθαί, τουτέστι διαλαλήσεις χρηστα, ἃς οἱ ὕμνοι ποιοῦσι· τὸ γὰρ ἐπαγόμενον τοῦτο δίδωσι συνυπακούεσθαι· ἐπάγεται γάρ· ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζωθάλμιος, ἀντὶ τοῦ ἄλλοτε δ' ἄλλον θάλπει, περιέπει τὸ ἐπαγωγὸν τῶν ὕμνων τὸ θαλερᾶς ζωῆς

πάροχον, ἅμα μὲν καὶ σὺν φόρμιγγι ἡδέα μέλη ἐργαζομένη καὶ ἐν ἔντεσιν, ἤγουν κατασκευάσμασιν αὐλῶν, περιφραστικῶς ἀντὶ τοῦ καὶ ἐν αὐλοῖς παμφώνοις, τουτέστι ποικίλως φωνοῦσιν. — Ὅδ' ὄλβιος.] Εἰ μὲν ὀξύνεις, τὸ ρ, οὕτως ἐρεῖς· ὅδε καὶ οὗτος ὑπάρχει ὄλβιος καὶ εὐδαίμων, ὃν κατέχουσι φῆμαι ἀγαθαί· εἰ δὲ καθ' ὁμαλισμὸν γράφεις, οὕτως· ὁ δὲ ὄλβιος οὗτός ἐστιν, ὃν φῆμαι κατέχουσιν ἀγαθαί.

19. Ἐποπτεύει χάρις.] Ἀρίσταρχος χάριν ἀκούει τῆς εὐδαιμονίας· βέλτιον δὲ τὴν τῶν ποιημάτων· ζωθάλμιος δὲ ἡ Θάλλειν αὐτοὺς ποιοῦσα καὶ οἱονεὶ ζῆν διαπαντὸς μνημονευομένους. Ἄλλως· χάρις, ἡ τῶν ποιημάτων ἡδονή· ὁ νοῦς· ἄλλοτε δ' ἄλλον ἡ ζωθάλμιος χάρις ἡ τῆς νίκης καταλαμβάνει καὶ ἐποπτεύει τοὺς νικηφόρους σύν τε κιθάρα καὶ αὐλοῖς ποικίλως ᾠδεγομένοις.

21. Παμφώνοισί τε.] Πολυφθόγγοις, διὰ τὰς ἐν αὐλῷ ὀπάς· λέγει δὲ, ὅτι κατορθωθεῖσά τινι νίκη εἰ ἐπαίνου τεύξεται, ἀδιαλείπτως αὐτή τε Θάλλει καὶ ὥσπερ ζῇ οὐχ ὑπὸ λήθης ἀφανιζομένη, καὶ τὸν πονήσαντα ταύτην τοιοῦτον ἐξ αὐτῆς παρίστησι· τὸ δὲ φόρμιγγι καὶ τὸ αὐλοῖς λέγει, ἐπειδὴ διὰ τοιούτων αὐτὸς ᾖδε τὰ ἔπη.

22. Ἔντεσιν αὐλῶν.] Περιφραστικῶς τῶν αὐλῶν, οὓς ἔντεα εἶπε παρὰ τὸ ἐντὸς ἔχειν τὴν φωνήν.

23. Ὑπ' ἀμφοτέρων.] Μετὰ αὐλῶν καὶ λύρας· ἡ δὲ ὑπὸ ἀντὶ τῆς μετὰ καὶ Ὅμηρος· (Ἰλ. σ, 492) Δαῖδων ὕπο λαμπομενάων· κατῆλθον οὖν ἀπὸ Θήβης ἐπὶ τὴν Ῥόδον τὴν τοῦ νικηφόρου πατρίδα, ὑμνεῖν αὐτὴν μετὰ τῶν αὐλῶν καὶ κιθάρας. — † Σύνταξις. Καί νυν ὑπ' ἀμφοτέρων.] Καὶ δὴ μετ' ἀμφοτέρων, ἤγουν τῆς φόρμιγγος καὶ τῶν αὐλῶν, ἦλθον σὺν τῷ Διαγόρᾳ τῷ νικηφόρῳ, τουτέστι τοῦ Διαγόρου τὴν ὁδὸν ἡγουμένου· οὗτος γὰρ νικήσας ἐγένετο αἴτιος τῆς ὁδοῦ ταύτης· ὑμνῶν τὴν Ῥόδον τὴν Θαλασσίαν τὴν παῖδα τῆς Ἀφροδίτης, καὶ νύμφην, ἤγουν γυναῖκα τοῦ Ἡλίου· τὴν ἡρωΐδα δὲ λέγει, συμπεριλαμβάνει δὲ αὐτῇ καὶ τὴν νῆσον· ὅπως ἄνδρα πελώριον, ἤτοι πάνυ μέγαν, αὐτὸν τὸν Διαγόραν δηλονότι, εὐθυμάχαν, ἤγουν ἄτρεπτον ἐν μάχαις, ὁμόσε χωροῦντα, ἐν τῇ Πίσῃ στεφανωσάμενον, τουτέστι νικήσαντα, καὶ ἐν τῇ Κασταλίᾳ τῇ ἐν Πυθοῖ, ἐπαινέσω εἰς ἄποινα, ἀντὶ τοῦ εἰς ἀμοιβὴν τῆς πυγμῆς, καὶ τὸν πατέρα αὐτοῦ τὸν Δαμάγητον τὸν ἀρεστὸν γεγονότα τῇ δίκῃ, ἤτοι τὸν τιμήσαντα τὴν δίκην, τοὺς ναίοντας, ἀντὶ τοῦ τοὺς

κατοικήσαντας σὺν αἰχμῇ, τουτέστι δυνάμει, στρατιᾷ Ἀργείᾳ τὴν νῆσον τὴν τρίπολιν, ἣν οὖν τὴν Ῥόδον, ἐφ' ᾗ τρεῖς ἦσαν πόλεις, Λίνδος, Ἰηλυσὸς καὶ Κάμειρος, πέλας, ἤτοι πλησίον τοῦ ἐμβόλου τῆς Ἀσίας τῆς εὐρυχόρου, τουτέστι τῆς ἐπὶ πολὺ πλάτος κατὰ κύκλον ἀνοιγομένης.

24. Τὰν ποντίαν.] Σύνηθες τῷ Πινδάρῳ τὰ τῶν Νηρηΐδων ὀνόματα κατὰ τῶν πόλεων τῶν ὁμωνύμως λεγομένων τάττειν καὶ τοὔμπαλιν, ἔστι δὲ ὅτε καὶ συμπλέκειν, ὥσπερ καὶ νῦν. Ἀφροδίτης μὲν γὰρ λέγει τὴν ἡρωΐδα, ὅτι δὲ ποντίαν ὀνομάζει, τὴν νῆσον βούλεται δηλοῦν· ἐὰν δὲ γράφηται παῖδ' Ἀμφιτρίτης, ὡς Ἀμφιτρίτης καὶ Ποσειδῶνος οὔσης τῆς Ῥόδου θυγατρὸς, κατὰ δὲ ταύτην τὴν γραφὴν τὸ ποντίαν οὐκέτι ἐπὶ τῆς νήσου θετέον, ἀλλ' ἐπὶ τῆς Ἀμφιτρίτης· καὶ γὰρ αὕτη ἐνάλιος δαίμων. Ἀσκληπιάδης δέ φησι γενεαλογεῖσθαι τὴν Ῥόδον Ἀμφιτρίτης καὶ Ἠλίου· τὸν γὰρ Ἥλιον αὐτῆς ἐρασθῆναι καὶ αὐτὴ ἐν τῇ ἀπ' αὐτῆς κληθείσῃ Ῥόδῳ νήσῳ συμμιγῆναι. Ἄλλως· ποντίαν τὴν Ῥόδον, διὰ τὸ εἶναι νῆσον, οὐχ ὥς τινες ἠβουλήθησαν, ἐξ Ἡλίου καὶ Ἀφροδίτης τὴν νύμφην γεγεννῆσθαι· ἐναντίον γὰρ τὸ ἐπαγόμενον, Δ' ελίοιό τε νύμφαν· ἀλλ' ἀκουστέον τὴν Ῥόδον Ἀφροδίτης παῖδα διὰ τὸ ἀνθηρὸν καὶ χαριέστατον, νύμφην δὲ Ἡλίου· λέγεται γὰρ θεασάμενος τὴν νύμφην καὶ ἐρασθεὶς, εἶτα ἁρπάσας ἐν τῇ ὁμωνύμῳ νήσῳ συγγενέσθαι· ἵνα τὸ μὲν ποντίαν παῖδ' Ἀφροδίτης ἐπ' αὐτῆς τῆς νήσου λάβωμεν, τὸ δὲ Δ' ελίοιό τε νύμφαν ἐπ' αὐτῆς τῆς ἡρωΐδος. Ἄλλως· παῖδα Ἀφροδίτης τῆς περὶ τὴν Ῥόδον διὰ τὸ κάλλος τῆς νήσου. Πρόριλος δὲ Ποσειδῶνος καὶ Ἀφροδίτης τὴν Ῥόδον εἶναί φησιν, Ἐπιμενίδης δὲ αὐτὴν Ὠκεανοῦ γενεαλογεῖ, ἀφ' ἧς τὴν πόλιν ὠνομάσθαι· τινὲς δὲ αὐτήν φησι κληθῆναι οὕτω διὰ τὸ σπουδαῖα ἔχειν ῥόδα, οἱ δὲ διὰ τὸ ῥοώδη εἶναι τὰ περὶ αὐτήν. Ἄλλως· Ἀφροδίτης φασὶ γενέσθαι Ῥόδον θυγατέρα, ἀφ' ἧς κληθῆναι τὴν νῆσον, Ἡλίου δὲ νύμφην. Ἡλίου καὶ Ῥόδου ἐγένοντο παῖδες ζ καὶ θυγάτηρ Ἠλεκτρυώνη.

25. Παῖδ' Ἀφροδίτας.] Λέγουσί τινες τὴν Ῥόδον, ἧς ἡ νῆσος ἐπώνυμος, παῖδα μὲν Ἀφροδίτης εἶναι, γυναῖκα δὲ Ἡλίου, βεβαιοῦντες τοῦτο ἀπὸ τοῦ Νύμφην· ἄλλοι δὲ παῖδ' Ἀφροδίτης καὶ Ἡλίου· σὺ δὲ τοῖς προτέροις πείθου· μαρτυρήσει δὲ καὶ Πίνδαρος προῖών· ποντίαν δὲ λέγει διὰ τὸ τὴν ἐξ αὐτῆς ὀνομασθεῖσαν Ῥόδον ἐν θαλάσσῃ εἶναι καὶ ταύτην ἐν αὐτῇ κατοικεῖν· τὸ δὲ εὐθυμάχαν ἢ πρὸς τὸ Ῥό-

δαν νέει, ὡς καὶ ὄπισθεν ἔρχῃ τὸ Θήβαν πλήξιππον, (Ὀλυμπ. ς'. 85.) ἢ πρὸς τὸ ἄνδρα· εὐθυμάχης δὲ ἀνὴρ ὁ ὁμόσε τῇ μάχῃ χωρῶν καὶ μηδαμῶς εἰς δειλίαν νεύων· διὰ τοῦτο δὲ εἶπε τὸ ὑμνέων τὴν Ῥόδον, διὰ τὸ τὸν Διαγόραν Ῥόδιον εἶναι.

28. Πελώριον.] Οὐ παρὰ τὸ τυγχάνον ἐνεκωμίασε τὸν ἄνδρα Διαγόραν, ἀλλὰ συμφώνως οἷς ἐξηγησάμεθα περὶ αὐτοῦ, ὅτι δ' πηχῶν καὶ ἑ δακτύλων ὁ Διαγόρας· εὐθυμάχαν δὲ τὸν ἐξ εὐθείας ἀγωνιζόμενον παρ' Ἀλφειῷ, ἤγουν ἐν Ὀλυμπίᾳ· ἤτοι μὴ ἐπιστρεφόμενον ἐν τῷ πυκτεύειν, ἢ ἐπ' εὐθείας ἐρχόμενον ἐν μάχῃ· τὸ δὲ πελώριον οὐκ ἀργῶς, ἀλλ' ἐπεὶ τετράπηχυς ἦν καὶ πέντε δακτύλων. — Πελώριον ἄνδρα.] Ἤτοι τὸν μεγαλόσωμον Διαγόραν, ἢ οὗ ἐν Ὀλυμπίᾳ ἀνδριὰς ἵσταται πηχέων τεσσάρων καὶ δακτύλων ἑ. — Πελώριον.] Ἀνδρειότατον.

32. Πατέρα τε Δαμάγητον.] Τὸν τοῦ Διαγόρα· πάλιν δὲ τούτῳ κοινῶς συναπτέον τὸ αἰνέσω πελώριόν τε ἄνδρα. — Ἀδόντα.] Τὸν φανέντα ἀριστον. — Ἀδόντα δίκᾳ.] Ἀρέσαντα τῇ δικαιοσύνῃ, ἀντὶ τοῦ δίκαιον· ὁ δὲ νοῦς· κἀγὼ τοίνυν ἐπὶ τοῦ παρόντος σὺν ἀμφοτέροις ἦλθον, τῇ τε λύρᾳ καὶ τῷ αὐλῷ, ὥστε ἅμα τῷ νικητῇ Διαγόρᾳ τὴν τοῦ Ἥλεω μὲν νύμφην, Ἀφροδίτης δὲ παῖδα Ῥόδον ὑμνῆσαι, ὅπως τοῦτον τὸν εὐθύμαχον ἄνδρα τὸν Διαγόραν τὸν πελώριον καὶ μέγιστον, τὸν παρὰ τῷ Ἀλφειῷ ἐν τῇ Ὀλυμπίᾳ στεφθέντα διὰ τὴν πυγμὴν, τοῖς ὕμνοις ὡς ἀποίνοις καὶ ὥροις ὑμνήσω, στεφθέντα δὲ καὶ παρὰ τῇ Κασταλίᾳ τῇ ἐν τῇ Πυθοῖ, αἰνέσω δὲ καὶ τὸν πατέρα αὐτοῦ τοῦ Διαγόρα τὸν Δαμάγητον τὸν ἀρέσκοντα τῇ δίκῃ, τὸν ὅσιον καὶ εὐσεβῆ· παρὰ Κασταλίᾳ δὲ, ὅτε ἐνίκησε καὶ Πύθια· ἡ δὲ Κασταλία κρήνη ἐν Πυθῶνι· πρὸς δὲ τοῦτο κοινῶς συναπτέον τὸ στεφανωσάμενον παρά τε Ἀλφειῷ καὶ Κασταλίᾳ.

33. Ἀσίας εὐρυχώροιο.] Τούτους δὲ ὑμνήσω τοὺς τὴν τρίπολιν νῆσον οἰκοῦντας Ῥόδον τὴν οὖσαν πλησίον τοῦ ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας· ἔμβολον δὲ Ἀσίας ἡ Λυκία διὰ τὸ οὕτω παρατετάσθαι τὴν γῆν, ὡστεὶ πόλεως ἔμβολον ἢ τριήρους· ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ εἰμώματα καλοῦσιν. Ἄλλως· σημείωσαι δὲ ὅτι εἰς Ῥόδον τόπος ἔστιν ἀποτείνων εἰς ὀξὺ κατὰ Λυκίαν, ἐμβόλῳ παραπλήσιος. — Ἄλλως. Ἀσίας εὐρυχώροιο.] Δύναται καὶ ἑτέρως ἑρμηνεύεσθαι τὸ πέλας ἐμβόλου ναίοντας· καὶ γὰρ Ῥόδος

ἀντικρὺ μὲν κεῖται τῆς Λυκίας καὶ πλησίον· ἐν Λυκίᾳ δέ ἐστι πόλις Ἀρύκανδα καλουμένη, ἧς πλησίον ἱερόν τι χωρίον, ὃ πρότερον μὲν Ἔμβολος ἐκαλεῖτο διὰ τὴν θέσιν τοῦ χωρίου· ἐκ γὰρ πολλῶν καὶ πλατέων τῶν παρακειμένων πέτρων εἰς ὀξὺ λήγει μέρος ἡ χώρα· νῦν δὲ προσωνομάσθη Τριήρης ἀπὸ τῆς αὐτῆς αἰτίας, ἐπεὶ ὥσπερ πλοίῳ προσέοικεν ἡ θέσις τοῦ τόπου· ἐπεὶ οὖν μάλιστα ἐν τούτῳ τῷ τόπῳ θρησπευτήριόν ἐστιν Ἠλίου, Ῥόδιοι δὲ ἐξ Ἠλίου, διὰ τοῦτο ὡς οἰκειοτέρου καὶ προσφορωτέρου μέμνηται τοῦ τόπου· δύναται δὲ καὶ ἀπὸ τῆς ἐκ μέρους περιφράσεως νοεῖσθαι, τῇ τῆς Λυκίας πλησίον ὑπαρχούσῃ. — Ἀσίας εὐρυχώρου.] Τινὲς τὴν Ῥόδον φασὶ κεῖσθαι κατ' ἀντικρὺ τῶν Χελιδονίων νήσων, αἳ εἰσὶν ἐπὶ τῆς Λυκίας· οἱ δὲ τὸν Κάρμηλον. Θεότιμος δὲ ἐν τῷ περὶ τοῦ Νείλου ὄρου ἱστοριῶν διὰ τοῦ υ γράφει εὔβολον, καὶ οὕτω προσαγορεύεσθαι διὰ τὸ ἐν καλῷ τόπῳ κεῖσθαι τὴν νῆσον· καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν εὔβολον διακεῖσθαι τὸ πρᾶγμα, ὅταν ᾖ καλῶς διακείμενον, ὥστε τὴν μεταφορὰν ἀπὸ τῶν ἁλιέων εἶναι· ἢ ὅτι ἐν ἐξέχοντι τόπῳ κεῖται· ἢ ὥσπερ τριήρει οὖσα ὁμοία καὶ Ἀσίας εὐρυχώρου πέλας οὖσα.

34. Τρίπολιν νᾶσον.] Τὴν Ῥόδον, ὡς Ὅμηρος· (Ἰλ. β, 665.)

Οἳ Ῥόδον ἀμφενέμοντο διάτριχα κοσμηθέντες,
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.

Ἔκγονοι δὲ Ἠλίου, ἀφ' ὧν αἱ πόλεις ὠνομάσθησαν, Λίνδος, Ἰηλυσός, Κάμειρος, παῖδες Κερκάφου τοῦ Ἡλίου καὶ Κυδίππης τῆς Ὀχίμου θυγατρός. Δίδυμος δέ φησι καὶ τετάρτην εἶναι πόλιν τὴν νῦν Ἀχαιῶν καλουμένην. Ἄλλως τρίπολιν εἶπε τὴν Ῥόδον, διὰ τὸ ἔχειν τρεῖς πόλεις, Λίνδον Ἰηλυσὸν καὶ Κάμειρον. — † Τρίπολιν νᾶσον.] Τὴν τρεῖς ἔχουσαν πόλεις, Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον· ἐτέθη δὲ ταῖς πόλεσι τὰ ὀνόματα ἀπὸ τῶν τοῦ Ἡλίου υἱωνῶν, Λίνδιος, Ἰηλυσοῦ καὶ Καμείρου· γράφεται δὲ καὶ Ἐμβόλου τῆς εὐρυχόρου καὶ Ἐμβόλῳ· καὶ τὸ μὲν Ἐμβόλου οὕτως ἀποδώσεις· ναίοντας τὴν τρίπολιν νῆσον πέλας τοῦ Ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας· ἀντικρὺ γὰρ Ῥόδου Λυκία, ἥτις ἐστὶ τῆς Ἀσίας, ἐν δὲ τῇ Λυκίᾳ χωρίον τι Ἔμβολος λεγόμενον διὰ τὸ εἰς ὀξὺ λῆγόν τε καὶ στενὸν καὶ προήκειν εἰς θάλασσαν· τὸ δὲ Ἐμβόλῳ οὕτω· ναίοντας τὴν τρίπολιν νῆσον ἐν Ἐμβόλῳ πέλας τῆς εὐρυχώρου Ἀσίας· μέρος γάρ τι τῆς Ῥόδου τὸ πρὸς Ἀσίαν εἰς ὀξὺ καὶ στενὸν παρατέταται, ὡς ἐοικέναι

ἐμβόλῳ νηός· ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ πρῷραι καλοῦνται.

35. Ἐμβόλῳ.] Ἐμβασίας. — Αἰχμᾷ.] Δυνάμει — Ἀργεία σὺν αἰχμᾷ.] Σὺν πλήθει Ἀργείων ναίοντας· διὰ τοὺς κατελθόντας σὺν Τληπολέμῳ.

36. Ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς.] Ἐθελήσω, φησί, τοῖς Ἡρακλείδαις, τοῖς ἀπὸ Τληπολέμου Ῥοδίοις, κοινὸν ἐξ ἀρχῆς λόγον διορθῶσαι, ὃ ἐστιν ἀκριβῶσαι καὶ διασημῆναι· τρεῖς ἀμφιβολίας ἔχει· ἤτοι γὰρ καθόλου πάντων ἀνθρώπων κοινὸν λόγον, ἢ αὐτῶν τῶν Ῥοδίων, ἢ ἔξωθεν λεπτέον τὸ ὡς ἵνα ἢ ὥστε ξυνῶσαι, καὶ πᾶσιν ἀνθρώποις εἰς μέσον ἀγαγεῖν. Ἄλλως· βούλομαι οὖν τοῖς ἐξ ἀρχῆς οὖσιν ἀπὸ Τληπολίμου Ῥοδίοις κοινόν τινα καὶ προσήκοντα λόγον εἰπεῖν καὶ διακριβῶσαι, οἵτινές εἰσι Τληπολεμίδαι οἱ Ῥόδιοι ἐκ τῆς τοῦ Ἡρακλέους γέννας· βούλεται δὲ τῆς Τληπολέμου φυγῆς ὑπεραπολογήσασθαι· ὁ γὰρ Τληπόλεμος Λικύμνιον τὸν Ἠλεκτρύωνος παῖδα νόθον, ὃς ἐγένετο ἐκ Μιδέας Φρυγίας τινὸς γυναικὸς, ἀφ' ἧς καὶ ἡ πόλις κέκληται, ἐλαίνῳ σκυτάλῳ πλήξας ἄκων ἀναιρεῖ· ἐπὶ γὰρ βοῦν βουλόμενος ἀκοντίσαι τὸ σκυτάλιον ἔρριψε κατὰ τοῦ Λικυμνίου· ἀποφεύγοντι οὖν τὸ μῦσος τοῦ φόνου καὶ χρηστηριαζομένῳ τῷ Τληπολέμῳ ἀνεῖλε τὸ λόγιον ἀποικίσαι τὸ Ἄργος καὶ εἰς τὴν Ῥόδον ἐλθεῖν· τούτοις καὶ Ὅμηρος· (Ἰλ. β, 661.)

Τληπόλεμος δ' ἐπεὶ οὖν τράφη ἐν μεγάρῳ ἐυπήκτῳ,
Αὐτίκα πατρὸς ἑοῖο φίλου μήτρωα κατέκτα,
Ἤδη γηράσκοντα Λικύμνιον, ὄζον Ἄρηος.

λέγεται δὲ κατὰ τὴν βασιλείαν Τληπολέμου μάλιστα εὖδαι μονῆσαι Ῥοδίους, ὡς καὶ Ὅμηρος (Ἰλ. β, 670) μαρτυρεῖ·

Καὶ σφιν Θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.

ἔστι δὲ αὐτοῦ ἱερὸν καὶ τάφος ἐν Ῥόδῳ· οἱ γὰρ συστρατευσάμενοι αὐτῷ διήγαγον τὰ ὀστᾶ ἀπὸ τῆς Ἰλίου εἰς τὴν Ῥόδον, οὐκ εὖ ἔχειν κοίναντες τὸ ἄνευ τοῦ βασιλέως ἐπινοστῆσαι εἰς τὴν πατρίδα τελεῖται δὲ καὶ ἀγὼν ἐπιτάφιος ἐν τῇ πόλει Τληπολέμῳ, κατὰ δὲ ἕτερους ἱερὸς Ἡλίῳ· ἀγωνίζονται δὲ παῖδων ἡλικίαι καὶ στέφονται ἐκ λεύκης. — Σύνταξις. Ἐθελήσω ὀρθῶσαι καὶ ἀποδοῦναι τοῖσι καὶ τούτοις, Διαγόρᾳ καὶ Δαμαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις, λόγον ξυνὸν τῇ εὐρυσθενεῖ γένναι τοῦ Ἡρακλέος, ἀγγέλλων ἐξ ἀρχῆς ἀπὸ Τληπολέμου· τουτέστι δείξω τοὺς Ῥοδίους ἐξ Ἡρακλέους τὸ γένος κατάγοντας, ἀρξάμενος τῆς κατὰ Τλη-

πολέμων διηγήσεως· τὸ δὲ ἀπὸ Τληπολέμου ὥσπερ μεθερμηνευτικόν ἐστι τοῦ ἐξ ἀρχῆς. — † Σύνταξις. Ἐθελήσω ἀγγέλλων, ἤγουν διηγούμενος, διορθῶσαι, τουτέστιν ὀρθῶς εἰπεῖν, ἰθῦναι κοινὸν πᾶσιν ἀνθρώποις λόγον χάριν τῶν ἐξ ἀρχῆς ἀπὸ Τληπολέμου καταγομένων, ἤγουν τῶν Ῥοδίων, λέγω τῆς γενεᾶς τοῦ Ἡρακλέους τῆς εὐρυσθενοῦς, τουτέστι τῆς καταπολὺ ἰσχυρᾶς· κατὰ μὲν γὰρ τὸ μέρος τὸ ἀπὸ τοῦ πατρὸς ἐκ τοῦ Διὸς εὔχονται εἶναι, ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσιν οἱ Ῥόδιοι· ἀπὸ τοῦ εὔχομαι τὸ καυχῶμαι· κατὰ δὲ τὸ ἀπὸ τῆς μητρὸς μέρος Ἀμυντορίδαι εἶναι ἀπὸ τῆς Ἀστυδαμείας· ταῖς φρεσὶ δέ, ἀντὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων περικρέμανται ἀμπλακίαι, ἤγουν ἁμαρτίαι ἀναρίθμητοι, ἀντὶ τοῦ πλεῖσται, μυρίαι, τουτέστι μυρίαι δὲ ἁμαρτίαι περικρέμανται ἑκάστῃ ψυχῇ ἀνθρώπου, ὧν εἴς τινα ὀκνοῦντι ἀνάγκη αὐτὴν ἐμπεσεῖσθαι· τοῦτο δὲ ἄμηχανον, ἤγουν ἀδύνατον εὑρεῖν, λέγω ὅπερ νῦν συμβέβηκεν ἀνθρώπῳ, τὸ αὐτὸ καὶ ἐν τῇ τελευτῇ αὐτοῦ τυχεῖν, τουτέστι συμβῆναι, εὑρεθῆναι.

38. Ξυνόν.] Κοινῶς πᾶσι διηγήσασθαι, ὥστε ποιῆσαι κοινῶς πᾶσι καὶ εἰς πάντας ἀγαγεῖν.

39. Ἡρακλέος.] Τοῖς Ῥοδίοις ἀπὸ Τληπολέμου Ἡρακλείδαις οὖσιν.

40. Εὐρυσθενεῖ γέννα.] Πορ' ὅσον ἐκ μὲν Ἡρακλέος Τληπόλεμος, ἐκ δὲ Τληπολέμου Ῥόδιοί εἰσιν. Ἱστορία, ὅθεν οἱ Ῥόδιοι. Τληπόλεμος ὁ τῶν Ῥοδίων πρόγονος υἱὸς ἦν Ἡρακλέους καὶ Ἀστυδαμείας· λέγει οὖν τοὺς Ῥοδίους ἐκ μὲν τοῦ πατρὸς τοῦ Τληπολέμου εἰς Δία ἀνάγειν τὸ γένος, ὥσπερ Ῥόδιοι μὲν ἐκ Τληπολέμου, ἐξ Ἡρακλέους δὲ Τληπόλεμος, ἐκ Διὸς δὲ Ἡρακλῆς· ἐκ δὲ τῆς μητρὸς αὐτοῦ Ἀστυδαμείας εἰς Ἀμύντορα· Ἀμύντωρ γὰρ ὁ τῆς Ἀστυδαμείας πατήρ· τὸ μητρόθεν πρὸς τῷ δὲ συναπτέον, τὸ δὲ Ἀμυντορίδαι διὰ μέσου.

41. Εὔχονται.) Ἡρακλῆς γὰρ Διός, τοῦ δὲ Τληπόλεμος, ὃς Ῥόδον ὤκησεν· εὔχονται δὲ ἀντὶ τοῦ καυχῶνται.

42. Τὸ δ' Ἀμυντορίδαι ματρόθεν.] Ἐναντίως τῇ ποιητῇ τὰ περὶ τῆς μητρὸς Τληπολέμου ἱστορεῖ ὁ Πίνδαρος. Ὅμηρος μὲν γὰρ αὐτὴν Ἀστυόχην ἀποκαλῶν καὶ Ἄκτορος εἶναι θυγατέρα βούλεται, ἐν οἷς φησιν· (Ἰλ. β, 658. 513.) Ὃν τέκεν Ἀστυόχεια· ἔοικε δὲ ὁ Πίνδαρος ἐντετυχηκέναι τῷ Ἀχαιῷ ἱστοριογράφῳ· ἐκεῖνος γὰρ οὕτω γενεαλογεῖ· Ὑπερ-

χου Εὐρύπυλος· οὗ Ὄρμενος· οὗ Φέρης· οὗ Ἀμύντωρ· οὗ Ἀστυδάμεια ἡ Τληπολέμου μήτηρ· καὶ αὐτὸς δὲ Ἀμύντωρ εἰς Δία τὸ γένος ἀνάγει· ἔνιοι δὲ καὶ υἱὸν Ἀμύντορα τοῦ Διὸς εἶναι λέγουσιν. — Ἀστυδαμείας.] Ὅμηρος ταύτην Ἀστυόχην φησίν, οὐκ Ἀστυδάμειαν· εἰκὸς δὲ τὸν Πίνδαρον ἀπαντῆσαι ταύτῃ τῇ γραφῇ·

Οὗ τέκεν Ἀστυόχεια βίᾳ Ἡρακληείᾳ·

καὶ Ἡσίοδος δὲ Ἀστυδάμειαν αὐτήν φησι· Φερεκύδης δὲ Ἀστυγένειαν, ἣν δὲ Φύλαντος Συγάτηρ· τινὲς δὲ ἐξ Ἀντιγόνης αὐτῷ Τληπόλεμόν φασιν· ἐνταῦθα δὲ Ἀμύντορος αὐτὴν φησιν ὁ Πίνδαρος, ὅτι παρὰ τῶν κατὰ τὴν πόλιν λογίων ἤκουσεν Ἀμυντοριδας εἶναι Ῥοδίους μητρόθεν.

43. Ἀμφὶ δ' ἀνθρώπων.] Ὑπεραπολογεῖται τοῦ φόνου, ὃν δέδρακεν ὁ Τληπόλεμος, καί φησι· περὶ τὰς τῶν ἀνθρώπων φρένας μυρίαι καὶ ἀναρίθμητοι ἁμαρτίαι ἀπήρτηνται. Σύναφον δὲ τὸ ἀμφὶ μετὰ τοῦ κρέμανται, ἵν' ᾖ ἀμφικρέμανται.

46. Τοῦτο δ' ἀμήχανον.] Καὶ τὸ τοιοῦτον γνῶναι ἀδύνατόν ἐστι· τὸ ποῖον; ὅπερ νῦν τε καὶ ἐπὶ τοῦ παρόντος βέλτιστόν ἐστι καὶ ἐν ὑστέρῳ οἷον, εἰ καὶ ἐν τῇ τελευτῇ ἕξει τις καλόν· ἡ δὲ ἀπόστασις πρὸς τὸν Τληπόλεμον. Ἄλλως. Τοῦτο δ' ἀμάχανον εὑρεῖν.] Τὴν παροῦσαν καὶ τὴν μέλλουσαν εὐδαιμονίαν ἀμήχανόν ἐστιν εὑρεῖν· ὁ γὰρ Τληπόλεμος ἐν ἀρχῇ ἀτυχήσας ὕστερον ἐβασίλευσε τῆς Ῥόδου· ἀμήχανον δέ ἐστι τοῦτο εὑρεῖν καὶ προγνῶναι, ὅπερ νῦν τε καὶ κατὰ τὸ παρὸν δυστύχημα φερόμενον πρὸς τὸ τέλος λυσιτελήσει· καὶ τοὐναντίον βούλεται λέγειν, ὅτι τῷ Τληπολέμῳ τὸ κατὰ φύσιν δυστύχημα εἰς ἀγαθὸν ἀπέβη Ῥόδον οἰκήσαντι καὶ βασιλείας καὶ τιμῆς ἀξιωθέντι. Ἄλλως· ἀδύνατόν ἐστι τοῦτο εὑρεῖν, το περιτυχεῖν ἀνδρὶ καὶ γνῶναι τὸ φέρτατον· ἀντὶ τοῦ τὸ ἀποβησόμενον ἀφ' οὗ τις γεννηθῇ μέχρι τέλους. Δεδύνατον δὲ ὑπάρχει εὑρεῖν τοῦτο, ὅπερ νῦν φέρτατον καὶ κράτιστον συμβέβηκεν ἀνθρώπῳ, τοῦτον καὶ ἐν τῇ τελευτῇ τυχεῖν, τουτέστιν οὐδεὶς οἶδεν, ὡς εἰ τῷ πάρεστι νῦν εὐδαιμονία, καὶ ὕστερον ταύτης τεύξεται· τοῦτο δὲ λέγει ὑπὲρ Τληπολέμου πρῶτον μὲν εὐτυχοῦντος, ὕστερον δὲ δυστυχήσαντος, φόνον πεποιηκότος, εἰ καὶ μετὰ ταῦτα πάλιν εὐδαιμονέστατος γέγονε, Ῥοδίων βασιλεὺς καταστάς. Ἱστορία, ὅπως ἐν Ῥόδῳ ὁ Τληπόλεμος ᾤκησεν· ἡ δὲ ἱστορία ἔχει οὕτω. Λυκίμνιον νόθον κασίγνητον Ἀλκμήνης ἐκ τῆς

πατρίδος αὐτοῦ εἰς Τίρυνθα παραγενόμενον Τληπόλεμος στασιάσας πρὸς αὐτὸν ἀπέκτεινεν ἐλαίνῳ ῥοπάλῳ βαλὼν πόρρωθεν· οἱ δέ φασιν, ὅτι βοῦν πλῆξαι θέλων καὶ ῥάβδον πόρρωθεν ῥίψας, ἀποτυχὼν ταύτης βάλλει Λικύμνιον καὶ ἀναιρεῖ· ἐλθόντι οὖν εἰς Δελφοὺς καὶ ἀπαλλαγὴν τοῦ μύσους ζητοῦντι, ἔχρησεν ὁ Ἀπόλλων Ἀργείους παραλαβόντα μετοικίζειν εἰς Ῥόδον· νόθος δὲ ἀδελφὸς τῆς Ἀλκμήνης ὁ Λικύμνιος οὕτως ἦν· Ἠλεκτρύων γὰρ Αὐσιδίκην τὴν Πέλοπος ἀδελφὴν κατὰ νόμους ἔχων ποιεῖ Ἀλκμήνην, Μιδέᾳ δὲ παρανόμως συνελθὼν ποιεῖ Λικύμνιον.

48. Φέρτατον.] Εὐτυχέστατον πρᾶγμα.

49. Καὶ γὰρ Ἀλκμήνας.] Καὶ γὰρ τὸν Ἀλκμήνης νόθον ἀδελφὸν Λικύμνιον ῥοπάλῳ ἐλαίας τύπτων ἀπέκτεινεν ἐν τῇ Τίρυνθι παραγενόμενον ἐκ τῆς οἰκίας τῆς ἑαυτοῦ μητρὸς Μιδέας ὁ Τληπόλεμος ὁ παλαιὸς οἰκιστὴς τῆς χώρας· πῶς δὲ νόθος ἀδελφὸς Λικύμνιος Ἀλκμήνης; Ἀλκμήνη μὲν ἐξ Ἠλεκτρύωνος καὶ Λυσιδίκης τῆς Πέλοπος θυγατρὸς, γνησίας γυναικὸς, Λικύμνιος δὲ ἐξ Ἠλεκτρύωνος καὶ Μιδέας, γυναικὸς Φρυγίας τὸ γένος· οἱ γὰρ γνήσιοι παῖδες Ἠλεκτρύωνος ἀπὸ Λυσιδίκης ἐγένοντο ἑξ, Γοργοφόνος, Στρατοβάτης, Φιλονόμος, Κελαινεὺς, Ἀμφίμαχος, Δηΐμαχος· αἰτία δὲ τῆς ἀναιρέσεως ἐγένετο περί τινων τιμῶν· οἱ δὲ περὶ Δειναῖαν καὶ Δέρκυλλόν φασιν ἀκούσιον τὸν φόνον γενέσθαι. — † Σύνταξις. Καὶ γὰρ Ἀλκμήνας.] Καὶ γὰρ ὁ οἰκιστὴς τῆς γῆς, ἤγουν τῆς Ῥόδου, ὁ Τληπόλεμος ὀηλονότι, χολωθείς, ὀργισθείς ποτε ἔπτανε τὸν Λικύμνιον τὸν νόθον ἀδελφὸν τῆς Ἀλκμήνης, ἐν Τίρυνθι· πόλις δὲ τοῦ Ἄργους ἡ Τίρυνς· ἐλθόντα ἐκ τῶν Θαλάμων, ἤγουν ἐκ τῶν οἴκων τῆς Μιδέας τῆς μητρὸς αὐτοῦ, θένων, τύπτων αὐτὸν ῥάβδῳ ἀπὸ σκληρᾶς ἐλαίας· αἱ δὲ φρενῶν ταραχαὶ, ἤγουν αἱ δὲ προπετεῖς καὶ ἀκρατεῖς ὀργαὶ, παρέπλαξαν καὶ σοφὸν, τουτέστιν ἐξήνεγκαν τοῦ ὀρθοῦ καὶ φρονίμου· ἀπὸ τοῦ πλάζω, τοῦ πλανῶ, τὸ παρέπλαξαν.

50. Νόθον.] Ἀκουστίως αὐτὸν φασιν ἀνηρηκέναι· νόθον δὲ εἶπεν, ὅτι ἐκ Μιδέας τῆς παλλακίδος ἦν, Ἀλκμήνη δὲ καὶ οἱ αὐτῆς ἀδελφοὶ ἐκ Λυσιδίκης.

51. Σκληρᾶς ἐλαίας.] Ἀπεσκληκότος ξύλου, καὶ ῥοπάλῳ ἐλαίνῳ.

52. Ἐλθόντ' ἐκ Θαλάμων.] Παραγενόμενον εἰς Ἄργος ἐκ τῶν οἴκων τῆς Μιδέας, ἤτοι τῶν τῆς μητρὸς ἢ καὶ τῆς

δμωνύμου πόλεως· ἔστι δὲ αὕτη τοῦ Ἄργους ἡ πόλις· δύναται ἑκατέρως ἀκούεσθαι, ἔκ τε τῶν τόπων τῆς πόλεως Μιδέας, καὶ ἐκ τῶν Θαλάμων τῆς μητρὸς Μιδέας, ἀρ' ἧς καὶ Ἠλεκτρύωνος ὁ Λικύμνιος.

54. Χθονὸς οἰκιστῆρ.] Τῇ δόξῃ ὁ Πίνδαρος ἕπεται τῶν ἱστορούντων διὰ τιμάς τινας καὶ ἀρχὰς τὸν Τληπόλεμον ἐργάσασθαι τὸν φόνον· διὰ γὰρ τοῦ χολωθεὶς τὸ τοιοῦτον ὑποφαίνει.

55. Αἱ δὲ φρενῶν ταραχαί.] Γνωμικῶς· αἱ δὲ ἀκριτόμυθοι καὶ προπετεῖς ὀργαὶ ἤδη που καὶ τοὺς σοφοὺς διασφάλλεσθαι ποιοῦσι· τοῦτο δὲ μέση παρεμβολή· αἱ γὰρ ταραχαὶ καὶ τὸν σοφὸν παράγουσιν εἰς τὸ πρᾶξαί τι ἄτοπον.

56. Παρέπλαξαν.] Παρεπλάνησαν· ἐξέβαλον τοῦ ὀρθοῦ σκοποῦ. Ἰστέον ὅτι ἀπὸ τοῦ πλάζω, ὃ σημαίνει τὸ πλανῶ, ποιεῖται ὁ μέλλων πλάξω, ὁ ἀόριστος ἔπλαξα, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἔπλαξαν καὶ παρέπλαξαν. — Μαντεύσατο δὲ ἐς Θεὸν ἐλθών.] Ὡς οὖν ἀπέκτεινεν ὁ Τληπόλεμος τὸν Λικύμνιον, φεύγων τὸ μῦσος εἰς Δελφοὺς ἐλθὼν ἐμαντεύσατο, ὅποι χρὴ τραπέσθαι· ὁ τοίνυν Ἀπόλλων ἔχρησεν αὐτῷ, ὥστε ἀπὸ τῆς ἀκτῆς τῆς Λερναίας, τουτέστι τοῦ Ἄργους, ἰθύνειν καὶ ὁσμᾶν διὰ πλοίων ἐπὶ τὴν χώραν τῆς νήσου τῶν Ῥοδίων. — † Μαντεύσατο δ' ἐς Θεὸν ἐλθών.] Ἀπελθὼν δὲ εἰς τὸν Θεὸν ἐμαντεύσατο, ἤγουν μαντείαν ἤτησεν· εἰς τὸν Θεὸν δὲ εἰπὼν ἀσήμως, διὰ τοῦ ἐπαγομένου ὅλου ποιεῖ ὅτι εἰς τὸν Ἀπόλλωνα λέγει αὐτὸν ἀπελθεῖν· ἐπάγει γὰρ τῷ μὲν εἶπεν ὁ Χρυσοκόμας· ὅλον δὲ πᾶσίν ἐστιν, ὅτι τὸ Χρυσοκόμης οὐκ ἄλλου τινός ἐστι ἐπίθετον ἢ τοῦ Ἀπόλλωνος· τούτων μὲν ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην εἶπεν ἐκ τοῦ αὐτοῦ, ἤγουν τοῦ ναοῦ τοῦ εὐωδίας πεπληρωμένου· στέλλε πλοῦν, ἀντὶ τοῦ στέλλου ἀπὸ τῆς ἀκτῆς, ἤγουν τοῦ αἰγιαλοῦ τῆς Λέρνης, τουτέστιν ἀπὸ τοῦ Ἄργους, εἰς τὸν νομόν, ἤγουν διατριβὴν καὶ τόπον τὸν ἀμφιθάλασσον, τουτέστι τὸν ὑπὸ θαλάσσης περιλαμβανόμενον, εἰς τὴν Ῥόδον λέγω, ὅπου ποτὲ ὁ βασιλεὺς τῶν Θεῶν ὁ μέγας, ἤγουν ὁ Ζεύς, ἔβρεξε τὴν πόλιν διὰ ψηγμάτων χρυσοῦ ἀπὸ νεφῶν καταρρηγνυμένων, ὁπηνίκα ταῖς τέχναις τοῦ Ἡφαίστου, ἀντὶ τοῦ τῷ ὀργάνῳ, τῇ τέχνῃ τοῦ Ἡφαίστου κατασκευασθέντι πελέκει, ἡ Ἀθηνᾶ ἀνορμήσασα κατὰ τὸ ἄκρον τῆς κορυφῆς τοῦ πατρὸς αὐτῆς τοῦ Διὸς ἠλάλαξε, τουτέστι πολεμικὸν ἐβόησεν· ὑπερβολικῶς· ὁ οὐρανὸς δὲ ἔρριξεν

αὐτὴν, τουτέστιν ἐφοβήθη, καὶ ἡ γῆ ἡ μήτηρ πάντων· τότε καὶ ὁ Ζεὺς ὁ φῶς τοῖς ἀνθρώπις φέρων, ὁ Ὑπερίονίδης, τουτέστιν ὁ Ἥλιος, ἐνετείλατο τοῖς παισὶν αὐτοῦ τοῖς προσφιλέσιν, ἤτοι τοῖς Ῥοδίοις, χρέος μέλλον, τουτέστι πρᾶγμα ἐξ ἀνάγκης γενησόμενον παραφυλάξασθαι, ἤγουν τὴν γέννησιν τῆς Ἀθηνᾶς, ὅπως ἂν χάριν αὐτῆς τῆς Θεᾶς τῆς γεννηθησομένης πρῶτοι κτίσωσι βωμὸν, ἤγουν ναὸν ἐναργῆ, τουτέστι μετέωρον, περιφανῆ, καὶ σεμνὴν Θυσίαν ἐν αὐτῷ ποιήσαντες τὴν ψυχήν τε εὐφράναιεν τοῦ πατρὸς, ἤγουν τοῦ Διὸς, καὶ αὐτῆς τῆς Ἀθηνᾶς τῆς γεννησομένης Θυγατρὸς αὐτοῦ τοῦ Διὸς τῆς ἐγχειδρόμου, ἤγουν τῆς περὶ τὸν ἠχητικὸν πόλεμον εὐρυσθ, γεννησομένης ὁπλονότι.

59. Εὐώδεος ἐξ ἀδύτου.] Τοῦ τεθυμιαμένου ἀδύτου· λέγει δὲ τοῦ κατὰ τὴν Πυθῶνα. — Εὐώδεος.] Μεμυρισμένου. — Ἀδύτου] Ὁ ἄδυτος, ὁ μὴ εἰσβατος πολλοῖς.

60. Λερναίας ἀπ' ἀκτῆς.] Τουτέστιν ἀπὸ τοῦ Ἄργους· ἡ γὰρ Λέρνη κατὰ μέν τινας κρήνη, κατὰ δέ τινας λοχμώδες χωρίον, ἐν ᾗ μυθεύουσι καὶ τὴν Ὕδραν καταδεδυκέναι· φασὶ καὶ τὴν ἄβυσσον κρήνην αὐτόθι εἶναι· ἄτεροι δὲ καὶ πόλιν φασίν. Φερεκύδης δὲ καὶ πόλιν φησίν· οἱ δὲ ἐπίνειον Ἄργους· ἢ νῦν καλεῖται Λάμπεια· ὁ δὲ νοῦς· εὐθῦναι τὴν ναῦν εἰς τὴν νῆσον Ῥόδον, ἐν ᾗ νήσῳ ὁ βασιλεὺς τῶν Θεῶν ποτε ὁ Ζεὺς χρυσέαις σταγόσι τὴν πόλιν μετέβαλε καὶ ἐπλουτοποίει τοὺς οἰκήτορας τῆς Ῥόδου. — Ἀκτῆς.] Τῆς παραθαλαττίας.

61. Εὐθὺν ἐς ἀμφιθάλασσον.] Οἱ μὲν ἀντὶ τοῦ εὐθῦναι, οἱ δὲ ἀντὶ τοῦ εὐθέως· ἀμφιθάλασσον δὲ, τὴν ἑκατέρωθεν θαλάσσῃ περιεχομένην· νομὸν δὲ, τὴν κατανομήν· ἀμφιθάλασσον νομὸν, τὴν Ῥόδον, καθὸ νῆσος οὖσα περιείργεται θαλάσσῃ· νομὸν δὲ, κατανέμησιν. — Οὐ χρὴ γράφειν εὐθὺν πρὸς τὸν πλόον] Ἀσύντακτον γὰρ τοῦτο· ἀλλὰ στέλλε ἢ στέλλου· οὕτω γὰρ ἔχει ὀρθῶς.

62. Ἔνθα ποτέ.] Τοῦτο ἐκ τῶν Ὁμήρου ὁρμηθεὶς λέγει, ὅτι Ζεὺς χρυσὸν ἔβρεξε τοῖς Ῥοδίοις, διὰ τὸ τὸν ποιητὴν εἰρηκέναι·

Καί σφιν Θεσπέσιον πλοῦτον κατέχευε Κρονίων,

οὐκ εἰρηκότος Ὁμήρου, ὅτι ὁ Ζεὺς ἔβρεξε χρυσὸν, ἀλλὰ περιεποίησε χύδην αὐτοῖς τὸν πλοῦτον· Ἄλλως· τοῦτο ἀν-

τικους ἐκ τοῦ ἀθετουμένου Ὁμηρικοῦ στίχου εἴληφεν ὁ Πίνδαρος· (Ἰλιάδ. β, 670)

Καί σφιν Θεσπέσιον πλοῦτον κατέχευε Κρονίων

ὅτι ἄρα νεφέλην ἐπιστήσας τοῖς Ῥοδίοις χρυσὸν ἔχευεν, ἢ ὅτι πολὺν χύδην πλοῦτον αὐτοῖς κατεισκεύασεν· ὁμοίως τῷ,

Κούρη δ' εἶμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο. (Ὀδυσσ. ο, 425.)

65 Ἀνίχ' Ἀφροίστου τέχναισι.] Τὸν καιρὸν καθ' ὃν ὁ Ζεὺς ἐν Ῥόδῳ χρυσὸν ὗτε, διὰ τῆς ἱστορίας ἐπισημαίνεται καί φησιν· ἡνίκα ὁ Ζεὺς διαιρεθείσης αὐτοῦ τῆς κεφαλῆς ὑπὸ τοῦ πελέκεως τοῦ Ἡφαιστοτεύκτου ἀνέδωκεν ἐκ τῆς κορυφῆς τὴν Ἀθηνᾶν· ἡ δὲ ἀνορύσασα καὶ ἔνοπλος γενομένη μέγιστον ἐβόησεν. — Ἱστορία. Ἀνίχ' Ἀφροίστου] Διαιρεθείσης τῆς τοῦ Διὸς κεφαλῆς ὑπὸ Ἡφαίστου καὶ Ἀθηνᾶς ἐξελθούσης, ἐκ τῆς κεφαλῆς γὰρ αὐτὴν ἄδινεν, ἐλθὼν Ἥλιος εἶπε Ῥοδίοις πρώτοις θῦσαι αὐτῇ, ὡς ἀναγκαῖον ὂν ἐκεῖ ταύτην οἰκῆσαι παρ' οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται· ἀνελθόντες οὖν εἰς τὴν ἀκρόπολιν Ῥόδιοι θῦσαι αὐτῇ ἐπελάθοντο καὶ πῦρ συμπαραλαβεῖν τοῖς ἀναγίσμασι, καὶ ἀπύρως ἔθυσαν· διὸ συνέβη Ἀθηναίους πρώτους θύσαντας μετὰ πυρὸς ἐν αὐτοῖς τὴν Θεὸν οἰκεῖν ἠξιῶσθαι. Ζεὺς οὖν Ῥοδίων τὴν γνώμην ἀποδεξάμενος χρυσοῦν ὑετὸν αὐτοῖς κατέχεεν· τὸ ἡνίκα δὲ ἄνω καὶ πρὸς τὸ ἔνθα ἔχει τὴν ἀπόδοσιν καὶ οὐ πρὸς τὸ τότε, παραπλήσιον ὥσπερ ποιεῖ Ὅμηρος ἔν τισι τῶν παραβολῶν ἄνω μὲν ἐχούσαις τὴν ἀπόδοσιν, ὁμως δὲ ἐπάγει ὕστερον καὶ τὸ οὕτως, οὐκ εἰς ἀπόδοσιν τῆς παραβολῆς, ἀλλὰ διὰ τὴν ἑξῆς ἔννοιαν.

66 Χαλκελάτῳ πελέκει.] Οἱ μὲν Παλαμάονα λέγουσι ῥῆξαι τὴν τοῦ Διὸς κεφαλήν, ὅτε Ἀθηνᾶ ἐγεννᾶτο· οἱ δὲ Ἑρμῆν· οἱ δὲ Προμηθέα· Ἀριστοκλῆς δὲ ὑρίσταται τὴν γένησιν Ἀθηνᾶς ἐν Κρήτῃ· νεφέλη γάρ φησι κεκρύφθαι τὴν Θεόν, τὸν δὲ Δία πλῆξαντα τὸ νέφος προφῆναι αὐτήν. — Χαλκελάτᾳ πελέκει.] Ἐν τοῖς Μουσαίου Παλαμάων λέγεται πλῆξαι τοῦ Διὸς τὴν κεφαλήν, ὅτε τὴν Ἀθηνᾶν ἐγέννα· ἔνιοι δὲ τὸν Προμηθέα λέγουσι· Σωσίβιος δὲ Ἑρμῆν φησιν. Ἀριστοκλῆς δὲ νέφει συγκεκρυῶσθαι τὴν Θεόν, τὸν δὲ Δία πλήξαντα τὸ νέφος ἐκφῆναι τὴν θεόν.

68 Ἀλάλαξεν.] Ὀξὺ ἀνεβόησε· διὰ δὲ τοῦτο τὸ φιλοπόλεμον τῆς Θεοῦ ἐχαρακτήρισεν· ἡ γὰρ ἀλαλαγὴ κυρίως ἐπὶ

τῆς τῶν πολεμίων συμβουλῆς γίνεται, εἶτ' οὖν λέγεται καὶ ἐπὶ τῶν ἐκβακχευμάτων.

70. Οὐρανὸς δ' ἔρριξέ νιν.] Ἤτοι διὰ τὸ σὺν τοῖς ὅπλοις γεννηθῆναι ἢ διὰ τὴν βολὴν ἐροβάθησαν Οὐρανὸς καὶ Γῆ.

71. Τότε καὶ φαυσίμβροτος.] Ὁ νοῦς· τότε οὖν, ἡνίκα ἔμελλε τίκτεσθαι ἡ Θεὸς, ὁ Ἥλιος τοῖς ἑαυτοῦ παισὶ τοῖς περὶ Ὄχιμον καὶ Κέρκαφον ἐπεστείλατο τὸ μέλλον πρᾶγμα, τῆς Ἀθηνᾶς τὴν γένναν παραφυλάξασθαι, καὶ θυσίας ποιῆσαι· καὶ ὅπως τῇ Θεῷ θυσίας πλήθυντα βωμὸν ἐναργῆ κτίσειαν, τοῦτόν τε πηξάμενοι ἐπιθύσαντες τὴν τε ψυχὴν τοῦ πατρὸς αὐτῆς Διὸς τέρψαιεν καὶ αὐτῆς τῆς γεννηθείσης παρθένου τῆς πολεμικῆς· ἔγχος μὲν γὰρ τὸ δόρυ· βρόμος δὲ ὁ ἦχος. Ἄλλως· ὁ Ἥλιος, φησί, παρεκελεύσατο τοῖς ἑαυτοῦ παισὶ καὶ Ῥόδου, μελλούσης γεννᾶσθαι τῆς Ἀθηνᾶς, ὅπως αὐτοὶ πρῶτοι θύσωσιν· ἐκεῖ γὰρ μέλλειν οἰκεῖν τὴν Θεὸν παρ' οἷς ἂν πρῶτον αὐτῇ θυσία ἐπιτελεσθῇ· ἀνερχόμενοι δὲ εἰς τὴν ἀκρόπολιν πρῶτοι οὗτοι ἐπελάθοντο πῦρ κομίσαι· συνέβη οὖν πρώτους Ἀθηναίους θῦσαι· διόπερ καὶ τὴν Θεὸν αὐτόθι καθιδρυσθῆναι, τιμῆσαι δὲ τὴν Θεὸν καὶ τοὺς Ῥοδίους· διὰ τοῦτο δέ φασι τοὺς Ῥοδίους ἄπυρα θύειν, ὥσπερ οἱ πρῶτοι τῇ Ἀθηνᾷ ἔθυσαν· τινὲς δὲ, ὅτι καὶ φυλαξάντων αὐτῶν ὑπερησθεὶς ὁ Ζεὺς πλοῦτον καὶ εὐδαιμονίαν παρέσχε, ὡρησκαμένης καὶ αὐτῆς τῆς Ἀθηνᾶς τὴν περὶ τὴν τέχνην ἀρετήν. — Φαυσίμβροτος.] Φαεσίμβροτος· τὸ ε καὶ τὸ α εἰς τὴν αυ διρθογγον συνελεν.

72. Δαίμων Ὑπεριονίδας.] Ὁ Ὑπερίονος παῖς. Ὑπερίων δὲ εἷς τῶν Τιτάνων κατὰ τὴν τοῦ Ἡσιόδου Θεογονίαν· (στίχ. 371.)

Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
Γείνατ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

οἱ δὲ αὐτὸ ἐπιθετικῶς ἀκούουσιν ἐν τύπῳ πατρωνυμικῷ· ὁ ὑπὲρ γῆν ἰέμενος ἢ ὑπὲρ ἡμᾶς πορευόμενος.

73. Ἔντειλεν.] Παρήγγειλεν. — Μέλλον χρέος.] Τουτέστι τὴν οἴκησιν, ἣν ἔμελλεν ἡ Ἀθηνᾶ ποιήσειν ἐν τοῖς Ῥοδίοις καὶ μὴ γένηταί τι ἐμπόδιον πρὸς τὸ μὴ οἰκῆσαι ἐν αὐτοῖς. — Μέλλον ἔντειλε.] Τὸ μέλλον χρέος λέγει διὰ τοῦτο, διότι ἀναγκαίως ἔμελλεν ἐκεῖ τὴν Θεὸν οἰκήσειν ἐν οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται.

76. Βωμὸν ἐναργέα.] Ἤτοι τῇ κατασκευῇ πολυτελῆ τυγχάνοντα, ἢ τὸν ἐναργῶς γενόμενον παρὰ τὸν τῆς γεννήσεως

καιρόν· πρῶτοι γὰρ ἔθυσαν· διὸ ἔμελλεν ἐπίσημος εἶναι παρὰ τὸ πλῆθος τῆς τελουμένης θυσίας.

77. Σεμνὰν θυσίαν.] Τοῦτο πρὸς τὸν τῆς Ἀθηνᾶς τρόπον· σεμνῶς γάρ φασι τὰ θύματα αὐτῇ τελεῖν.

78. Ἐγχειβρόμῳ.] Τῇ παρὰ τῷ πολέμῳ βρεμούσῃ. — Ἐγχειβρόμῳ.] πολεμικῇ.

79. Ἐν δ' ἀρετὰν ἔβαλεν.] Δύναται ὁ λόγος γνωμικὸς εἶναι· ἔχει δὲ τὸ σαρὲς οὕτως· ἐπέβαλε δὲ ἀρετὴν καὶ ἡδονὴν τοῖς ἀνθρώποις ἡ περὶ τῶν μελλόντων πρόγνωσις· ὃ δέ φησι, τοιοῦτόν ἐστιν· οἱ περὶ τῶν μελλόντων πραγμάτων τὸ θεῖον προσκοπήσαντες καὶ τοῦτο προδιαχθέντες, οὗτοι εἰς ἀρετὴν καὶ ἡδονὴν ἔρχονται· ἔνιοι δὲ οὕτως ἐνόησαν· ἐκ δὲ ταύτης τῆς αἰτίας καὶ αἰδὼς ἡ ὑπάρξασα εἰς τὴν θεὸν ἡ ἐκ τῆς προμηθείας καὶ τῆς προγνώσεως χαρὰν αὐτοῖς καὶ εὐθυμίαν καὶ ἀρετὴν παρέσχεν· περιποιεῖ ἀρετὴν καὶ χαρὰν ἡ ἐκ τῆς προμηθείας αἰδώς· οἷον, εἴ τις ἐκ τοῦ προμηθεῖσθαι τὴν αἰδῶ μεταποιεῖται, τούτῳ ἐπακολουθεῖ χαρὰ καὶ ἀρετή, ὡς τῶν προσκοπουμένων μηδὲν ἀτύχημα ἐχόντων· ὁ δὲ λόγος· οἱ τὴν προμήθειαν ἐπιστρεφόμενοι περί τινος καὶ προλαμβάνοντες τὸ ἐσόμενον διὰ τοῦ προβουλεύσασθαι, τοῦτο πράττουσι κατ' ἐκτροπήν, καὶ ὕστερον χαίρουσι τοῦτο προβουλευσάμενοι· ἔνιοι δὲ ἀναγινώσκουσι περισπωμένως αἰδῶς, τῆς αἰδοῦς. — Ἐν δ' ἀρετὰν ἔβαλεν.] Ἐμποιεῖ δὲ τοῖς ἀνθρώποις ἀρετῆς τιμὴν καὶ χαρὰν τοῦ Προμηθέως, τουτέστι τῆς προβουλεύσεως τὸ αἰδέσιμον, ἤτοι ἡ αἰδὼς ἡ ἑπομένη τῷ Προμηθεῖ, περιφραστικῶς ἀντὶ τοῦ ὁ Προμηθεὺς ὁ αἰδέσιμος, ἀλλ' ἐπιβαίνει καὶ νέφος τι λήθης ἀτέκμαρτον, τουτέστιν ἀπροσδόκητον, καὶ παρέλκει, ἤγουν παρατρίπει, ἐκκλίνει, τὴν ὀρθὴν μέθοδον τῶν πραγμάτων ἔξω τῶν λογισμῶν· καὶ οὗτοι γάρ, οἱ τοῦ Ἰλίου ὀηλονότι παῖδες, ἀνέβησαν οὐκ ἔχοντες, ἤγουν μὴ φέροντες σπέρμα φλοός, ὃς καυστικῆς, τουτέστι πῦρ ὃ τὴν καυστικὴν αὔξει φλόγα· ἀνέβησαν δὲ εἰπὼν ἀδήλως, διὰ τῶν ἐπιγομένων δῆλον ποιεῖ ὅτι εἰς τὴν ἀκρόπολιν λέγει αὐτοὺς ἀναβῆναι· ἐπάγει γὰρ· τεῦξαν δ' ἄπυρος ἱεροῖς, ἤγουν κατεσκεύασαν δὲ ἐν τῇ ἀκροπόλει ναὸν σὺν θυσίαις ἄπυρος, τουτέστιν ἅμα καὶ θυσίας πυρὸς ἀμετόχους τελέσαντες.

80. Χάρματα.] Προτερήματα.

81. Αἰδὼς.] Σεμνότης. — Προμηθέως αἰδὼς.] Ἡ προμήθεια τοῖς ἀνθρώποις αἰτία ἀγαθῶν καὶ ἀρετῆς γίνεται.

Προμηθέως αἰδῶς, τὸ προσκοπεῖν τὸ μέλλον. — Προμηθέως αἰδώς.] Τουτέστιν ὁ μετὰ τοῦ προβεβουλεῦσθαι ποιῶν τι ὁμοῦ τε κατορθοῖ τοῦτο καὶ ἡδονὴν ἔχει ἅτε κατωρθωκώς· τὸ δὲ αἰδὼς Προμηθέως λέγει, διότι πᾶς ὁ χρώμενος προμηθείᾳ οἱονεὶ τὸν Προμηθέα αἰδεῖται καὶ τιμᾷ.

82. Ἐπεὶ μὰν βαίνει.] Ἐνίοτε δὲ καὶ τοῖς ἀκούουσι τὴν προμήθειαν καὶ προσκοπουμένοις τὸ μέλλον ἐπιβαίνει τι καὶ λήθης ἴδιον νέφος, καὶ ἀνθιστᾷ δι' ἕτερον μέρος· ἐπὶ δὲ τῶν Ῥοδίων ὁ λόγος, ὅτι καίπερ προδιατειλαμένου τοῦ Ἡλίου αὐτοῖς Θῦσαι τῇ Ἀθηνᾷ κατὰ τὴν γένεσιν, καὶ αὐτοὶ μεμνημένοι ταύτῃ συντελέσαι, συντελοῦντες τῶν πρὸς τὴν παρασκευήν τι παρέλιπον, ὅ ἐστι τὸ πῦρ· τῇ προναίᾳ ἐπιβαίνει γε μὴν καὶ λήθης τι ἀπροσδόκητον.

84. Καὶ παρέλκει πραγμάτων.] Ὁ νοῦς οὕτως ἔχει· καίτοι γὰρ οἱ Ῥόδιοι προμαθόντες παρὰ τοῦ Ἡλίου τὴν τῆς Ἀθηνᾶς γένεσιν καὶ κατακούσαντες παρ' αὐτοῦ τὸ Θῦσαι τῇ Θεῷ, παρ' αὐτὴν τὴν ἱερουργίαν τοῦ κυριωτάτου πρὸς τὰς Θυσίας ἐπελάθοντο· οὐκ ἔχοντες γὰρ πῦρ ἀνῆλθον εἰς τὴν ἀκρόπολιν, ἔνθα οἱ βωμοί, καὶ ἄνευ πυρὸς Θύοντες τὸ ἱερὸν ἐποιήσαντο ἐν τῇ ἀκροπόλει· τῶν πραγμάτων τὴν ὀρθὴν οὖσαν ἐκτὸς τῶν φρενῶν παρέλκει ἡ λήθη. — Καὶ παρέλκει πραγμάτων.] Καὶ μεταφέρει τοὺς ἀνθρώπους, ἤγουν ἔξω τοῦ ὁδοῦ καὶ προῃγόντος τίθησιν· ἔστι δὲ αὕτη ἡ παραγωγὴ ἔξω φρενῶν.

86. Καίτοι γὰρ αἰθούσας.] Τῆς καυστικῆς, παρὰ τὸ αἴθειν· τὸ δὲ οὐ ἐπιῤῥῆμα προσαπτέον τῷ ἔχοντες, ἐν' ᾖ οὐκ ἔχοντες· φλογὸς δὲ σπέρμα, τὸ πῦρ· ὡς καὶ Ὅμηρος· (Ὀδυσ. ε, 490) Σπέρμα πυρὸς σώζων· καὶ γὰρ αὐτοί, φησίν, ἀνέδησαν ἐπὶ τὴν ἀκρόπολιν, παραφυλάξαντες τὴν γένεσιν, τῆς Ἀθηνᾶς· ἄλσος μὲν τὸ τέμενος εἴρηκεν· ἄπυρα δὲ μέχρι νῦν οἱ Ῥόδιοι Θύουσιν ἀπ' ἐκείνης τῆς ἀρχῆς τῇ Ἀθηνᾷ· καὶ Ἀπολλώνιος ὁ ποιητὴς φησιν ἄπυρα τοὺς Ῥοδίους ἱερὰ Θύειν διὰ τὴν πρὸς Ἥφαιστον ἔνεκα τῶν γάμων ἔχθραν, ὅτι ἐπεδίωξε τὴν Ἀθηνᾶν βουλόμενος συμμιγῆναι· οὐ μόνοι δὲ Ῥόδιοι ἀπύροις ἱεροῖς χρῶνται, ἀλλὰ καὶ Ἀθηναῖοι· ξανθὰν δὲ κατὰ τὴν ἔμφασιν ἔφη ὁ Πίνδαρος νεφέλην τὴν ἔγκυον οὖσαν χρυσοῦ, καθὸ καὶ τὴν ὕδωρ ἔχουσαν ζοφώδη. — Αἰθούσας ἔχοντες.] Καὶ οὗτοι γὰρ, φησίν, ἀνῆλθον Θύσαι θέλοντες κατὰ τὴν γένεσιν τῆς Θεᾶς κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς, οὐκ ἔχοντες ὑπέκκαυμα· ἔστι γὰρ

τὸ ἑξῆς· οὐκ ἔχοντες δὲ πυρὸς σπέρμα· τὸν ἄνθρακα δὲ λέγει ἢ τὸν σπινθῆρα· αἰθούσας δὲ, τῆς αἰθομένης καὶ λαμπρᾶς καὶ καυστικῆς. — Ἔχοντες] Φέροντες.

87. Σπέρμα ὁλοὸς] Ἀνθρακιάν.

88. Τεῦξαν.] Ἐποίησαν.

89. Ἄλσος.] Ἱερουργίαν. — Κείνοισι μὲν.] Ἐκείνοις μὲν, ἤγουν χάσιν ἐκείνων τῶν Ῥοδίων, ξανθὴν νεφέλην ἀγαγὼν ὁ Ζεὺς δηλονότι χρυσὸν ἔβρεξεν· αὐτὴ δὲ ἡ γλαυκῶπις, ἤγουν ἡ Ἀθηνᾶ ἡ ὀξὺ ὁρῶσα καὶ στιλπνὸν, παρεῖχεν αὐτοῖς κρατεῖν, τουτέστι τὸ κράτος ἔχειν τῶν ἐπιχθονίων κατὰ πᾶσαν τέχνην διὰ χειρῶν ἀριστοπόνων, ἤγουν ἄριστα ἔργα κατασκευαζουσῶν· ἔργα δὲ αἱ κέλευθοι, ἤγουν αἱ ὁδοὶ τῆς Ῥόδου δηλονότι ἔφερον, τουτέστιν ἐπικείμενα αὐταῖς εἶχον ὁμοια ζῶσι καὶ ἑρπουσιν, ἀντὶ τοῦ βαδίζουσιν· ἦν δὲ κλέος βαθὺ, ἀντὶ τοῦ πολὺ, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤγουν δασείας· δαέντι δὲ, ἤγουν τῷ διδαχθέντι ὑπ' αὐτῶν τῶν Ῥοδίων, καὶ ἡ φρόνησις ἡ ἄδολος, ἤγουν ἡ φυσικὴ, μείζων γίνεται, τουτέστιν εἰ καὶ φυσικὴ ἐστιν αὐτῷ σοφία, ἥτις ἀεὶ κρατεῖ τῆς ἀπὸ μαθήσεως, ἐπίδοσιν καὶ αὐτὴ λαμβάνει διὰ τὴν ὑπερβολὴν τοῦ κάλλους καὶ τῆς ποικιλίας τῆς τέχνης· τέχναν πᾶσαν πρὸς τὸ ἀριστοπόνοις χερσὶ συναπτέον οὕτως· ὥπασέ σφισιν ἡ Ἀθηνᾶ, ἐπεὶ ἡ φρόνησις μηχανᾶται τὰς τέχνας, κρατεῖν τῶν ἐπιχθονίων, ἤτοι τῶν ἀνθρώπων, ἐν ἀριστοπόνοις χερσὶ κατὰ πᾶσαν τέχνην· λέγει δὲ τὸ χερσὶν, ἐπειδὴ αἱ χεῖρες τὰς τέχνας ἐργάζονται.

91. Αὐτὰ δὲ σφισιν.] Αὐτὴ δὲ ἡ Ἀθηνᾶ κατὰ πᾶσαν χειρουργικὴν τέχνην τὸ ἄριστον αὐτοῖς ἀπένειμεν· ὕστερον δὲ οἱ Ῥόδιοι πολλὰ τῶν πρὸς τὸν βίον ἀνηκόντων ἐργαλείων εὗρον.

92. Ὥπασε.] Ἐχάρισε.

94. Κρατεῖν·] Νικᾶν· κυριεύειν.

95. Ἔργα δὲ ζωοῖσιν.] Τὰ γὰρ ὑπ' αὐτῶν δημιουργούμενα καὶ ἐργαζόμενα τοιαῦτα καὶ ὀρθῆναι ἐπὶ τῆς γῆς, οἷα καὶ αὐτὰ τὰ ἔμψυχα κινούμενα· ἄριστοι γὰρ περὶ τὴν τῶν ἀνδριάντων κατασκευὴν εἰ Ῥόδιοι· αὐτοὶ γὰρ πρῶτοι οἱ Ῥόδιοι τὴν τῶν ἀνδριάντων ἐξεῦρον δημιουργίαν τὸ πρότερον οὐχ οὕτω τιμωμένων. Ἀρίσταρχος δὲ τὰ κατὰ Δαίδαλον αὐτὸν φησι μεταφέρειν νῦν ἐπὶ τῶν κατὰ τὴν Ῥόδον τεχνιτῶν, ὅτι τοιαῦτα κατεσκεύαζον ἔργα. Πολέμων γάρ φησι παρὰ Χίοις μὲν τὸν Διόνυσον ὀεδέσθαι καὶ παρ'

Ἐρυθραίοις δὲ τὸ ἔδος τῆς Ἀρτέμιδος, καὶ ὅλως πολὺν κατεσπάρθαι λόγον περὶ τῶν ἀγαλμάτων ὡς μὴ μενόντων ἀλλὰ πορευομένων ἄλλοσε πολλάκις. Ἄλλως. Ἔργα δὲ ζωοῖσι.] Παρὰ τὸ Ὁμηρικόν. (Ἰλιάδ. σ, 418.)

Χρύσειαι ζωῇσι νεήνισιν ἔργ' εἰκυῖαι.

κέλευθοι δὲ νῦν τὰ ἐν τῇ πόλει ἄμφοδα. — Ἔργα δὲ ζωοῖσιν.] Οἱ Ῥόδιοι οὕτως ἄριστοι ἀνδριαντοποιοὶ ἦσαν, ὡς ξῶσιν ἐοικότας ἀνδριάντας κατασκευάζειν, καὶ δεσμεῖν αὐτοὺς τοῖς ποσὶν ὥσπερ ὑποδοικότας μὴ τοῖν ποδοῖν χρησάμενοι φύγοιεν· ἐδόκουν γὰρ ὥσπερ κινεῖσθαι, τοιοῦτοι οὖς καὶ Δαίδαλος ἐποίει· μὴ εἴπῃς δὲ τό τε ἀργόν, ἀλλ' οὕτω· φέρουσι δὲ αἱ κέλευθοι ἔργα ὁμοια ζῶσι καὶ ἕρπουσιν. — Ἑρπόντεσσι.] Περιπατοῦσιν.

97. Ἦν δὲ κλέος βαθύ.] Ἐκ δὲ τούτου βαθὺ κλέος καὶ πολλὴ δόξα προσῆν αὐτοῖς.

98. Δαέντι δὲ σοφίᾳ.] Ἀντὶ τοῦ δαέντος ἡ σοφία καὶ μείζων καὶ ἄδολος τελέθει· ἀδύνατον γὰρ ἕν τισι ποιήσασθαι ἐπίδειξιν μὴ μαθόντα· βέλτιον δὲ οὕτως· οἱ παρατυχόντες καὶ μαθόντες σοφίαν ἀπ' αὐτῶν καὶ ἔντεχνον αὐτὴν λέγουσι καὶ ἄδολον, ὅ ἐστιν ἁπλῆν· ἡ οὕτω· τῷ μαθόντι καὶ ἡ ἄδολος σοφία μείζων γίνεται· τὸ δὲ σαφὲς οὕτως ἔχει· τῷ δὲ μετ' εὐφυΐας μεμαθηκότι ἡ σοφία καὶ ἐπὶ τὸ μεῖζον ἀδόλως καὶ ἀνεμποδίστως ἐπαίρεται· ὡς τῶν Ῥοδίων εὐφυῶν μὲν ὄντων κατὰ φύσιν, προσδεξαμένων δὲ καὶ τὴν τέχνην, καὶ οὕτως ἐξ ἀμφοτέρων τῆς μαθήσεως αὐτῶν ἐπὶ τὸ ἄκρον ἐλθούσης. — Δαέντι δὲ καὶ σοφίᾳ.] Τὸ καὶ ἡ Ἀττικὸν, ὥσπερ φαμὲν τὸ, τί καὶ ποιήσω; ἡ οὕτω· καὶ τῷ δαέντι, ἤγουν καὶ τῷ μαθόντι εὐφυεῖ τελέθει καὶ ὑπάρχει καὶ ἡ σοφία μείζων τῆς ἐξ εὐφυΐας μόνης, ἀκράτος καὶ ἄδολος· λέγει δὲ διὰ τοὺς Ῥοδίους ὡς ὄντας καὶ ὀραστηρίους τῷ νῷ καὶ παρὰ τῆς Ἀθηνᾶς διδαχθέντας.

99. Μείζων.] Μεγαλώτερος. — Τελέθει.] Ὑπάρχει.

100. Φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσιες.] Διὰ τὸ μηδέπω εἶναι τοὺς ἱστορικοὺς συγγραφέας, ἀπὸ τῶν κατὰ τὴν πόλιν λογάδων πυνθάνονται τὰ ἐπιχώρια οἱ ποιηταί· πρὸ πενθάρου δὲ τοῦτο οὐχ ἱστόρητο· οὔπω γὰρ τῶν ἱστοριογράφων ὄντων οἱ κατὰ καιροὺς ποιηταὶ παρὰ τῶν ἐν ταῖς πόλεσι λογίων καὶ γεγηρακότων, οἷς ὁ χρόνος τὸ ἀκριβὲς τῆς γνώσεως ἐμαρτύρει, τὰς ἱστορίας κατακούοντες ἐμάνθανον· λέγει δὲ τοιοῦτόν τι· καθ' ὃν χρόνον οἱ θεοὶ

τὸν ὅλον κόσμον πρὸς ἑαυτοὺς διεμερίζοντο, ἀπόντος τοῦ Ἡλίου καὶ τὸν ἑαυτοῦ διανύοντος δρόμον οὐδὲ εἷς τῶν Θεῶν ὑπέμνησεν, ὥστε καὶ αὐτῷ τοῦ κόσμου μερίδα φυλαχθῆναι· οὐδέπω δὲ ἡ Ῥόδος ἦν ἐκ θαλάσσης ἀναδοθεῖσα· διὸ καὶ ἀκλήρωτος μείνας ὁ Θεὸς ταύτην εἵλετο τὴν μερίδα, ἱερὰν αὐτῷ τὴν νῆσον ἐπιτρεψάμενος. § Ἀλμυροῖσιν.] Ἀλλά φησιν ἐνταῦθα αὐτὴν κεκρύφθαι. — Ἔνδειξεν.] Ὑπέδειξεν, ἐνεφάνισε· λάχος δὲ τὴν μερίδα· ἀγνὸν δὲ Θεὸν τὸν Ἥλιον, οὐχ ὅτι καθ' ἑαυτὸν ἁγνός ἐστιν, ἀλλ' ὁ ἁγνίζειν τῇ ἀκτῖνι δυνάμενος. — Φαντὶ δ' ἀνθρώπων.] Φασὶν ὡς ἡνίκα Ζεὺς μετὰ τῶν Θεῶν μερισμὸν ἐποιεῖτο τοῦ κόσμου, οἱ μὲν ἄλλοι τούτων κλήρους ἔλαβον, Ἥλιος δὲ μὴ παρατυχὼν ἐν τῷ μερισμῷ ἀκλήρωτος ἔμεινε· βουλομένου οὖν τοῦ Διὸς πάλιν ἐκ δευτέρου ποιῆσαι, οὐκ εἴασεν εἰπὼν τὴν ἐκ θαλάσσης ἀναδοθῆσαν νῆσον αὐτῷ δεδόσθαι· ἦν δὲ ἡ Ῥόδος· φασὶ δὲ λόγοι ἀνθρώπων ἐκ παλαιοῦ χρόνου ἀδόμενοι, οὔπω φανερὰν εἶναι τὴν Ῥόδον ἐν τῷ πελάγει τῷ θαλασσίῳ, ὅτε ὁ Ζεύς τε καὶ οἱ Θεοὶ οἱ ἄλλοι διεμερίζοντο ἑαυτοῖς τὴν γῆν· κεκρυμμένην δὲ εἶναι τὴν νῆσον, τουτέστιν αὐτὴν τὴν Ῥόδον, ἐν τοῖς βένθεσι τοῖς ἁλμυροῖς, ἀντὶ τοῦ ἐν τοῖς βαθέσι μυχοῖς τῆς ἁλμυρᾶς θαλάσσης· ἀπόντος δὲ τοῦ Ἡλίου ἐν τῷ ὑπὸ γῆν δηλονότι ἡμισφαιρίῳ οὐδεὶς ἔνδειξεν, ἀντὶ τοῦ ὑπέδειξεν, τουτέστιν ὑπέμνησε, τὸν Δία δηλονότι, λάχος, ἤγουν κλῆρον αὐτοῦ, ἤτοι τοῦ Ἡλίου· καὶ δὴ κατέλιπον αὐτὸν τὸν ἁγνὸν Θεόν· ἁγνὸν δὲ λέγουσιν αὐτὸν διὰ τὸ ἁγνίζειν δύνασθαι ταῖς ἑαυτοῦ ἀκτῖσι χώρας ἀκλήρωτον, ἤγουν ἄμοιρον. — Παλαιαὶ ῥήσιες.] Δέον παλαιῶν εἰπεῖν πρὸς τὸ ἀνθρώπων, παλαιαὶ εἶπε πρὸς τὸ ῥήσιες. — Παλαιαί.] Ἀρχαῖαι.

106. Ἀπέοντος.] Ἀπόντος δὲ τοῦ Ἡλίου οὐδεὶς τῶν παρόντων Θεῶν ἐνέδειξεν οὐδὲ ἐνεφάνισεν ὥστε ἀποκληρῶσαί τινα χῶρον αὐτῷ. — Ἔνδειξεν.] Ἀνέμνησεν.

108· Χώρας.] Ἐπαρχίας. — Ἀκλήρωτον.] Ἀκληρονόμητον.

110. Μνασθέντι δέ.] Μνησθέντι δὲ αὐτῷ περὶ τοῦ συμβεβηκότος ὁ Ζεὺς ἔμελλεν ἀνακληροῦν ἐξ ἀρχῆς καὶ ποιεῖν τὰ κεκληρωμένα τοῖς Θεοῖς· δύναται δὲ τὸ μνασθέντι ἀντὶ τοῦ μνασθέντος· ἢ μνησθέντι τῷ Ἡλίῳ. — Μνασθέντι δέ.] Ἀντὶ τοῦ ἀναμνησθέντος, ἤγουν εἰς ἀνάμνησιν ἐλθόντος, τοῦ Ἡλίου δηλονότι, ὁ Ζεὺς ἄμπαλον, ἤγουν ἀναμερισμὸν ἔμελλε θεῖναι, ἀντὶ τοῦ τιθέναι, ἤγουν ποιεῖν, ἀλλ' οὐκ εἶ-

ασεν αὐτὸν, τὸν Δία ὀκλονότι, ὁ Ἥλιος· ἐπεὶ εἶπεν ὁρᾷν αὐτὸς ἔνδον τῆς Θαλάσσης τῆς λευκῆς τινα γῆν πολύβοσκον ἀνθρώποις, ἀντὶ τοῦ ἀνθρώπων, τουτέστι πολυειδῶς τρέφειν ἀνθρώπους δυναμένην, καὶ ἡδεῖαν μήλοις, ἀντὶ τοῦ πᾶσι τοῖς ἀλόγοις ζώοις αὐξομένην, ἀναδιδομένην, πεδόθεν, τουτέστιν ἀπὸ τοῦ πυθμένος· ἡ τοιαύτη δοτικὴ τὸ μνησθέντι πρὸς τὸ Θέμεν ἔχει τὴν δύναμιν. — Ἄμπαλον μέλλεν Θέμεν] Ἀνακλήρωσιν, ἀπὸ τοῦ Ὁμήρου. (Ἰλιάδ. η, 171.) Κλήρῳ νῦν πεπάλαχθε· ὁ δὲ νοῦς· ὑπομνησαμένῳ δὲ τῷ Ἡλίῳ ἀνακλήρωσιν ἔμελλε ποιῆσαι ὁ Ζεὺς, ἀλλ' οὐκ εἴασεν αὐτὸν τοῦτο ποιῆσαι ὁ Ἥλιος, ἐπειδὴ εἶπεν ἔνδον τῆς Θαλάσσης καὶ ἐν τῷ βυθῷ ὁρᾶν παραυξομένην καὶ ἐγειρομένην ἐκ τοῦ πέδου ἐσομένην ταύτην γὰρ πρός τε ἀνθρώπων χρησιμωτάτην καὶ πρὸς πάντα τὰ ζῶα εὔβοτον καὶ εὔρρονα, ἀπὸ μέρους τῶν προθάτων. — Μέλλεν.] Ἐμελέτα.

111. Ἀλλά νιν οὐκ εἴασεν.] Ἀλλὰ τοῦτο μὲν ὁ Ἥλιος οὐκ ἠβουλήθη, ἀνακλήρωσιν γενέσθαι καὶ τὸν ἀνδασμόν· ἐώρα γὰρ τὴν Ῥόδον ἀναβλαστῆσαι Θάλλουσαν ἐν τῇ Θαλάσσῃ καὶ πᾶσας ὑπερβαίνειν· διὸ τὴν Λάχεσιν τὴν μίαν τῶν Μοιρῶν τὴν πρὸς τὸν δασμὸν ἁρμόδιον ἐκέλευσεν αὐτῷ ἐπικρῖναι τὴν Ῥόδον· τοῖς δὲ Θεοῖς ὁμόσαι πεποίηκε μηθένα παρερεῖν μηδὲ ἀναπεῖσαι τὸν Δία γενομένης τῆς χώρας ἄλλῳ τινὶ δοθῆναι αὐτήν.

115. Πολύβοσκον.] Τὴν μεγάλην καὶ πολλοὺς θρέψαι δυναμένην· ἐν ἴσῳ δὲ τῷ Ὁμηρικῷ Πουλιβότειραν. (Ἰλιάδ. γ, 265.)

116. Εὔρρονα μήλοις.] Εὐρραντικήν· γλυκεῖαν τοῖς προβάτοις. — Μήλοις.] Καταχρηστικῶς πᾶσι τοῖς ἀλόγοις ζώοις, τουτέστιν ἀπὸ μέρους τὸ πᾶν.

117. Ἐκέλευσεν δ' αὐτίκα.] Ἀρίσταρχος· ἐκέλευσε δὲ ὁ Ἥλιος παραχρῆμα τὴν μὲν Μοῖραν Λάχεσιν ἐπιχειροτονῆσαι τῷ λόγῳ, τοὺς δὲ Θεοὺς ὁμόσαι μηθένα παρερεῖν μηδὲ παραπεῖσαι τὸν Δία περὶ τῆς μελλούσης φαίνεσθαι χώρας ὑπ' αὐτοῦ. Ἄλλως· πιθανῶς δὲ τὴν Λάχεσιν παρέβαλε, ἐπεὶ περὶ κλήρου ὁ λόγος. — † Σύνταξις. Ἐκέλευσε δὲ ὁ Ἥλιος, ἀντὶ τοῦ εἶπεν, ἐζήτησεν αὐτίκα τὴν Μοῖραν μὲν τὴν Λάχεσιν, ἤγουν τὴν τοὺς κλήρους διανέμουσαν, τὴν χρυσῆν περικεφαλαίαν φοροῦσαν, τὰς χεῖρας ἀνατεῖναι, ἀντὶ τοῦ τὴν ἑαυτῆς ψῆφον δοῦναι, ὅρκον δὲ τῶν Θεῶν μέγαν γενέσθαι, μὴ παρῇμεν, ἤγουν μὴ ἄλλο τι βουλεύσασθαι αὐτοὺς, ἀλλὰ σὺν τῷ παιδὶ τοῦ Κρόνου τῷ Διὶ κατα-

νεῦσαι, πεμφθεῖσαν αὐτὴν τὴν νῆσον, ἣγουν ἀναδοθεῖσαν εἰς τὸν αἰθέρα φαεινὸν, ἀντὶ τοῦ τὸν ἀέρα τὸν λαμπρὸν, γέρας ἔσεσθαι ἐξοπίσω, τουτέστιν εἰς τὸ ἐπιὸν, τῇ ἑαυτοῦ κεφαλῇ, ἀντὶ τοῦ αὐτῷ τῷ Ἡλίῳ δηλονότι· ἐτελεύτησαν δὲ, ἣγουν ἐτελειώθησαν αἱ κορυφαὶ, τουτέστι τὰ τέλη, αἱ ἀποκαταστάσεις τῶν λόγων, ἐν ἀληθείᾳ πεσοῦσαι, ἀντὶ τοῦ ἀποβᾶσαι· λέγω ἐβ)άστησε μὲν, ἀντὶ τοῦ ἀνεδόθη ἐκ τῆς Θαλάσσης τῆς ὑγρᾶς ἡ νῆσος, ἔχει τε αὐτὴν ὁ πατὴρ ὁ γεννήτωρ τῶν ἀκτίνων τῶν ὀξειῶν, τουτέστι τῶν καυστικῶν ἢ τῶν ταχειῶν, ἤτοι ὁ Ἥλιος ὁ ἀρχὸς, ἀντὶ τοῦ ὁ ἡνίοχος τῶν ἵππων τῶν πυριόντων τὸ πῦρ· εἰκότως εἶπε τὸ Λάχεσις, ἐπειδὴ περὶ κλήρου ἦν ὁ λόγος· τὸ δὲ χεῖρας ἀνατεῖναι εἶπεν ἀντὶ τοῦ χειροτονῆσαι, ἐκ μεταφορᾶς τῶν δικαστηρίων· ἐκεῖ γὰρ ἡνίκα τις νόμον ἢ ψήφισμα περὶ τοῦ κοινοῦ ἐποιεῖτο, εἰ καλὸν καὶ συμφέρον ἔδοξε τοῖς πρυτάνεσιν εἶναι, τὰς χεῖρας ἀνέτεινον βεβαιοῦντες αὐτό· ἐκ τοῦ εἰπεῖν Θεῶν ὅρκον μὴ παρφάμεν δείκνυσιν, ὡς οὐ μόνον τὰς χεῖρας ἀνέτεινεν ἡ Λάχεσις, ἀλλὰ καὶ ὤμοσε τὸ τῆς Στυγὸς ὕδωρ· ὅρκος γὰρ ἦν τῶν Θεῶν τὸ τῆς Στυγὸς ὕδωρ.

118. Λάχεσιν.] Τὴν κληρώτριαν. — Χρυσάμπικα.] Ἄμπυξ μὲν κυρίως κόσμος ἐπιτιθέμενος ταῖς τῶν γυναικῶν κεφαλαῖς, οὗ καὶ Ὅμηρος μνημονεύει· (Ἰλιάδ. χ, 469.)

Ἄμπυκα κεκρύφαλόν τ' ἠδὲ πλεκτὴν ἀναδέσμην.

νῦν δὲ καταχρηστικῶς τὴν τιμίαν ἀκουστέον. Λάχεσις δὲ μία τῶν Μοιρῶν καλεῖται· τριῶν δὲ οὐσῶν τῶν παιῶν Ἡσίοδος (Θεογ. 218.) μνημονεύει· Κλωθώ τε Λαχεσίς τε καὶ Ἄτροπος· ἔστι δὲ τὰ ὀνόματα αὐτῶν πεποιημένα, καὶ ἡ μὲν Κλωθὼ παρὰ τὸ συγκλώθειν τὰ ἀνθρώπινα, ἡ δὲ Λάχεσις παρὰ τὴν κλῆρωσιν τὴν ποιὰν, ἣν ἕκαστος γεγονὼς κεκλήρωται, ἡ δὲ τρίτη Ἄτροπος παρὰ τὸ ἀμετάτρεπτον τῆς μοιριδίου ἀνάγκης.

119. Χεῖρας ἀντεῖναι.] Ἀντὶ τοῦ χειροτονηθῆναι ποιῆται, κατὰ μετωνυμίαν. — Ἀντεῖναι.] Ὑψῶσαι. — Θεῶν ὅρκον.] Θεῶν ὅρκον τὴν Στύγα· ταύτην γὰρ καὶ Ὅμηρος καὶ Ἡσίοδος εἶπε καὶ οἵδε, δι' ὧν φασι·

Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος·
Ὅρκος. (Ἰλιάδος ο, 37.)

φησὶν οὖν, μὴ ἀπατῆσαι, μὴ παραλογίσασθαι, τουτέστιν ἐπικυρῶσαι τὸν τῶν Θεῶν ὅρκον· τοῦτο δὲ ὡς ὁμωμοκότων αὐτῶν φυλάξειν τὴν ἐν τῇ Θαλάσσῃ κρυπτομένην νῆσον.

120. Παρφάμεν.] Παρειπεῖν.

122. Φαεννὸν ἐς αἰθέρα.] Ἀντὶ τοῦ εἰς τὸν λαμπρὸν αἰθέρα ἀναφανεῖσαν τὴν Ῥόδον αὐτῷ βοηθῆναι τῷ Ἡλίῳ. Ἄλλως· φαεννόν, κατὰ συγκοπὴν φαενόν, λαμπρὸν αἰθέρα· νῦν δὲ καταχρηστικῶς τὸν ἀέρα.

123. Ἐᾷ κεφαλᾷ.] Τῇ ἑαυτοῦ τοῦ Ἡλίου, κεφαλῇ εἰς τὸ μετὰ ταῦτα μερίδα γενέσθαι.

124. Τελεύτασαν δέ.] Ἐτελειώθησαν, ἀντὶ τοῦ ἀληθῆ ἐποίησαν τὰ δόξαντα· ὁ δὲ νοῦς· ἐτελειώθη δὲ τούτων τῶν λόγων τὰ κεφάλαια ἐν τῇ ἀληθείᾳ πεσόντα.

125. Κορυφαί.] Ἀπορήσεις. — Μή ἐπῃς τὸ κορυφαὶ μετὰ ἄρθρου, ἀλλ' οὕτω· τελεύτασαν δὲ κορυφαὶ πετοῖσαι καὶ πεσοῦσαι ἐν ἀληθείᾳ, τουτέστιν οἱ τοῦ Διὸς πρὸς Ἥλιον λόγοι οὐ παρέβησαν, ἀλλ' ἐπληρώθησαν· ἔστι δὲ τὸ ἐτελεύτησαν κορυφαὶ λόγων καὶ τὸ ἐν ἀληθείᾳ πετοῖσαι ταυτόν· οἱ γὰρ πληρούμενοι λόγοι ἀληθεύουσιν, οἱ δὲ μὴ πληρούμενοι οὐκ ἀληθεύουσιν.

126. Πετοῖσαι.] Τελειωθεῖσαι.

127. Βλάστε μὲν ἐξ ἁλός.] Ὁ νοῦς· ἀνεβλάστησε μὲν καὶ ἀνεδόθη ἐκ τῆς θαλάσσης ἡ νῆσος, ἔχει δὲ αὐτὴν εἰς ἰδίαν μοῖραν ὁ Ἥλιος· ὁ τῆς τῶν ὀξειῶν ἀκτίνων γενέσεως πατὴρ καὶ τῶν πῦρ πνεόντων ἡγεμὼν ἵππων· ἐκ δὲ τοῦ ὀξειῶν, τῶν πυρωτικῶν ἀκουστέον· τὴν γὰρ ὀξύτητα καὶ ἐπὶ πυρώσεως λέγομεν.

129. Ὁ γενέθλιος ἀκτίνων.] Ὁ Ἥλιος ὁ ἔφορος τῶν γενέσεων πάντων.

131. Ἔνθα Ῥόδῳ.] Ὁ νοῦς· ἐν ᾗ νήσῳ τῇ νύμφῃ Ῥόδῳ μιχθεὶς ποτε ὁ Ἥλιος ἐγέννησεν ἑπτὰ παῖδας, ἐπὶ τῶν παλαιῶν ἀνθρώπων τοὺς σοφώτατα νοήματα παραδεξαμένους, ἀντὶ τοῦ σοφωτάτους· εἰσὶ δὲ οἱ Ἡλίου ἑπτὰ παῖδες οὗτοι· Κέρκαφος, Ἀκτίς, Μακαρεύς, Τενάγης, Τριόπης, Φαέθων ὁ νεώτερος, Ὄχιμος. Ἄλλως· Τενάγης ἤτοι Φαέθων, Ἀκτίς, Μάκαρ, Χρύσιππος, Κάνδαλος, Τριόπης. — Ἔνθα, Ἤγουν ἐν τῇ Ῥόδῳ τῇ νήσῳ, μιγείς ποτε αὐτὸς ὁ Ἥλιος τῇ Ῥόδῳ τῇ ἡρωΐδι ἐγέννησεν ἑπτὰ παῖδας τοὺς παραδεξαμένους ἐπὶ τοῦ χρόνου τῶν προτέρων ἀνθρώπων σοφώτατα νοήματα, ἤγουν ἐπιτηδεύματα, μαθήματα, ἀφ' ὧν εἷς μὲν ὁ πρῶτος Κέρκαφος τὸν Κάμειρον, ἐγέννησε καὶ πρεσβύτατον τὸν Ἰάλυσον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ καὶ τὸν Ἰάλυσον πρώτιστα ἐγέννησε, καὶ τὸν Λίνδον· ἀπάτερθε δὲ, ἤγουν χωρὶς, ἰδίᾳ,

εἶχον μερίδα ἀστέων, ἤτοι πόλεων ἕκαστος εἰς τρεῖς μερίδας διαμεριζόμενοι τὴν πατρῴαν γῆν· καλοῦνται δὲ αἱ ἕδραι, ἦγουν αἱ καθέδραι, τὰ φρούρια, ἔνθα ἕκαστος ἐνεδρόνιστο, αὐτοῖς, ἀντὶ τοῦ ἀπὸ τῶν ὀνομάτων αὐτῶν.

132. Τὸ ἑπτὰ πρὸς τὸ παῖδας συναπτέον οὕτω· τέκεν ζ' παῖδας παραδεξαμένους ἢ ἀπὸ τοῦ Ἡλίου ἢ ἀπ' ἄλλων διδασκάλων σοφώτατα νοήματα, ἦγουν σοφωτάτους γενομένους ἐπὶ τῶν προτέρων ἀνδρῶν, ἤτοι ἐπὶ τῶν ὑπαρχόντων ἐν ἐκείνοις τοῖς χρόνοις ἀνθρώπων· τῶν δὲ παίδων ὀνοματά εἰσι ταῦτα· Κέρκαφος, Ὄχιμος, Ἀκτίς, Μακαρεύς, Τενάγης, Τριόπης, Φαέθων. — Τέκεν ἑπτὰ, σοφώτατα] Τουτέστι σοφωτάτους γενομένους· ὁ γὰρ λέγων, ὅτι Δημοσθένης ῥήτωρ ἐγένετο τὰ νοήματα σοφώτατα τῶν προτέρων ἀνδρῶν παραδεξάμενος, μηνύει ὅτι ῥήτωρ ἄριστος ἐγένετο.

135. Ὧν εἷς μέν] Ὧν, τούτων τῶν ἑπτὰ παίδων τῶν προειρημένων, εἷς ὁ Κέρκαφος ἐκ Κυδίππης τῆς Ὀχίμου ἢ τῆς Ἀλφειοῦ Θυγατρὸς ὑπὸ Πινδάρου ἱστορεῖται πεποιηκέναι τρεῖς παῖδας, ὧν τὰ ὀνόματα ἐξέθετο, Κάμειρον, Λίνδον, Ἴηλυσον τῶν δύο πρεσβύτερον, ὡς εἶναι τούτους υἱωνοὺς καὶ οὐ παῖδας Ἡλίου. Ἄλλως· Ἡλίου καὶ Ῥόδου, οὕτω γὰρ αὐτὴν Ἑλλάνικος καλεῖ, ἑπτὰ παῖδες γίνονται, Ὄχιμος, Κέρκαφος, Ἀκτίς, Μακαρεύς, Κάνδηλος, Τριόπης, Φαέθων ὁ νεώτατος, ὃν οἱ ἐν τῇ νήτῳ ὀνομάζουσι Τενάγην· περὶ δὲ τῶν ὀνομάτων αὐτῶν διαφωνοῦσιν· οὐ πάντες γάρ φασι τοὺς αὐτοὺς τοῦ δὲ Κερκάφου Λίνδος, Ἴηλυσος, Κάμειρος οἱ ὑπὸ Πινδάρου ὀνομαζόμενοι, ὥστε μὴ εἶναι αὐτοὺς υἱοὺς Ἡλίου ἀλλ' υἱωνούς· διὸ καί τινες γράφουσιν, ὧν εἷς μὲν Κάμειρον πρεσβύτατος, ὥστε τὸν λόγον εἶναι τοιοῦτον· ἀφ' ὧν τῶν Ἡλίου ἑπτὰ παίδων εἷς Κέρκαφος ἐγέννησε τοὺς προκειμένους, ὥστε τὴν ἀπὸ πρόθεσιν ἔξωθεν λαμβάνειν ἡμᾶς.

138 Δασσάμενοι πατρῳᾶν.] Χωρὶς καὶ ἰδίᾳ ἕκαστος διαδασσάμενοι καὶ διαμερισάμενοι· ὁ δὲ νοῦς τούτων ὅ' ἕκαστος κεχωρισμένως καὶ κατ' ἰδίαν ἔχει πόλιν ὁμώνυμον· τὴν γὰρ πατρῴαν γῆν, αὐτὴν τὴν νῆσον, εἰς τρεῖς νειμάμενοι διεμερίσαντο καὶ οὕτως ἐπωνόμασαν τὰς ἕδρας καὶ τὰς πόλεις· ὁμώνυμοι γὰρ εἰσίν.

140. Κέκληνται δέ σφιν ἕδραι.] Ἐπωνομάσθησαν δὲ ἀπ' αὐτῶν αἱ ἕδραι, τουτέστιν αἱ πόλεις· ἕδρας γὰρ νῦν ταύτας ὀνομάζει τοῖς Ἡλίου υἱωνοῖς — Μὴ εἴπῃς τὸ σφὶν ἀντὶ τοῦ σφῶν, ὥς τινές φασιν ἀπατώμενοι ἀπὸ τοῦ ἕδραι, ἀλλ' ἔστιν

ἡ τοιαύτη ὁστικὴ πρὸς τὸ κέκληνται οὕτως· αἱ ἕδραι κεκλήρωνται καὶ ἐκληρώθησάν σφιν καὶ αὐτοῖς, τῷ Λίνδῳ, τῷ Ἰαλύσῳ καὶ τῷ Καμείρῳ, τουτέστι πρὸς τὰ τεύτων ὀνόματα, καὶ αὗται τὴν προσηγορίαν ἐσχήκασιν.

141. Τόθι λύτρον συμφορᾶς.] Αὐτόθι οὖν ἔνθα καὶ τῷ Τληπολέμῳ τῷ τῶν Ἀργείων ἡγεμόνι τῆς οἰκτρᾶς συμφορᾶς λυτήριον γλυκὺ ἵσταται· ἵσταται δὲ αὐτῷ τὸ λυτήριον ὥσπερ τοῖς Θεοῖς· θυσίαι γὰρ αὐτῷ διάφοροι γίνονται καὶ ἀγῶνες τελοῦνται· λυτήριον δὲ τῆς συμφορᾶς τὴν μετοίκησίν φησι καὶ τὴν αὐτόθι τοῦ βίου διατριβήν· τῆς κατὰ τὴν φυγὴν συμφορᾶς γλυκὺ λύτρον ἵσταται, τουτέστι γλυκερὰ λύσις ἵσταται. Ἄλλως λυτήριον τῆς φυγῆς τῆς διὰ Λικύμνιον. — Τόθι.] Ἤγουν ὅπου, ἐν τῇ Ῥόδῳ οἰκονότι, ἵσταται τῷ Τληπολέμῳ τῷ ποτε ἀρχηγέτῃ τῶν Τιρυνθίων, ἀντὶ τοῦ ἐγένετο, λύτρον, ἀντὶ τοῦ παύλα, ἐλευθερία ἠδεῖα τῆς συμφορᾶς τῆς οἰκτρᾶς, ἤγουν τῆς πλάνης ἧς ἐπλανήθη· ἐβασίλευσε γὰρ ἐκεῖ· ὅπου ἵσταται αὐτῷ, ἤγουν γίνεται ὥσπερ θεῷ καὶ πομπὴ, ἤτοι ἑορτὴ, τιμὴ κνίσσης μετέχουσα, ἤγουν ἣν τὰ πρόβατα σφαγιαζόμενα καὶ καιόμενα ποιεῖ· τουτέστιν ὅπου γίγνεται αὐτῷ ὥσπερ θεῷ, καὶ τιμὴ διὰ θυσιῶν, ὅπου γίνεται αὐτῷ ἀπὸ κοινοῦ, καὶ κρίσις ἐπ' ἀγῶσιν· ἐτελεῖτο γὰρ αὐτῷ ἀγὼν τὰ Τληπολέμεια, ὁ δὲ νικήσας αὐτὰ λεύκην ἐλάμβανε στέφανον. Ἱστορία. Ὅτε οἱ Ἕλληνες εἰς Τροίαν ἐστράτευσαν, ἦν καὶ Τληπόλεμος οὗτος μετὰ Ῥοδίων· ἀποθανόντος οὖν ἐκεῖ ἦγαγον τὰ ὀστᾶ αὐτοῦ εἰς Ῥόδον ὡς οἰκιστοῦ ταύτης, καὶ ναὸν αὐτῷ ποιήσαντες πανήγυριν κατ' ἐνιαυτὸν ἄγουσι τὰ λεγόμενα Τληπολέμεια· ἔστι δὲ τὸ τῶν ἀγώνων ἆθλον λεύκινος στέφανος, ὃν οἷς ἔσχε Διαγόρας νικήσας.

145. Κνισσάεσα πομπά.] Πομπὴ ἡ θυσία· ἐπεί φασιν ὅτι ἀγὼν ἐκεῖ ἄγεται Τληπολέμεια· οἱ δὲ Ἡράκλεια· ἔθεν αὐτῷ θυσίαι ἀξιοπρεπεῖς τελοῦνται αὐτόθι.

146. Κρίσις ἀμφ' ἀέθλοις.] Κρίσιν εἶπε τὸν ἀγῶνα τῶν Ἠλειίων, ὃν διατιθέασιν οἱ Ῥόδιοι· ἐφεύρατο δὲ ὁ Πίνδαρος· οὐ γὰρ Τληπολέμῳ ὁ ἀγὼν ἐπιτελεῖται, τῷ δὲ Ἡλίῳ τιθέασι τὸν ἀγῶνα, ὡς Ἴστρος φησὶν ἐν τῇ περὶ τῶν Ἠλιου ἀγώνων· Ῥόδιοι τιθέασιν Ἠλιου ν Ῥόδῳ γυμνικὸν στεφανίτην ἀγῶνα.

147. Τῶν ἄνθεσι Διαγόρας.] Τῶν παρὰ Ῥοδίοις ἄθλων· ἄνθεσι δὲ τοῖς στεφάνοις· τελεῖται γὰρ ἐκεῖ ἀγὼν Τληπο-

λέμειος ἐπικαλούμενος· ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα Ἡλίῳ τελούμενον εἰς τὸν Τληπόλεμον μετήγαγε· τελεῖται δὲ μηνὸς Γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ, ἀπέχει δὲ τῶν Νεμέων ἡμέραις ἑξ· ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες· ὁ δὲ στέφανος λεύκη δίδοται. — Τῶν ἄνθεσι.] Μὴ λάβῃς εἰς τὸ ὧν ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ ἄνθεσίν ἐστιν ἡ γενικὴ· τῶν γὰρ ἀγώνων ἦσαν τὰ ἄνθη δι' αὐτοὺς διδόμενα· ὧν τινων, ἤγουν τῶν Τληπολεμείων, τοῖς στεφάνοις ὁ Διαγόρας ἐστεφανώσατο δίς, καὶ ἐν τῇ ἐνδόξῳ Ἰσθμῷ ἐστεφανώσατο τετράκις εὐτυχῶν ἤγουν ἐπιτυγχάνων, νικῶν, καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ' ἄλλῃ στεφανηφορίαν ὀηλονότι, τουτέστι δὶς τὰς στεφανηφορίας ἐστεφανώσατο· καὶ ἐν ταῖς Ἀθήναις ταῖς κρανααῖς, ἀντὶ τοῦ καὶ ἐν τῇ Ἀττικῇ τῇ πετρώδει καὶ κατιξήρῳ, ἔνθα ἐτελεῖτο τὰ Παναθήναια, τὰ Ἡράκλεια, τὰ Ἐλευσίνια, τὰ Πανελλήνια, ἐστεφανώσατο, ἕνα τινὰ τούτων τῶν ἀγώνων δηλονότι ἢ καὶ πάντας νενικηκώς.

148. Κλειτᾷ τ' ἐν Ἰσθμῷ.] Θηλυκῶς τὴν Ἰσθμὸν φησιν, ὡς καὶ ἐν ἄλλοις τὴν Ὀρχομενόν. (Ὀλυμπ. ιδ'. 19) λέγει δὲ τὸν Διαγόραν τετράκις Ἰσθμια νενικηκέναι.

150. Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ.] Καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ' ἄλλῃ νίκην ἔσχεν, οἵαν δὶς ἐνίκησεν, οὐκ ἐκ διαλείμματος μέντοι, ἀλλὰ πρώτην Νεμέᾳ νικήσας καὶ τὴν ἑξῆς ἀγωνισάμενος ἑστέρθη.

151. Κραναᾶς ἐν Ἀθάναις.] Τὴν ὅλην Ἀττικὴν Ἀθήνας προσηγόρευσεν· εἴη δ' ἂν ἤτοι τὰ Παναθήναια νενικηκὼς ἢ τὰ Ἡράκλεια ἢ τὰ Ὀλύμπια ἢ τὰ Ἐλευσίνια· ἴσως δὲ καὶ πάντα ἐνίκησεν ὁ Διαγόρας· ἀοήλως γὰρ ἐξενήνοχεν ὁ Πίνδαρος. — Τὸ κραναᾶς ἐν Ἀθήναις, λέγει ἢ διὰ τὴν τῶν Παναθηναίων ἑορτὴν ἢ τῶν Ἐλευσινίων ἢ τῶν Ἡρακλείων· διὰ δὲ τὸ εἶναι τὴν Ἀττικὴν κατάξηρον καὶ λεπτόγαιον τὸ κραναᾶς εἶπεν.

152. Ὅ τ' ἐν Ἄργει χαλκός.] Ἐγνώρισε δὲ αὐτὸν καὶ ὁ ἐν τῷ Ἄργει διδόμενος χαλκοῦς ἆθλον τῷ νικήσαντι· τελεῖται γὰρ κατὰ τὸ Ἄργος τὰ Ἥραια, ἃ καὶ ἑκατόμβαια καλεῖται παρὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ Θεῷ· τὸ δὲ ἆπαθλον ἀσπὶς χαλκῆ, ὁ δὲ στέφανος ἐκ μυρσίνης. Ἄλλως· ἐν τῷ Ἄργει ἐν τῷ Ἑκατομβαίων ἀγῶνι χαλκοῦς τὸ ἆθλον δίδοται, ὅτι Ἄρκτινος Ἀργείων γενόμενος βασιλεὺς, ὃς καὶ ἀγῶνα πρῶτος συνεστήσατο ταχθεὶς ἐπὶ τῆς τῶν ὅπλων κατασκευῆς,

ἀπὸ τούτων καὶ τὴν τῶν ἄθλων δόσιν ἐποιήσατο. Ἑκατόμβαια δὲ ὁ ἀγὼν λέγεται, ὅτι πομπῆς μεγάλης προηγοῦνται ἑκατὸν βόες, οὓς νόμος κρεανομεῖσθαι πᾶσι τοῖς πολίταις· τὸ δὲ σημεῖον, ὅτι Ἑκατόμβαια λέγεται τὰ ἐν Ἄργει νενικηκέναι μάλιστα τὸν Διομήδην. λαμβάνουσι δὲ ἐντεῦθεν οὐκ ἀργὸν χαλκόν, ἀλλὰ τρίποδας καὶ λέβητας καὶ ἀσπίδας καὶ κρατῆρας. — Ὅ τ' ἐν Ἄργει χαλκός.] Καὶ ὁ χαλκὸς, τουτέστιν ἡ ἀσπὶς ἡ χαλκῆ ἡ διδομένη ἐν Ἄργει ἐν τῷ Ἄργει πανήγυρίς ἐστι τῆς Ἥρας τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια λεγόμενα· θύουσι γὰρ ἑκατὸν βόες τῇ θεᾷ· τὸ δὲ ἔπαθλον τῶν ἀγώνων χαλκῆ ἀσπὶς καὶ στέφανος ἐκ μυρσίνης. Ἔγνω αὐτὸν, ἀντὶ τοῦ ἐδεξιώσατο αὐτὸν νενικηκότα.

153. Τά τ' ἐν Ἀρκαδίᾳ.] Ἀπὸ κοινοῦ τὸ ἔγνω μιν, ἐγνώρισε δὲ αὐτὸν νικῶντα καὶ τὰ ἐν Ἀρκαδίᾳ ἆθλα· τελεῖται δὲ ἐν Ἀρκαδίᾳ τὰ Λύκαια, ἀνακείμενα τῷ Λυκαίῳ Διΐ· τὰ δὲ ἔργα τινὲς οὕτως ἀκούουσιν, ἐπειδὴ οἱ αὐτόθι νικῶντες σκεύεσι τιμῶνται. Ἄλλως· Πολέμων ἐν τῷ περὶ τῶν Θήβησιν Ἡρακλείων φησὶ χαλκὸν τὸ ἆθλον εἶναι τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις, ὥστε ἀπὸ κοινοῦ τὰ ἔργα (καὶ τὸν χαλκὸν λεπτέον, ὅτε φησὶν ὁ Πίνδαρος· ὅ τ' ἐν Ἄρει χαλκὸς ἔγνωμιν, τά τε ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις· δίδονται γὰρ ἐν ταύταις τρίπους χαλκοῦς· πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, Λύκαια, Κόρεια, Ἀλεαῖα, Ἕρμαια· ἐν δὲ Θήβαις τὰ Ἡράκλεια, τὰ δὲ αὐτὰ καὶ Ἰολάεια καλεῖται· ἐν δὲ Βοιωτίᾳ ἐν μὲν Θεσπιαῖς Ἐρώτια, ἐν δὲ ταῖς Πλαταιαῖς τὰ Ἐλευθέρια· ταῦτα Ἀριστόνικος· ὁ δὲ Δίδυμος φησι καὶ Ἀμφιαράεια ἐν Ὠρωπῷ, καὶ Δήλια ἐπὶ Δηλίῳ, καὶ Τροφώνεια ἐν Λεβαδείᾳ· ἐν δὲ Λεβαδείᾳ τὰ καλούμενα Βασίλεια. — Τά τ' ἐν Ἀρκαδίᾳ.] Καὶ τὰ ἔργα τὰ ἐν Ἀρκαδίᾳ ἔγνω αὐτόν· ἐτελεῖτο γὰρ ἐν Ἀρκαδίᾳ ἀγὼν τὰ Λύκαια τῷ Λυκαίῳ Διΐ ἀνακείμενος· οἱ δὲ νικῶντες σκεύεσι χαλκοῖς ἐτιμῶντο.

154. Καὶ Θήβαις.] Καὶ τὰ ἔργα τὰ ἐν Θήβαις ἔγνω αὐτόν· τὰ Ἡράκλεια καὶ Ἰολάεια ἐτελεῖτο ἐν ταῖς Θήβαις, ἐδίδοτο δὲ τῷ νικήσαντι τρίπους χαλκοῦς· ἐν ταῖς Θήβαις Ἡράκλεια ἐτελεῖτο, ὧν ἆθλον ἦν χαλκοῦς τρίπους· τελοῦνται δὲ ἐν Βοιωτίᾳ ἀγῶνες ἐν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν Πλαταιαῖς τὰ Ἐλευθέρια πρὸς τὸν Δία διὰ τὸ ἐνταῦθα νικῆσαι τοὺς Μήδους, ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαρήϊα. — Ἀγῶνές τ' ἔννομοι.] Πάλιν ἀπὸ κοινοῦ τὸ ἔγνω μιν· τελοῦνται δὲ ἐν Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν

Θεσπειαῖς τὰ Ἐρωτίδια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράϊα. — Ἀγῶνές τ' ἔννομοι Βοιώτιοι.] Καὶ οἱ ἀγῶνες οἱ Βοιώτιοι, ἦγον οἱ ἐν τῇ Βοιωτίᾳ, οἱ ἔννομοι, τουτέστιν οἱ συνήθως κατὰ τοὺς νόμους τελούμενοι ἔγνωσαν αὐτόν· ἐτελοῦντο δὲ ἐν τῇ Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράϊα.

156. Πελλάνα τ' Αἴγινά τε.] Πάλιν τὸ ἔγνω μιν· ἐγνώρισε δὲ τὸν Διαγόραν ἥτε Πελλήνη καὶ ἡ Αἴγινα ἑξάκις νενικηκότα· τελεῖται δὲ ἐν μὲν Πελλήνῃ τῆς Ἀχαΐας ἀγὼν ὁ καλούμενος Θεοξένια, τινὲς δὲ καὶ τὰ Ἑρμαια· τὸ δὲ ἆθλόν ἐστι χλαῖνα· ἐν δ' Αἰγίνῃ τὰ Διάκεια· ἔστι δὲ καὶ ὁ Ἀμφορίτης ἀγών, οὗ Καλλίμαχος μέμνηται ἐν τοῖς Ἰάμβοις· ἐν Πελλήνῃ τῇ Ἀχαϊκῇ ἐνίκησε· καλεῖται δὲ ὁ ἀγὼν Θεοξένια, ἐδίδοτο δὲ ἆθλον χλαῖνα — Πελλάνα τ' Αἰγίνα τε.] Καὶ ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Διάκεια, ἔγνω αὐτὸν, καὶ ἡ Πελλήνη, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἑρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· ἔγνω αὐτὸν νενῑκῶντα ἑξάκις· κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι· φησὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις οὐχ ἕτερον ὄνομα ἐπιγεγραμμένον ἢ ἐγκεκολαμμένον φέρει ἡ ψῆφος ἡ λιθίνη, τουτέστιν ἡ στήλη, ἀλλ' ἢ τὸ τοῦ Διαγόρου· εἶχε δὲ ἡ στήλη καὶ ἄλλων τινῶν ἀγωνιστῶν ὀνόματα, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος τοῦτό φησι· ψῆφον δὲ λέγει τὴν στήλην διὰ τὸ περιέχειν τὰ τῶν κριτῶν ψηφίσματα· ἐν Πελλήνῃ τῆς Ἀχαΐας ἀγῶνές εἰσι Θεοξένια καὶ Ἑρμαια, ὧν τὸ ἆθλον χλαῖνα· ἐν δὲ Αἰγίνῃ τὰ Διάκεια, ὧν τὸ ἆθλόν ἐστι κρατὴρ· οἱ ἐν τοῖς Μεγάροις ἀγῶσι νικῶντες λιθίνης ἠξιοῦντο στήλης διὰ ψηφίσματος, ἐν αἷς τὸ αὐτῶν ὄνομα ἦν· ἐκόλαπτον καὶ τὸ ὑπὲρ αὐτῶν ψήφισμα.

157. Ἐν Μεγάροισιν.] Τὰ Διάκλεια καὶ Πύθια καὶ Νέμεα.

159. Ψᾶφος ἔχει λόγον.] Κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι· φησὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις ἡ λιθίνη ψῆφος οὐχ' ἑτέρου τινὸς οὕτως ἐγκεκολαμμένον φέρει τὸ ὄνομα ὡς τὸ τοῦ Διαγόρου· τὸ σημεῖον χ', ὅτι ψῆφον λιθίνην λέγει τὴν στήλην διὰ τὸ περιέχειν τὰ ψηφίσματα· στήλη ἥτις οὐχ ἕτερον λόγον ἔχει ἐγκεκολαμμένον ἢ ὅτι νενίκηκε Διαγόρας· ἴσως γὰρ τοιοῦτον ἦν τὸ ἔθος αὐτῶν τῶν Μεγαρέων, τὸ γράφειν ἐν

στήλαις τὰ τῶν νικώντων ὀνόματα — Ἀλλ' ὦ Ζεῦ πάτερ νώτοισιν.] Ὁ νοῦς οὕτως ἔχει· ἀλλ' ὦ Ζεῦ πάτερ τοῦ Ἀταβυρίου ὄρους βασιλεύων, ἐν τιμῇ ἔχε τὸν ὕμνον τὸν εἰς τὸν Ὀλυμπιονίκην καὶ τὸν ἄνδρα τὸν εὑρόντα καὶ τὸν ἡγησάμενον τὴν ἀρετὴν, διὰ τῆς ἐν πυγμῇ νίκης. Ἄλλως· Νώτοισιν Ἀταβυρίου.] Ὄρος Ῥόδου· ἐπάνω γὰρ τοῦ ὄρους ἵδρυται ὁ Ζεύς· νώτοισι δὲ, ἀλλάξας πτῶσιν ἀντὶ τοῦ νώτων· τὸ πλάτος δὲ λέγει, ἀπὸ τοῦ σώματος, ὡς Πόδα Ἴδης καὶ Κεφαλὴ ὄρους· εἰσὶ δὲ χαλκαῖ βόες ἐπὶ τῷ ὄρει τῆς Ῥόδου, αἵτινες ὅταν μέλλῃ τι τῇ πόλει γίγνεσθαι κακὸν, μυκῶνται. Δίδυμος δέ φησιν εἶναι καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς Τίμαιός φησι· καλεῖται δὲ καὶ ὁ Ἀταβύριος. — † Σύνταξις. Ἀλλ' ὦ Ζεῦ πάτερ Ἀλλὰ ὦ Ζεῦ πάτερ ὁ βασιλεύων τῶν νώτων, ἀντὶ τοῦ τῆς κορυφῆς τοῦ Ἀταβυρίου ὄρους, τίμα μὲν τὸν νόμον τοῦ ὕμνου, ἤγουν τὴν συνήθειαν, τίμα καὶ τὸν ἄνδρα τὸν Ὀλυμπιονίκην τὸν εὑρόντα ἀρετὴν, ἀντὶ τοῦ εὑρημίαν ἕνεκα ἀρετῆς, πύξ, τουτέστι διὰ τῆς ἐν πυγμῇ νίκης· νώτοισι δὲ εἶπεν Ἀταβυρίου ὅτι ἐπάνω αὐτοῦ ἐπὶ τῇ κορυφῇ ἵδρυται ὁ Ζεύς· εἰσὶ δὲ χαλκαῖ βόες ἐν αὐτῷ, αἵτινες ὅταν μέλλῃ ἄτοπόν τι γενέσθαι, μυκῶνται· ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς φησι Τίμαιος.

161. Τίμα μὲν ὕμνου.] Περιφραστικῶς τὸν ὕμνον τὸν Ὀλυμπιόνικον, ἢ τὸν Διαγόραν· οὗτος γὰρ νόμος ἐγένετο νικήσας τοῦ ὕμνου· βέλτιον δὲ τὸ πρότερον· ἐπιφέρει γὰρ, Ἄνδρα τε πύξ ἀρετᾶν εὑρόντα.

162. Τεθμόν.] Ἀκολουθίαν.

164. Δίδοι τέ οἱ αἰδοίαν χάριν.] Ὁ νοῦς δίδου τε αὐτῷ αἰδοίαν χάριν καὶ παρὰ τῶν πολιτῶν καὶ παρὰ τῶν ξένων, ἐπειδὴ τὴν ἐχθρὰν τῆς ὕβρεως ὁδὸν βαδίζει, ἀντὶ τοῦ ἔπει πάντας δι' αἰδοῦς ἔχει καὶ τιμῆς — Δίδου τέ οἱ.] Δίδου τε αὐτῷ αἰδοίαν χάριν, ἀντὶ τοῦ τιμὴν αἰδεσίμου χάριτος, καὶ ποτ' ἀστῶν, καὶ παρὰ τῶν ἀστῶν, ἤγουν τῶν πολιτῶν, καὶ παρὰ τῶν ξένων, τουτέστι τῶν ἐπ' ἀλλοτρίου τόπου, ἐπεὶ ὁδὸν εὐθυπορεῖ, ἤγουν κατ' εὐθεῖαν πορεύεται οὐκ ἐκτρεπόμενος, ἐχθρὰν, τουτέστι ξένην, ἀλλοτρίαν ὕβρεως, ἤτοι ἀδικίας, τὸ φρένες ἢ αὐτοῦ νόει, ἢ πρὸς τὸ πατέρων, ἵν' ᾖ τὸ ἐξ ἀγαθῶν πρὸς τὰ πράγματα.

168. Σάφα δαείς.] Ταῦτα λοιπὸν ὡς πρὸς ἑαυτὸν φησιν ὁ ποιητής· σαφῶς γνοὺς ἅτινα αὐτῷ αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαὶ φρένες ἐξέχραον, οἱανεὶ ἐξεχρησμῴδουν καὶ

παρῄνουν, ὑπέθεντο· ὡς περὶ εὐσεβῶν δὲ λίαν ὑπαινίττεται· τοῦτο παρὰ τὸ Ὁμηρικὸν εἴρηται. (Ἰλιάδ. ζ', 209.)

Μηδὲ γένος πατέρων αἰσχυνέμεν.

† Σύνταξις. Σάφα δαείς.] Πρὸς τὸν Δία καὶ τοῦτο· σαφῶς μαθὼν ἅτινα αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαὶ, ἤγουν ἀληθεῖς, δίκαιαι φρένες, ἐξέχραον, ἀντὶ τοῦ ἔχραον, ἤγουν ἔχρων, τουτέστιν ἐχρησμῴδουν, παρῄνουν αὐτῷ, ἀφ' ὧν πατέρων τοιοῦτος παῖς, δηλονότι αὐτὸς ἐβλάστησεν.

169. Ἐξ ἀγαθῶν ἔχραον.] Σύναπτε τὸ ἐξ μετὰ τοῦ ἔχραον· ἐπροφήτευον.

170. Μὴ κρύπτε κοινόν.] Μὴ ἀπόκρυπτε τὸ κοινὸν καὶ διάδηλον τοῖς πολλοῖς τοῦ Καλλιάνακτος γένος· πρόγονος γὰρ τοῦ νικηφόρου οὗτος ἔνδοξος· ἀλλὰ ὕμνει· τουτέστι· μὴ ἀπόκρυπτε τοὺς προγόνους, ὦ θυμὲ, ἀλλὰ ὕμνει· ἑαυτῷ δὲ ὁ Πίνδαρος παρακελεύεται. — Μὴ κρύπτε.] Ἀντὶ τοῦ μὴ ἔα κρυβῆναι ἐν ἀδοξίᾳ τὸ σπέρμα, ἤγουν τὸ γένος τὸ κοινὸν, τουτέστι τὸ φανερὸν καὶ ἔνδοξον πᾶσι καὶ ὠφέλιμον, τὸ ἀπὸ τοῦ Καλλιάνακτος τοῦ προγόνου τοῦ Διαγόρου· καὶ σὺν ταῖς χάρισιν, ἀντὶ τοῦ διὰ τῶν χαρίτων, τουτέστι ἀνδραγαθημάτων τῶν Ἐρατιδῶν, ἤγουν τῆς ἐν Ῥόδῳ φυλῆς τῆς ἀπὸ τοῦ Ἐρατίδου τοῦ προγόνου τοῦ Διαγόρου, ἔχει ἡ πόλις θαλίας, ἤγουν εὐωχίας, εὐφροσύνας· ἤγουν μὴ ἀφάνιζε τὴν γενεὰν τοῦ Διαγόρου τὴν ἔχουσαν κοινωνίαν ἀπὸ Καλλιάνακτος, ἤτοι καταγομένην· σὺν χαρίτεσσιν, εὐτυχίαις, ἤτοι σὺν ταῖς εὐτυχίαις τοῦ Διαγόρου καὶ τῶν αὐτοῦ προγόνων καὶ ἡ πόλις ἡ Ῥόδος ἔχει θαλίας καὶ πανηγύρεις καὶ εὐφροσύνας ἑτέρας. — Κοινὸν σπέρμα.] Κοινὸν λέγει τὸ ἔνδοξον· κοινὰ γὰρ τὰ τοιαῦτα· ἐξ οὗ πάντως ἔχει τὸ συγγενικόν.

171. Ἀπὸ Καλλιάνακτος] Τὸ καταβαῖνον· τῶν ἀγόντων. — Καλλιάνακτος Ἐραστεῖδᾶν.] Ἐραστείδης πρόγονος τοῦ Διαγόρου, ἀφ' οὗ καὶ φυλὴ ὁμώνυμος ἐν Ῥόδῳ· φησὶν οὖν ὅτι σὺν ταῖς τῶν Ἐραστειδῶν χάρισι καὶ ἡδοναῖς ἡ πόλις κοινωνεῖ· ἐπεὶ καὶ πᾶσα ἡ Ῥόδος πλείστας εὐτυχίας ἐκ τῆς τούτου νίκης ἔχει· ὁ δὲ καὶ σύνδεσμος περιττεύει· ἐκ τῶν χαρίτων τῶν Ἐραστειδῶν ἢ σὺν ταῖς τῶν Ἐραστειδῶν χάρισι κῦδος ἔχει ἡ πόλις καὶ θαλίας· ὥστε τὸν μὲν Καλλιάνακτα πρόγονον εἶναι, Ἐραστείδας δὲ τὴν φατρίαν ἀπό τινος Ἐράστου καλεῖσθαι, ἢ Ἐραστέος ἀπὸ τοῦ Ἐραστεύς·

НБ ОНУ імені І.І. Мечникова

φυλὴ δέ ἐστι τῶν Ἐραστειδῶν ἐν Ῥόδῳ, ἀφ' ἧς ἦν Διαγόρας.

173. Ἐν δὲ μιᾷ μοίρᾳ χρόνου.] Ἐν τῷ βραχεῖ δὲ χρόνῳ τὰ πράγματα ἄλλοτε ἄλλως διατίθεται· εἶπε δὲ ἀλληγορικῶς, ὡς πρὸ ὀλίγου τινὸς λυπηροῦ συμβάντος αὐτῷ, καὶ ὅτι λοιπὸν ὀφείλει ἑτέρας ὥρας, τὸ δὴ λεγόμενον, πνευσάσης τέρπεσθαι καὶ ἐν εὐτυχίᾳ πάσῃ καὶ χαρᾷ διαζῆν· ἐκ τούτου ἐμφαίνει, ὅτι ἄνωθεν αὐτοῦ περὶ τὸν οἶκον συμφορὰ συνέβη γενέσθαι· νῦν δὲ ἑτέρως αὐτοῖς πνέει τὰ πράγματα· παραμυθεῖται οὖν αὐτόν. — Ἐν δὲ μοίρᾳ χρόνου μιᾷ.] Τουτέστιν ἐν ὥρᾳ μιᾷ, ἐνὶ καιρῷ, ἑνὶ χρόνῳ, αὖραι, ἀντὶ τοῦ μεταβολαί, διαιθύσσουσιν, ἤγουν ὁρμήσουσιν, ἄλλοτε ἄλλαι, καὶ εἴ τι συμβέβηκε δηλονότι καὶ τούτοις λυπηρὸν, ταχέως ἐπὶ τὸ κρεῖττον τραπήσεται — Μοίρᾳ.] Ῥοπῇ.

GLOSSAE INTERLINEARES AD OLYMP. VII, 1 — 81. Vulg.

Ex Vratisl. A.

1. Φιάλαν.] Ποτήριον. — ὡς εἰ.] ὥσπερ εἴ τις ἄνθρωπος· τὸ προοίμιον ἐκ παραδείγματος. 2. ἀρνειᾶς·] εὐδαίμονος, πλουσιοδώρου· διὰ τῆς αὐτοῦ χειρὸς λαβών. 3. οἰονεὶ πηδῶσαν. ὥσπερ ἐστὶν ὁρᾶν· ἢ τοῖς καλλίστοις τῶν οἴνων. 4. ὀρ·] ἤτοι οἴνῳ δῶρον παράσχοι ταύτην. 5. νέαν·] αὐτοῦ. — γαμβρῷ·] πρῶτος ἐκ ταύτης γενόμενος· ἅμα τῷ πάππατι καὶ τὴν φιάλην χαριζόμενος. 6. οἴκαδε·] ὥστε ἐνεγκεῖν. 7. διόλου χρυσῆν ἐξαίρετον κτῆμα τῶν ἄλλων κτημάτων. 8. χάριν.] τὴν ἡδονὴν, τὸ ἐπαγωγόν.—κᾶδος·] τὴν αὐτοῦ συγγένειαν. 9. τὸ ἴδιον ἑαυτοῦ· σὺν τούτοις δὲ· τῶν ἐν τῷ συμποσίῳ. 10. παρόντων· ἐποίησεν αὐτὸν τὸν γαμβρόν. 11. μακαριστόν.] συγγενικῆς· ἕνεκα τοῦ λέχους. 12. Θεῖον πῶμα, ἤτοι ὕμνον· ῥευστόν. 13. αὗται γὰρ τοὺς λόγους παρέσχον μοι· ἀγωνι-

НБ ОНУ імені І. Мечникова

σταῖς· ἤτοι τῷ Διαγόρᾳ· νικηταῖς. 14. τοῖς γὰρ δεχομένοις ὁ ἔπαινος γλυκύς. 15. τόκον τῆς ἐμῆς γνώσεως· ἰλαροὺς καὶ χαρίεντας αὐτοὺς ποιῶ διὰ τοῦ ὕμνου. 16. ἐν ἀμφοτέροις γὰρ τούτοις ἐνίκησε Διαγόρας. 17. οὗτος· εὐδαίμων, μακάριος. 18. διαλαλήσεις· ἤτοι ὃν πάντες θαυμάζουσιν· χρησταί. 19. ἐν ἄλλῳ καιρῷ· ἄνθρωπον· ἐπιβλέπει, περιέπει· νίκης εὐτυχίᾳ· τὸ ἔπαγωγὸν τῶν. 20. Ἁλλειν καὶ ζῆν αὐτὸν ποιοῦσα· εἰς τὸ ἑξῆς γλυκυτάτη· τὸ θαλερᾶς ζωῆς πάροχον· ἡδέα μὲν ἐργαζομένη. 21 · ἀδιαλείπτως· σύναπτε δὲ πρὸς τὸ ζωθάλμιος. — φορμ·] κιθάρᾳ.— παμφ.] πολυρθόγγοις ἤτοι ποικίλως φονοῦσιν. 22. ἤτοι αὐλοῖς ἐντεταμένως ἠχοῦσιν· κατασκευάσμασιν. 23. νῦν·] δή· μετὰ τῆς φόρμιγγος καὶ τῶν αὐλῶν· περὶ τοῦ νικητοῦ. 24. τῷ νικηφόρῳ τῷ νῦν προκειμένῳ εἰς ὕμνον· θαλασσίαν. 25. ὑμνῶν· τὴν Θυγατέρα. 26. τοῦ Ἰλίου· γυναῖκα. 27. τὴν ἡρωΐδα λέγει, ἧς ἡ νῆσος ἐπώνυμος· ἄτρεπτον ἐν μάχαις. 28. ἵνα· πάνυ μέγαν· τὸν Διαγόραν. 29. τῷ· Ὀλυμπίᾳ, ἐν τῇ Πίσῃ· τουτέστι νικήσαντα. 30. ὑμνήσω· δι' ἧς ἐνταῦθα ἐνίκησεν· δῶρα εἰς ἀμοιβήν. 31. ἤτοι ἐν Πυθίᾳ· ἐνταῦθα γὰρ ἡ Κασταλία πηγή· τῇ ἐν Πυθοῖ. 32. πατ·] αὐτοῦ· ἀρέσκοντα, ἀριστον γεγονότα· δικαίῳ. 33. μείζων γὰρ αὕτη Λιβύης καὶ Εὐρώπης· τῆς ἐπὶ πολὺ πλάτος κατὰ κύκλον ἀνοιγομένης. 34. τὴν τρεῖς ἔχουσαν πόλεις, Λίνδον, Ἰήλυσον καὶ Κάμειρον· οἱ γὰρ κατὰ Τληπολέμου ἐνταῦθα οἰκήσαντες Ἀργεῖοι. 35. τὸν πατέρα καὶ τὸν υἱόν· ἀντὶ τοῦ κατοικήσαντας· τῇ στρατιᾷ. 36· τῷ Διαγόρᾳ καὶ Δημαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις· ὅτι ἐκ Διὸς καὶ Ἡρακλείους ὁ νικητής. —τοῖσιν·] ἕνεκα τῶν. 37. καταγομένων. 38. κοινὸν δηιγούμενος, πᾶσιν ἀνθρώποις μηνύων ἤγουν ἱστορῶν· ὀρθῶς εἰπεῖν ἀποδοῦναι. 40. τῇ ἰσχυροτάτῃ, λέγω τῆς καταπολὺ ἰσχυρᾶς. 41. κατὰ μέρος ὁηλονότι· ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσι. 42. εἶναι· κατά· ἀπόγονοι Ἀμύντορος. 43. Θυγατρὸς Ἀμύντορος· ὑπεραπολογεῖται Τληπολέμου. 44. ψυχαῖς· ἁμαρτίαι· ἤτοι οἱ ἄνθρωποι ἁμαρτίαις ὑπόκεινται καὶ οὐκ ἐπὶ τοῦ αὐτοῦ βαίνουσιν. 45. πλεῖσται, μυρίαι· ἐπίκεινται. 46. ἄπορόν ἐστιν, ἀδύνατον· τινά. 47. ὅπερ συμβέβηκεν· ἐν τῷ θανάτῳ. 48. κάλλιστον, κράτιστον· ἀνθρώπῳ· αὐτοῦ· ἤτοι συμβήσεται. 49. ἀδελφόν. 50. οὐ νόμιμον· ῥάβδῳ τύπτων. 51. τοιοῦτον γὰρ τὸ φυτόν· ἐνταῦθα συναπτέον τὸ χολωθείς. 52. πόλις τοῦ Ἄργους. 53. τῶν οἴκων· τῆς μητρὸς αὐτοῦ. 54. ἤτοι

τῆς Ῥόδου· ὁ Τληπόλεμος ὀργισθείς. 55 στάσεις λέγει δὲ νῦν, τὸν θυμὸν· ἀκρατεῖς ὀργάς. 56. ἐξήγαγον τοῦ καθεστηκότος, ἤτοι ἐξῆγον τοῦ ὀρθοῦ. 57. περὶ τῆς τοῦ φόνου ἀπαλλαγῆς· τὸν Ἀπόλλω· ὁ Τληπόλεμος ἀπελθών. 58. ὁ χρυσῆν κόμην ἔχων Ἀπόλλων. 59. τεθυμιασμένευ, εὐωδίας πεπληρωμένου· τοῦ μὴ πολλοῖς εἰσβατοῦ νεώ. 60. Ἀργείας· Λέρνη γὰρ ἐκεῖ πηγὴ ἤτοι ἀπὸ τοῦ Ἄργους· τοῦ Ἀιγιαλοῦ. 61. περιῤῥύτου, τὸν ὑπὸ θαλάσσης περιλαμβανόμενον. 62. οἴκησιν, λέγει δὲ τὴν Ῥόδον· — νομόν·] διατριβήν· ὅπου. 63. ἔβρεξε· ἤτοι ὁ Ζεύς· ὅπως ὁ Ζεὺς ἔβρεξε τοῖς Ῥοδίοις χρυσόν. 64 συνίζησις· ὑετοῖς· τὸ πόλιν καὶ τὸ ἔνθα ἐκ παραλλήλου· ἢ καθ' ὅλον καὶ μέρος, ἵνα ᾖ τὸ ἔνθα ὅλον, τὸ δὲ πόλιν μέρος. 65. ὁπότε, ὁπηνίκα. 66. σιδηρῷ, τῷ ὑπὸ σιδήρου ἠλασμένῳ. 67. τοῦ Διός· ἢ Ἀθηνᾶ ἤτοι εἰς τὴν ἀκρόπολιν. 68. ὁρμήσασα, ἐξελθοῦσα· ἐδόησε, πολεμικὸν ἐβόησεν. 69. μεγάλη· ὑπερβολικῶς ὑψηλῇ. 70. συνέσταλται, ἐροβόθη αὐτήν· —μάτηρ·] πάντων. 71. ὁ φωτίζων τοὺς βροτοὺς ταῖς ἀκτῖσιν, ὁ φῶς τοῖς ἀνθρώποις φέρων. 72. ὁ Ἅτος, ὁ υἱὸς τοῦ Ὑπερίονος, ὃς ἦν εἷς τῶν Τιτάνων· ὅπως τοῖς Ῥοδίοις ἔφησεν Ἥλιος πρώτους τῇ Ἀθηνᾷ θῦσαι. 73. προσέταξε τηρῆσαι καὶ μὴ ἀμελῆσαι· ἐνετείλατο. 74. τοῖς ἐγκόνοις αὐτοῦ Ῥοδίοις· προσφιλέσιν. 75. τῇ Ἀθηνᾷ· ἀνοικοδομήσαιεν. 76. λαμπρὸν, μετέωρον. 77. εὐσεβῆ, μεγάλην· ποιήσαντες. 78. τῶ Διΐ· τὴν ψυχὴν εὐφράναιεν· τῇ Ἀθηνᾷ. 79 τὸ ἔγχος σείουσῃ, ἤτοι τῇ πολεμικῇ 80. ἐμβάλλει, ἐμποιεῖ ἡδονάς. 81. τῆς προβουλεύσεως· τὸ αἰδέσιμον.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Η'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ᾠδοῦ τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ᾠδοῦ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ ά προχαϊκὸν ἐπίτριτον ἢ ἐπιχωριαμβικόν. Τὸ β'

Ἰωνικὸν ἀπ' ἐλάσσονος, τρίτου παίωνος ἀντὶ τοῦ Ἰωνικοῦ. Τὸ γ' ἰαμβέλεγος πλεονάζων συλλαβῇ. Τὸ δ' ἐπιχωριαμβικὸν Πινδαρικὸν ἢ ἰαμβέλεγος. Τὸ ε προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς' προσῳδιακὸν τρίμετρον καταληκτικὸν, τοῦ Ἰωνικοῦ μέσου ὄντος. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ Θ' Εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ

Ἡ δὲ ἐπῳδὸς κώλων ἑνδεκα. Τὸ ά προσῳδιακὸν τρίμετρον ἀκατάληκτον Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ' ἐγκωμιολογικὸν, παρὰ τὴν τελευταίαν συλλαβήν· Τὸ ε δακτυλικὸν τρίμετρον τελικὸν ἢ προσῳδιακόν Τὸ ς' ὅμοιον τῷ αὐτῷ. Τὸ ζ' ὅμοιον τῷ αὐτῷ. Τὸ η δακτυλικὸν πενθημιμερές. Τὸ Θ' προσῳδιακὸν τρίμετρον ἀκατάληκτον, ὁ πρῶτος ἐξ ἰάμβων ἀδιάφορος, ὁ β' χορίαμβος. Τὸ ι Ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας καὶ τρίτου παίωνος κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν, τρίμετρον βραχυκατάληκτον Τὸ ια ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ᾠδοῦ εἴδους. Παλαιόν.

Τοῦ ᾠδοῦ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ἐννέα. Τὸ πρῶτον τροχαϊκὸν δίμετρον καταληκτικὸν, τοῦ τρίτου ποδὸς δακτύλου, ἢ χοριαμβικόν· οἱ δὲ λέγοντες τοῦτο τὸ μέτρον ἐπίτριτον οὐ καλῶς λέγουσιν· οὐ γὰρ εἰσι τέσσαρες τροχαῖοι, ἵν' ᾖ ἐπίτριτον. Τὸ δεύτερον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ τρίτον ἰαμβέλεγος πλεοναζούσης συλλαβῆς· ἐξ ἰαμβικοῦ γὰρ καὶ δακτυλικοῦ πενθημιμεροῦς σύγκειται, ἔχει δὲ καὶ περισσὴν συλλαβήν. Τὸ τέταρτον ἐπιχοριαμβικὸν ἑνδεκασύλλαβον, ὃ καλεῖται Σαπφικὸν, διὰ τὸ ἔχειν τὸν πρῶτον πόδα τροχαϊκὸν ἐπάσημον ἤτοι ἐπίτριτον· οὐ γάρ ἐστι Πινδαρικὸν, ὡς λέγουσιν. Τὸ πέμπτον προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς· τοῦτο δὲ καὶ ἀνακαιστικόν ἐστιν ἐφθημιμερὲς σπονδείου ἀρχομένου, ὡς ἐμοὶ δοκεῖ. Τὸ ἕκτον προσῳδιακὸν ἕτερον τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. Τὸ

ὄγδοον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ ἔνναton τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον ἢ λιχύθιον· Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν

Ἑκάστη ἐπῳδὸς κώλων ἐνδεκα. Τὸ πρῶτον προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου καὶ δι-τροχαίου ἢ ἐπιτρίτου. Τὸ δεύτερον δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τέταρτον ἐγκωμιολογικὸν μιᾶς λειπούσης συλλαβῆς· τὸ γὰρ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν σύγκειται. Τὸ πέμπτον ὅμοιον τῷ δευτέρῳ, δακτυλικὸν ἢ προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ἕκτον ὅμοιον τούτῳ. Τὸ ἕβδομον ὅμοιον τούτοις. Τὸ ὄγδοον δακτυλικὸν πενθημιμερές, εἰ δὲ βούλει προσοδιακὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ ἔνναton προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ πρῶτος δὲ ποὺς τοῦ πρώτου κώλου ἀντὶ Ἰωνικοῦ παίωνα δεύτερον ἔχει. Τὸ δέκατον Ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον βραχυ-κατάληκτον ἐκ τροχαϊκῆς συζυγίας καὶ παίωνος τρίτου κα-τὰ τὸ σύνηθες τῶν Ἰωνικῶν. Τὸ ἑνδέκατον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

Ἀλκιμέδοντι παιδί.] Γέγραπται ὁ ἐπινίκιος προηγουμέ-νως τῷ Ἀλκιμέδοντι παιδὶ παλαιστῇ νικήσαντι τὴν ὀγδοη-κοστὴν Ὀλυμπιάδα, μέμνηται δὲν ὁ Πίνδαρος καὶ τοῦ ἀ-δελφοῦ αὐτοῦ Τιμοσθένους Νέμεα νικήσαντος καὶ τοῦ ἀ-λείπτου αὐτοῦ Μελησίου, ὥς τινες καὶ παγκρατιαστοῦ· τοῖς γὰρ τρισὶ, φησὶν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε· ζητοῦσι δέ τινες, διατὶ ἐν τῷ ἑνὶ τούτῳ ἐπινικίῳ τοὺς τρεῖς ἐνε-κωμίασεν· καὶ οἱ μέν φασι διὰ τὸ μὴ καθ' ἕκαστον ἀξιο-λόγους ἀφορμὰς εὑρηκέναι, οἱ δὲ ὅτι ἐκ τῆς πόλεως ἦσαν τῆς αὐτῆς οἱ τρεῖς. — Γέγραπται ὁ ἐπινίκιος Ἀλκιμέδοντι παιδὶ παλαιστῇ, Τιμοσθένει ἀδελφῷ αὐτοῦ παλαιστῇ Νέμεα, καὶ Μελησίᾳ ἀλείπτῃ Ἀλκιμέδοντος· συμπαρέλαβε δὲ καὶ τοὺς τρεῖς, τὸν μὲν Ἀλκιμέδοντα ὡς Ὀλυμπιονίκην ἐν πάλῃ, τὸν δὲ Τιμοσθένην ὡς ἀδελφὸν αὐτοῦ Νεμείοις νικήσαντα

πάλη, Μελησίαν δὲ ὡς ἀλείπτην Ἀλκιμίδοντος ἢ καὶ τοῦ ἀδελφοῦ· ἦσαν δὲ οὗτοι ἐξ Αἰγίνης νήσου.

1. Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Ὀλυμπία.] Μητέρα τῶν ἄλλων εἶπε τὴν Ὀλυμπίαν ὡσανεὶ μητρόπολιν οὖσαν διὰ τὸ ἐπιφανέστατον εἶναι τὸν Ὀλυμπιακὸν ἀγῶνα, χρυσοστεφάνων δὲ ἀντὶ τοῦ καλλιστεφάνων. Ὅμηρος. (Ἰλ. ι, 389).

Οὐδ' εἰ χρυσείη Ἀφροδίτη κάλλος ἐρίζοι.

καὶ γὰρ δὴ ὄντως ἡ διδομένη ἐλαία τοῖς νικῶσι καλλιστέφανος προσαγορεύεται δέσποινα δὲ ἀληθείας, διὰ τὸ αὐτόθι τὸ τῶν Ἰαμιδῶν μαντεῖον ὑπάρχειν. Ἄλλως· Μᾶτερ ὦ χρυσοστεφάνων.] Ἡ τῆς ἀρχῆς ἐξήγησις οὕτως ἔχει· ὦ Ὀλυμπία μῆτερ τῶν χρυσοστεφάνων ἄθλων· μῆτερ δὲ, ἐπεὶ δοκεῖ ὁ Ὀλυμπιακὸς ἀγὼν πρωτεύειν τῇ δόξῃ παρὰ τοὺς ἄλλους· ὡς οὖν λέγομεν μητρόπολιν τὴν πρώτην καὶ ἐνδοξοτέραν πόλιν, οὕτω καὶ ἐνταῦθα μητέρα ἄθλων· ὁ Πίνδαρος πρὸς αὐτὴν τὴν Ὀλυμπίαν ποιεῖται τὸν λόγον, ὅ ἐστι πρὸς τὴν Πίσαν τὸν τόπον διαλέγεται, καὶ μητέρα αὐτὴν καλεῖ τῆς ἀληθείας, ἐπειδὴ μετὰ πάσης ἀληθείας ἐκρίνοντο οἱ ἀγωνιζόμενοι. — † Σύνταξις. Μᾶτερ ὦ χρυσοστεφάνων.] Ὦ Ὀλυμπία μῆτερ, τουτέστιν αἰτία τῶν βραβείων τῶν χρυσοστεφάνων, ἀντὶ τοῦ καλλιστεφάνων, ἡγοῦν τῶν κάλλιστον ἐχόντων κόσμον, τουτέστιν ὦ Ὀλυμπία ἐν ᾗ δίδονται οἱ κάλλιστοι στέφανοι τῶν βραβείων, δέσποινα ἀληθείας, ἡγοῦν ἀληθείας προϊσταμένη· εἶτα θέλων ζηλῶσαι, ὅπως προΐσταται τῆς ἀληθείας ἐπάγει· ὅπου ἄνδρες μάντεις, οἱ Ἰαμίδαι ὄλονότι, ἐν ἐντόμοις θύμασι σκοπεῦντες παραπειρῶνται, ἀντὶ τοῦ ἀποπειρῶνται, ἡγοῦν εἰς γνῶσιν ζητοῦσιν ἐλθεῖν τοῦ Διὸς ἀργικεραύνου, τουτέστι τοῦ αἰτίου τῶν ταχέων κεραυνῶν· λέγω εἴ τινα φροντίδα ἔχει αὐτὸς ὄλονότι ὁ Ζεὺς περὶ τῶν ἀνθρώπων τῶν ζητούντων κατὰ ψυχὴν μεγάλην ἀρετὴν λάβειν, ἀντὶ τοῦ τιμὴν μεγάλην νίκης· τῶν δὲ μόχθων, ἡγοῦν τῶν καμάτων ἀνάπνευσιν, ἄνεσιν· πληροῦνται δὲ αἱ λιταί, ἡγοῦν αἱ δεήσεις τῶν εὐσεβῶν ἀνδρῶν, τῶν Ἰαμιδῶν ὄλονότι, πρὸς χάριν, τουτέστι χαριέντως, θαυμασίως· οὐ χρὴ ἄνεται γράφειν, οὐδὲ εὐσεβείας, ἀλλὰ πληρέονται καὶ εὐσεβέων καὶ λιταί· οὕτω γὰρ ἔχει πρός τε τὴν σύνταξιν καὶ τὸ μέτρον ὀρθῶς· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πολλὰ ἕτερα ἐκαινοτομήθη τῷ σοφοτάτῳ Μοσχοπούλῳ κάμοί, ὡς ἐξετάζων εὑρήσεις, ἀνοικείως ἔχοντα πρὸς τὸ μέτρον.

3. Δέσποιν' ἀληθείας.] Ὦ δέσποινα τῆς ἀληθείας· ἐπειδὴ τὸ μαντεῖόν ἐστιν ἐκεῖ τὸ τῶν Ἰαμιδῶν. — Δέσποιν' ἀληθείας] Δέσποιναν εἶπεν ἀληθείας τὴν Ὀλυμπίαν, ὅτι ἐκεῖ μαντεῖον ἦν Ἰαμιδῶν, ἐν ᾧ μαντευόμενοι τὰ ἀληθῆ ἐγίνωσκον, ὡς καὶ αὐτὸς ἤδη λέξει. — Ἵνα μάντιες ἄνδρες.] Ἔνθα, λέγει δὲ ἐν Ὀλυμπίᾳ ἄνδρες οἱ μάντιες διὰ τῶν ἐμπύρων θυσιῶν ἀποπειρῶνται, φησί, τοῦ Διὸς περὶ τῶν ἀνθρώπων, εἴ τινα λόγον αὐτῶν ἔχει καὶ φροντίδα. Ἄλλως· ἀποπειρῶνται οἱ μάντεις καὶ ἐπιζητοῦσι μαθεῖν διὰ τῶν ἐμπύρων, τεκμαιρόμενοι καὶ εὑρίσκοντες τὰ σημεῖα· περὶ ποίων δὲ ἀνθρώπων ἀποπειρῶνται; περὶ τῶν ζητούντων καὶ ἐπιθυμούντων μεγάλην ἀρετὴν κτήσασθαι ἐκ τῆς νίκης καὶ σπουδαζόντων ἀναπνοὴν λαβεῖν ἐκ τῶν κατεχόντων μόχθων· τὸ ἐξῆς· ὅπου μάντιες ἄνδρες τοῖς διὰ τοῦ πυρὸς ἱεροῖς σημειούμενοι διαπειρῶνται τοῦ Διός.

4. Παραπειρῶνται.] Ἢ παρὰ περισσή· ἔστι γὰρ πειρῶνται· ἢ ἡ παρὰ ἀντὶ τοῦ ἀπό· ἔστι γὰρ ἀποπειράζουσιν. Διὸς ἀργικεραύνου, ἤτοι παρὰ Διός· ἐνταῦθα ἡ παρὰ συναπτέον, ὥστε εἶναι· παρὰ Διὸς ἀργικεραύνου πειρῶνται, μεγάλαν ἀρετὰν θυμῷ βαλεῖν μαιόμενοι· ὁ δὲ λόγος· εἰ φροντίζει τῶν ἀνθρώπων ὁ ἡμεῖς λέγομεν, ἀποπειρῶνται ὁ δὲ Ἀρίσταρχος οὕτως· ἀποπειρῶνται εἰ ἀντιποιεῖται περὶ ἀνθρώπων καὶ ἔχει λόγον τῶν ζητούντων ἀρετὴν κτήσασθαι. — Παραπειρῶνται] Ἀπεικάζουσιν.

9. Μόχθων.] Κόπων.

10. Ἄννεται δὲ πρὸς χάριν] Ἀνύεται δὲ τὸ τοιοῦτον, τὸ ποῖον; τὸ φανερωθῆναι τὴν τοῦ Διὸς βουλὴν ἀνύεται εἰς χάριν τῶν εὐσεβῶς καὶ ὁσίως εὐχομένων καὶ λιτανευόντων, ὅπερ ἐστὶ τῶν μάντεων καὶ ἱερέων· ἐπαινεῖ οὖν ἴσως τοὺς Ἰαμίδας ὡς εὐσεβεῖς· δύναται οὖν καὶ ἀπ' αὐτῶν τούτων νοεῖσθαι τὸ εὐσεβείας· πρόσκειται δὲ τὸ σημεῖον, ὅτι τὸ σημαινόμενόν ἐστι τοιοῦτον· ἐπιτελεῖται δὲ χάριν τῆς εὐσεβείας ἢ διὰ τὴν εὐσέβειαν. — Ἄλλως. Ἄννεται δὲ πρὸς χάριν.] Τουτέστιν οἱ εὐσεβεῖς ἀνύουσί τι ταῖς πρὸς τοὺς θεοὺς λιταῖς, οἱ δὲ ἀσεβεῖς οὐδαμῶς· γράφει δὲ ὁ Ἀσκληπιάδης ἄνευ τοῦ σ_ λιταί, καὶ οὕτω καθίστησι τὸν λόγον· πρὸς δὲ τὸ κεχαρισμένον τῇ εὐσεβείᾳ τῶν ἀνδρῶν ἀνύονται λιταί, ὡς ἂν αὐτῇ τῇ τῶν ἀνδρῶν εὐσεβείᾳ κεχαρισμένου τοῦ λιτανεύειν ὄντος· δεήσει δὲ καὶ αὐτὸν λαμβάνειν τὸ ἄνεται ἀντὶ πληθυντικοῦ τοῦ ἀνύονται, ἵνα μὴ τελειοῦνται

δὲ αἱ λιταὶ πρὸς τὴν χάριν τῆς εὐσεβείας. Ἄλλως· τελεῖται ἡ μαντεία πρὸς τὸ κεχαοισμένον ἕνεκα τῆς εὐσεβείας ταῖς τῶν ἀνδρῶν λιταῖς· ἢ οὕτω· τελειοῦνται δὲ τὰ μαντεῖα ταῖς τῶν ἀνδρῶν εὐσεβείαις, ὅτι πείθοντες λιταῖς τοὺς θεοὺς λαμβάνουσι κεχαρισμένους χρησμούς· τοῦτο δὲ λέγει, ἐπεὶ οὐ παντὶ ἀνθρώπῳ μαντεύεται τὸ θεῖον, ἀλλὰ τοῖς εὐσεβέσιν.

12. Ἀλλ' ὦ Πίσας εὔδενδρον.] Ἥτοι λείπει τὸ ἔχων, ἢ φιλῶν· τὸ τῆς Πίσης ἄλσος, ἵν' ᾖ πρὸς τὸν Δία λέγων, ἢ πρὸς αὐτὸ τὸ ἄλσος τῆς Ὀλυμπίας λέγει, ὅπερ ἀνάκειται τῷ Διὶ τῷ τῆς Πίσης, τὸ εὔδενδρον ἄλσος τὸ ὂν ἐπὶ τῷ Ἀλφειῷ· ὁ δὲ τρόπος περιφραστικός· τοῦτον τὸν κῶμον καὶ τὸν ὕμνον καὶ τὴν ἐκ τῆς στεφανηφορίας προσθῆξαι νίκην· πρὸς αὐτὸ τὸ τῆς Πίσης ἄλσος διαλέγεται, ἢ πρὸς τὸ Πάνθειον, ὅπου αἱ ἐλαῖαι φύονται, ἢ πρὸς τὸν τόπον, ὅπου οἱ ἀνδριάντες τῶν νικησάντων ἀνάκεινται. — Σύνταξις. Ἀλλ' ὦ Πίσας.] Πρὸς τὴν Ὀλυμπίαν ἀποτείνων ἤρξατο, εἶτα πολλὰ διὰ μέσου θεὶς καὶ μὴ ἐπαγαγὼν τὴν ἀπόδοσιν ἐπαναλαμβάνει τὸν πρὸς αὐτὴν λόγον, καὶ οὕτως ἐπάγει προσεχῆ καὶ ῥαδίαν τὴν ἀπόδοσιν καί φησιν· ἀλλ' ὦ ἄλσος εὔδενδρον τῆς Πίσης τῆς ἐπὶ τῷ Ἀλφειῷ, ἤγουν ἀλλ' ὦ Ὀλυμπία, δέξαι τοῦτον τὸν κῶμον, τουτέστι τὸν μετὰ χορείας ὕμνον, καὶ ταύτην τὴν στεφανηφορίαν, ἤγουν τὴν ἐν σταφάνοις ἀνακήρυξιν· μέγα κλέος αἰεί, μεγάλη δόξα αἰεί ἐστι ἀκλονότι ἐκείνῳ τῷ ἀνθρώπῳ, ὥτινι ἂν ἔπηται, ἤγουν ἀκολουθήσῃ τὸ σὸν γέρας, ἤτοι ἡ σὴ τιμὴ ἡ λαμπρά.

14. Μέγα τι κλέος.] Μεγίστη γὰρ ἐκείνῳ δόξα, ὥτινι ἂν τὸ σὸν γέρας ἡδὺ καὶ τερπνὸν παρακολουθήσῃ· ἀγλαία γὰρ ἡ τέρψις.

16. Ἄλλα δ' ἐπ' ἄλλον ἔβαν.] Οὐ πάντες τὰ αὐτὰ ἔχουσιν ἀγαθά, ἀλλὰ ἄλλο ἄλλος· τοῦτο δὲ εἶπεν, ὅτι ὁ μὲν Λ'λκιμέδων Ὀλύμπια ἐνίκησεν, ὁ δὲ ἀδελφὸς Τιμοσθένης Νέμεα· διὸ οὐ πάντες πάντων κοινωνοῦσι τῶν ἀγαθῶν, παρὰ τὸ Ὁμηρικόν. (Ἰλιάδ. δ, 320).

Ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν.

— Ἄλλα δ' ἐπ' ἄλλον ἔβαν.] Τουτέστιν· ἄλλα δὲ ἀγαθὰ ἐπ' ἄλλον ἔβησαν, ἀντὶ τοῦ ἔρχονται.

18. Σὺν θεοῖς.] Ἀντὶ τοῦ τῶν θεῶν βουλομένων πολλαὶ δόσοι γίνονται εἰς τὸ εὖ πράσσειν. — Πολλαὶ δ' ὁδοὶ σὺν

θεοῖς.] Πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν τῶν θεῶν βουλομένων· ἡ πολλαὶ δὲ ὁδοὶ εἰσιν, ὧν ἑκάστη εἰς διάφορον εὐπραγίαν ἄγει βοηθούντων τῶν θεῶν· ἦγουν πολλαὶ δὲ καὶ διάφοροι εὐπραγίαι εἰσὶν, ὧν ἄλλων ἄλλης ἐστὶ τυχεῖν βοηθούντων τῶν θεῶν. — Εὐπραγίας.] Εὐτυχίας.

19. Υ̓́μμε δὲ κλάρωσεν.] Ὑμᾶς μέντοι, ὦ Τιμόσθενες, ἐκλήρωσε καὶ προσῳκείωσεν ἡ μοῖρα καὶ τὸ δαιμόνιον τῷ Διὶ τῷ γενεθλίῳ· γενεθλίῳ δὲ, τὸ τῆς γεννήσεως αἰτίῳ· τοῦτο δὲ εἶπεν, ἐπειδὴ νεώτεροι ἐνίκησαν. — Ἐκλάρωσεν.] Ὁ μοιρίδιος ὑμῶν πότμος καὶ ἡ τύχη ἀπεκλήρωσεν ὑμᾶς κατὰ τὴν γένεσιν τῷ Διὶ, σέ τε, ὦ Τιμόσθενες, καὶ τὸν ἀδελφὸν Ἀλκιμέδοντα. — Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν.] Ὦ Τιμόσθενες, ὑμᾶς δὲ ἐκλήρωσεν, ἤτοι ἔταξεν ἡ τύχη ἐν τῷ Ζηνὶ τῷ γενεθλίῳ, τουτέστιν ἐν τῇ νεότητι ἐφ' ᾗ τιμᾶται γενέθλιος Ζεὺς, ὡς ἔφορος δηλονότι τῆς γεννήσεως.

20. Σὲ μὲν ἐν Νεμέᾳ.] Σὲ μὲν ἐπιφανῆ καὶ ἔνδοξον ὁ Ζεὺς ἐν τῇ Νεμέᾳ πεποίηκε, τὸν δὲ Ἀλκιμέδοντα Ὀλυμπιονίκην ἐν τῷ Κρονίῳ λόφῳ. — Ὃν μὲν ἐν Νεμέᾳ.] Τουτέστι· σὲ ἐν τῇ Νεμέᾳ πρόφαντον, τουτέστιν ἔξοχον, λαμπρόν· τὸν Ἀλκιμέδοντα δὲ τὸν σὸν ἀδελφὸν ἐποίησεν ἡ τύχη Ὀλυμπιονίκην παρὰ τῷ λόφῳ τοῦ Κρόνου· ἦν δὲ ὁ Ἀλκιμέδων καλὸς, ἦγουν εὐειδὴς εἰς τὸ ὁρᾶν αὐτόν τινα, καὶ τῷ ἔργῳ, τουτέστι καὶ διὰ τῆς πράξεως οὐ κατελέγχων, ἦγουν οὐ καταισχύνων τὸ εἶδος, ἤτοι τὴν μορφήν.

21. Πρόφαντον·] Ἐπιφανῆ καὶ ἐπίσημον ἐποίησεν· ἀμφοτέρους δὲ τοὺς ἀγῶνας τούτους ἀνάπτει τῷ Διΐ, παρόσον καὶ ἡ Ὀλυμπία καὶ ἡ Νεμέα Διός· καὶ ὁ Καλλίμαχός φησι·

Ζηνί τε καὶ Νεμέῃ τι χαρήσιον ἔδνον ὀφείλω. (ᾠδὴ 193.)

22. Κρόνου λόφῳ.] Τῇ Ἥλιδι· οἱ δὲ, ὅτι ὑπὸ τὸ ὄρος ἐκεῖνο Κρόνος ἱδρύνθη.

24. Ἦν δ' ἐσορᾶν καλός.] Καλὸς μὲν ἦν ὀρθῆναι ὁ Ἀλκιμέδων, οὐ κατῄσχυνε δὲ τὸ εἶδος τοῖς ἔργοις· ἀνεκήρυξε γὰρ τὴν Αἴγιναν τὴν ναυτικὴν κρατήσας καὶ νικήσας πάλη. Ἄλλως· τὴν εὐμορφίαν τοῦ εἴδους οὐ κατελέγχων· ὁ δὲ Ὅμηρος ἐκ τοῦ ἐναντίου· (Ὀδυσ. ρ, 454.) Οὐκ ἄρα σοί γε φρένες ἦσαν καὶ εἶδος.

25. Εἶδος.] Ὡραιότητα.

26. Ἐξένεπε.] Ἐδόξασε. — Ἐξένεπε κρατέων.] Ἐξηγόρευσεν, ἀνεκήρυξε τὴν ναυτικὴν Αἴγιναν. Ἡσίοδος· (ᾠδαὶ σλ' 445).

Οἱ δ' ἦτοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας,
Πρῶτοι δ' ἱστία θέσσαν ἔπι πτερὰ ποντοπόροιο
Νηός...

ἀνακηρυχθῆναι ἐποίησε καὶ ἀνεκήρυξεν ἑαυτὸν Αἰγινήτην τῇ πάλῃ κρατήσας καὶ νικήσας· δολιχήρετμον δὲ τὴν Αἴγιναν, ὅτι ναυτικοὶ οἱ Αἰγινῆται, ὡς καὶ ἐν τῷ Περσικῷ πολέμῳ θεύτεροι Ἀθηναίων εὑρέθησαν. — Ἐξένεπε κρατέων.] Ἤγουν ἀνεκήρυξεν, ἀνακηρυχθῆναι ἐποίησε νικῶν ἐν πάλῃ τὴν πατρίδα αὐτοῦ τὴν Αἴγιναν τὴν δολιχήρετμον, ἤγουν τὴν μακραῖς κώπαις χρωμένην, τουτέστι τὴν ναυτικήν.

28. Ἔνθα σώτειρα Διὸς ξενίου.] Ἐν ᾗ, ἐν Αἰγίνῃ ἡ Θέμις ἡ τοῦ Διὸς πάρεδρος ἀσκεῖται καὶ θρησκεύεται· ἐπαινεῖ δὲ αὐτοὺς ὡς φιλοξένους διὰ τὸ παρὰ τῷ πλῷ κεῖσθαι καὶ πολλοὺς ὑποδέχεσθαι· διὰ τοῦτο εἶπεν ἔξοχ' ἀνθρώπων, ἵνα ἐξόχως καὶ ὑπὲρ πάντας ἀνθρώπους εἴπῃ τὴν Θέμιν ἀσκεῖσθαι ἕνεκα φιλοξενίας παρ' Αἰγινήταις· ἐπειδὴ τὸ κεχριμένον καὶ πρὸς ἕκαστον ἀξίας αὐτοῖς προσμαρτυρεῖ· τοῦτο γὰρ μάλιστα ἀξιώματος ἄξιον τὸ τῶν πλησιαζόντων ἑκάστῳ τὴν πρέπουσαν καὶ πρόσφορον ἀποδοῦναι τιμήν· διὰ τοῦτο οὖν φησι τιμᾶσθαι ἐξόχως τὴν τοῦ Διὸς ξενίου Θέμιν· ἐπειδὴ ἔνθα ἂν ᾖ πολύ τι καλὸν, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων χρόνον ἡ πλῆθος ἀνθρώπων ἔχῃ τὴν ῥοπὴν, περιγινόμενον τοῦτο διακρῖναι καὶ δοκιμᾶσαι ὀρθῷ λογισμῷ καὶ προσήκοντι, ἵνα ἑκάστῳ τὸ πρέπον παράσχῃ καὶ κατὰ καιρὸν, δύσκολόν ἐστι καὶ δυσανταγώνιστον· ὅπερ Αἰγινῆται ὑπὲρ πάντας κατώρθωσαν. Ἄλλως· Πάρεδρος ἀσκεῖται Θέμις.] Ἀσκληπιάδης ἀντὶ τοῦ τιμᾶται πρὸς τοῦ ξενίου Διὸς, τουτέστι φιλόξενοί εἰσιν, ἴσως διὰ τὸ ἐμπορεῖον εἶναι τὴν Αἴγιναν, ὅθεν τὸν ἐπὶ μεταβολῆς φόρτον Αἰγινητικὸν ἔλεγον καὶ τοὺς παντοπώλας Αἰγινοπώλας — Ἔνθα σώτειρα Διός.] Ἔνθα, ἤγουν ἐν τῇ Αἰγίνῃ, ἐπιμελείας ἀξιοῦται Θέμις, ἀντὶ τοῦ δίκη, ἡ πάρεδρος τοῦ Διὸς τοῦ ἐφόρου τῶν ξένων, μάλιστα πάντων τῶν ἄλλων ἀνθρώπων.

29. Πάρεδρος.] Παρακαθήμενος.

30. Ἔξοχ' ἀνθρώπων.] Ἵνα βεβαιώσῃ καὶ τὸ ἐξόχως, ἐπάγει· ἔνθα γάρ τι πολὺ ἐστι καὶ ῥοπὴν ἔχει μεγάλην, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, τοῦτο ὀρθῇ διανοίᾳ καὶ ἀσφαλείᾳ κεχρημένον εἰπεῖν μὴ ἔξω τοῦ προσήκοντος ἀλλ'

εὐκαίρως, δύσκολόν ἐστι καὶ δυσπαλές. — Ὅ,τι γὰρ πολὺ, καὶ πολλὰ ῥέπει.] Γνωμικόν ἐστι τὸ λεγόμενον, συντείνει δὲ εἰς τὸν περὶ φιλοξενίας τῶν Αἰγινητῶν λόγον· σημαίνει δὲ τοῦτο· ὅπου γὰρ ἂν ᾖ τι πολὺ καὶ πολλαχοῦ ῥέπειν δυνάμενον, περὶ τοῦ τοιούτου προνοῆσαι καὶ κατὰ τρόπον οἰκονομῆσαι καὶ κατορθῶσαι, δυσχερὲς τοῖς πολλοῖς ἀεὶ γίνεται· τοῦτο δέ φησιν, ὅτι φιλόξενοι ὄντες μετὰ κρίσεως παραδέχονται τοὺς ἀφικνουμένους· οὐκ εἶναι οὖν φησιν ἀξένους τοὺς Αἰγινήτας καθάπαξ, οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγενομένους οὕτω πάντας, ὡς ὁ Τηλέμαχός φησιν ἐπὶ τῆς Πηνελόπης (Ὀδυτ. υ, 131.)

Τοιαύτη γὰρ ἐμὴ μήτηρ, πινυτὴ περ ἐοῦσα·
Ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
Χείρονα, τὸν δ' ἕτερον ἀτιμήσασ' ἀποπέμπει.

δύναται οὖν τὸ πολὺ καὶ πολλὰ ῥέπον ἐπὶ τοῦ ὄχλου τίθεσθαι τοῦ ἐν τῇ πόλει, οἷον ὅπου ἐστὶν ὄχλος, ἐνταῦθα τὸν κατοικοῦντα ὄχλον τῶν συμφερόντων τι νοῆσαι χαλεπόν ἐστιν· ἀκριβοῦς γὰρ διανοίας ἔργον ἐστὶ τοῦτο καὶ ἠρεμούσης καὶ ὀλίγων ἀνδρῶν τὸ ἐπὶ τοιαύτην ἐνεχθῆναι κρίσιν· οὕτω γὰρ ἐπλήθυναν οἱ Αἰγινῆται, ὡς τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν κτήσασθαι, ὥς φησιν Ἀριστοτέλης. Τεθμὸς δὲ νόμος, κρίσις, δόγμα, δόκησις· ἀλιερκέα δὲ χώραν τὴν Αἴγιναν· νῆσος γὰρ ἐπαινεῖ δὲ τοὺς Αἰγινήτας, ὅτι πάντας δεχόμενοι ἐξαιρέτως τοὺς ἀγαθοὺς ἔχουσιν· πολλοὺς γὰρ ξένους παραγίνεσθαί φησιν εἰς Αἴγιναν, καὶ δυσχερὲς ὁμοῦ πολλῶν ὄντων διαγινώσκειν τοὺς Αἰγινήτας, χρηστὸς τίς ἢ τίς φαῦλος· καὶ ὅμως τοσούτους ὑποδεχόμενοι περὶ ἀγαθοὺς μᾶλλον ἐσπουδάκασιν· τὸ δὲ ὅ,τι πολὺ καὶ πολλὰ ῥέπει, τὸ γένος τῶν ἀνθρώπων· τὸ δὲ δυσπαλὲς ἀπὸ τῶν ὁρᾶτων ἔχει τὴν μεταφοράν, καὶ τὸ ῥέπειν ἀπὸ τῶν ἱστάντων ἐπὶ ζυγῷ· ὅταν γὰρ τὸ ἓν τῷ ζυγῷ ἐλαφρὸν ᾖ, εὐχερὲς τὴν ἰσότητα γνῶναι· ἐὰν δὲ βαρὺ, δυσχερές· ὁ δὲ λεγει, τοιοῦτόν ἐστιν, ὅτι εἰς ὑπερβολήν εἰσι διακρίνειν τὸ καλὸν καὶ τὸ δυσχερές· ὅπερ καὶ παρὰ τοῖς ἄλλοις χαλεπὸν νομίζεται. — Ὅ,τι γὰρ πολὺ, καὶ πολλὰ ῥέπει.] Καὶ γὰρ ὅπερ ἂν ᾖ τι πολὺ καὶ πολλαχόσε, ἧγουν εἰς πολλὰς ὁδοὺς τείνει διαφερούσας ἀλλήλων, τοῦτο διοικεῖν ἀσφαλεῖ κρίσει λογισμοῦ καὶ δικαίᾳ οὐκ ἔξω τοῦ ἐγκαίρου, ἧγουν τοῦ ἁρμόζοντος, δυσχερές ἐστιν· ὥσπερ ἐν αὐτῇ τῇ

Αἰγίνῃ δηλονότι πλῆθος συῤῥεῖ ξένων διαφέρον τὰς γνώμας, εἶτα ὀρθῶς διοικεῖται.

31. Εἰς πολλὰ διανοήματα κατὰ τὰς γνώμας, ἀλλ' ὅμως κρίνεται ἐν ὀρθῇ γνώσει. — Ῥέπει.] Κλίνει.

33. Δυςπαλές.] Δύςκολον· δεινὸν, δυςκλήρωτον. — Τεθμός.] Τὸ σημεῖον χ', ὅτι τεθμὸν νῦν τὸ δόγμα καὶ τὴν δόκησιν εἴρηκεν· ἔτι πρὸς τὰ δεδηλωμένα τείνει περὶ τῆς εἰς τοὺς ξένους αὐτῶν εὐεργεσίας· τὸ δὲ σαφὲς οὕτως ἔχει· θεσμὸς δέ τις καὶ δικαία κρίσις τῶν θεῶν καὶ ταύτην τὴν τῇ θαλάττῃ περιτετειχισμένην Αἴγιναν τοῖς πανταχόθεν ἐπιφοιτῶσι ξένοις βάθρον ὥςπερ καὶ ἔρεισμα θεῖον ἐνομοθέτησεν. — Τεθμὸς δέ τις ἀθανάτων.] Ἤγουν συνθήκη δέ τις, βουλὴ τῶν θεῶν, καὶ ταύτην τὴν χώραν τὴν ἁλιερκέα, ἤτοι τὴν θαλάσσῃ περιειλημμένην, παντοδαποῖς ξένοις, ἤγουν ἀπὸ παντὸς τόπου ἀφικνουμένοις, ὑπέστησε κίονα δαιμονίαν, ἤτοι θείαν ἢ ὀλβίαν, τουτέστιν ὑποκειμένην ἐποίησεν εἰς ἀνάπαυσιν καὶ ἀσφάλειαν παντοδαπῶν ξένων ὡςπερεί τινα κίονα ὀλβίαν.

34. Ἁλιερκέα.] Ἀπὸ τῆς ἅλς ἁλὸς, καὶ τοῦ ἕρκος ὁ περίβολος καὶ τὸ τεῖχος· θαλασσοτείχιστον.

36. Κίονα δαιμονίαν.] Καταφύγιον εὐτυχές.

37. Ὁ δ' ἐπαντέλλων χρόνος μὴ κάμοι.] Μήποτε οὖν ἐν παντὶ τῷ ἐπιόντι χρόνῳ λίποι τὸ τοιοῦτο μηδὲ κάμοι αὐτὸς ὁ χρόνος τοῦτο πράττων· ἔστι δὲ τοῦτο μέσον παρεμβληθὲν, ἐπεὶ ἡ ἀκολουθία· κίονα δαιμονίαν Δωριεῖ λαῷ, καὶ τὰ ἑξῆς, ἵν' ᾖ· τὴν Αἴγιναν τὴν χώραν, ἥτις ἐστὶ κίων τῶν ξένων, ἡ κρίσις τῶν θεῶν ὑπέστησεν ὑπὸ τοῦ Δωριέως λαοῦ βασιλευομένην μετὰ τὸν Αἰακόν· ὁ δὲ ἐπιὼν χρόνος μὴ κάμοι διαφυλάσσων αὐτοὺς ἐν φιλοξενίᾳ. — Ὁ δ' ἐπαντέλλων χρόνος.] Ὁ δὲ ἐπερχόμενος χρόνος τοῦτο ἐνεργῶν εἴθε μὴ ἀτονήσειε· διὰ μέσου τοῦτο· τὸ δὲ ἑξῆς· παντοδαποῖς ὑπέστησε ξένοις κίονα δαιμονίαν Δωριεῖ λαῷ ταμιευομένην ἐξ Αἰακοῦ, τουτέστιν ὑπὸ τῶν Ἀργείων, οἱ γὰρ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους, διοικουμένην μετὰ τὸν Αἰακόν· ἐκ Διὸς καὶ Αἰγίνης ἡρωΐδος Αἰακὸς, ἀφ' ἧς παρωνομάσθη ἡ πόλις ἡ Αἴγινα.

39. Δωριεῖ λαῷ.] Ὅτι οἱ μετὰ τὴν Αἰακοῦ βασιλείαν Δωριεῖς τῆς Αἰγίνης ἐκράτησαν. Αἰακοῦ γὰρ καὶ Ψαμάθης Νηρηΐδος Φῶκος ἐγένετο· τοῦτον ὡς νόθον ἀδελφὸν ἀπέκτειναν Πηλεὺς καὶ Τελαμὼν καὶ φεύγει ὁ μὲν Πηλεὺς εἰς Θετταλίαν, τὴν καλουμένην Φθίαν, Τελαμὼν δὲ εἰς τὴν Σαλαμῖνα· τελευτήσαντος οὖν τοῦ Αἰακοῦ ἔρημος ἡ νῆσος περιελείπετο βασιλέως·

НБ ОНУ імені І.І.Мечникова

ἐν τούτοις Τριάκων τις Ἀργεῖος συλλέξας πλῆθος Ἀργείων, οἱ δὲ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους, εἰς τὴν Αἴγιναν ἦλθον καὶ κατῴκησαν, καὶ οὕτως ἔδοξε μετὰ τὸν Αἰακὸν ἀποταμιεύεσθαι τοῖς Δωριεῦσιν ἡ τῆς Αἰγίνης ἀρχή.

41. Τὸν παῖς ὁ Λατοῦς.] Ὄντινα Αἰακὸν ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν μέλλοντες τὸν στέφανον καὶ τὸ τεῖχος τῆς Ἰλίου κατασκευάζειν συνεργὸν εἵλοντο καὶ συλλήπτορα· τούτους γὰρ κατεδίκασεν ὁ Ζεὺς πρὸς τὴν τειχοποιΐαν ὑπηρετῆσαι τῷ Λαομέδοντι, ἐπειδὴ ἐπεβούλευσαν αὐτῷ εἰς τὴν βασιλείαν· ἠθέλησαν γὰρ αὐτὸν μεταστῆσαι, ὡς καὶ Ὅμηρος μνημονεύει· (Ἰλιάδ. α, 399.)

Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων,

οὐχ ὡς ἔνιοι, καὶ Παλλὰς Ἀθήνη· ἰδίως φησὶν ὁ Δίδυμος καὶ τούτοις χρῆσθαι τὸν Πινδαρον· τὸν γὰρ Ποσειδῶνα καὶ Ἀπόλλωνα εἰς τὴν τοῦ τείχους κατασκευὴν φησι τὸν Αἰακὸν προσλαβεῖν, ἵνα διὰ τούτου τοῦ μέσους τοῦ ὑπὸ Αἰακοῦ οἰκοδομηθέντος ἀλώσιμος γένηται ἡ Ἴλιος· παρ' οὐδενὶ δὲ πρεσβυτέρῳ Πινδάρου ἡ ἱστορία· ὁ δὲ Εὐφορίων φησίν·

Ἦ γὰρ ὃ Φοίβός τε Ποσειδάων τ' ἐκάλεσσαν
Αἰακὸν, οὐκ ἀβουλήτοι κρηδέμνα δέμοντες.

— Ὃν παῖς ὁ Λατοῦς.] Ὄντινα, ἤγουν τὸν Αἰακὸν, ὁ υἱὸς τῆς Λατοῦς ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν ὁ μεγάλην βασιλεύων βασιλείαν μέλλοντες ἐπιτεύξειν, ἀντὶ τοῦ ἐντεύξειν, ἤγουν κατασκευάσειν στέφανον καὶ περίβολον, περιτείχισμα τῇ Ἰλίῳ, ἐκάλεσαν συνεργὸν ἕνεκα τοῦ τείχους, ὅτι ἦν μεμοιραμένον κινουμένων πολέμων ἐν μάχαις πορθητικαῖς τῶν πόλεων ἀναπνεῦσαι αὐτὴν, ἤγουν τὴν πόλιν, λάθρον καπνὸν, ἀντὶ τοῦ ἀναπνοὴν ἀναπέμψαι καπνοῦ σφοδροῦ· γλαυκοὶ δὲ δράκοντες τρεῖς, ἤγουν στιλπνοὶ τοὺς ὀφθαλμοὺς καὶ τῇ ἐνοράσει ἐλφοβοῦντες, ἐπεὶ ἐλπίσθη νέαν, ἤτοι παραχρῆμα, τὸν πύργον, ἤγουν τὸ τεῖχος ἐξαλλόμενοι, ἀντὶ τοῦ, εἰσπηδῆσαι πειρώμενοι, οἱ δὺο μὲν κατέπεσον, αὐτόθι δὲ ἀτυζόμενοι, ἤγουν ταραττόμενοι, ἐν ἄτῃ γενόμενοι, τὰς πνοὰς ἀπέβαλον, ἤτοι ἀπέπνευσαν, ὁ εἷς δὲ εἰσῆλθε βοήσας, ἀντὶ τοῦ συρίξας — Εὐρυμέδων.] Μεγάλως βασιλεύων.

42. Ἐπὶ στέφανον τεῦξαι.] Μεταφορικῶς τὸ τεῖχος· στέφανοι γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη· καὶ Ἀνακρέων·

Νῦν δ' ἀπὸ μὲν πόλεως στέφανος ὄλωλεν. (ᾠδὴ 32.)

44. Ἦν ὅτι νιν πεπρωμένον.] Αὐτὸ τὸ τεῖχος· οὗτοι δὲ συνεργὸν εἵλοντο τὸν Αἰακὸν, ἐπειδὴ ἦν αὐτῷ πεπρωμένον,

τῷ τείχει, πολέμου γενομένου πυρὶ καταφλεχθῆναι πολλῷ· οὐ γὰρ ἦν δυνατὸν ἁλῶναι αὐτὸ, εἰ τὸ πᾶν ἔργον ἦν τῶν θεῶν. Ἄλλως· ὅτι πέπρωτο δορυάλωτον γενομένην τὴν πόλιν ταύτην ἐμπυρισθῆναι, διὰ τοῦτό φασι τὸν Ποσειδῶνα καὶ τὸν Ἀπόλλωνα εἰς τὴν τῆς Ἰλίου τείχησιν προςλαβεῖν τὸν Αἰακὸν, διὰ τοῦ ὑπ' αὐτοῦ οἰκοδομηθέντος ἵνα ἁλώσιμος γένηται, καὶ μὴ διὰ τοῦ ὑπὸ τῶν θεῶν.

48. Γλαυκοί.] Φοβερόφθαλμοι. — Γλαυκοὶ δὲ δράκοντες.] Ἀντὶ τοῦ φοβεροί· ὁ δὲ νοῦς· ἐπειδὴ οὖν ποτε ἐκτίσθη τὸ τεῖχος, εὐθέως καὶ παραχρῆμα τρεῖς δράκοντες ἐφάνησαν, ὧν οἱ μὲν δύο βουλόμενοι εἰςελθεῖν διὰ τοῦ πύργου εἰς τὸ ἐντὸς κατέπεσον καὶ ἀπέθανον, ὁ δὲ εἷς δράκων εἰςῆλθε μετὰ συριγμοῦ καὶ βοῆς· δηλοῖ δὲ τὴν ἅλωσιν τὴν τότε γενομένην· οἱ γὰρ ἐπιόντες πολέμιοι εἰώθησαν ἐφορμᾶν ἅμα βοῇ· ἀκαταλλήλως εἶπεν· ἔδει γὰρ εἰπεῖν· γλαυκῶν δὲ δρακόντων εἰςαλλομένων τριῶν οἱ δύο μὲν κατέπεσον, ὁ δὲ εἷς ἀνόρουσε· τὸ δὲ σχῆμα Ὁμηρικόν. (Ὀδ. μ, 73.)

Οἱ δύο μὲν σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει.

— Κτίσθη νέον.] Οἱ μὲν νεωστὶ κατασκευασθὲν, οἱ δὲ ἀντὶ τοῦ εὐθύς.

49. Ἐςαλόμενοί γε τρεῖς.] Κτισθέντος, φησὶ, τοῦ τείχους τρεῖς ἐςεπήδησαν δράκοντες, ὧν τοὺς δύο ἀποθανεῖν, τὸν δὲ ἕτερον ἕνα περιγενέσθαι καὶ εἰςελθεῖν ἐπειδὴ τρεῖς οἱ κατασκευάζοντες· οἱ μὲν οὖν τῶν θεῶν ἀπέθανον, ὁ δὲ τοῦ Αἰακοῦ εἰςῆλθεν.

51. Ἀτυζόμενοι.] Ἢ ταραττόμενοι· Ὅμηρος, (Ἰλ. ζ, 468.) Πατρὸς φίλου ὄψιν ἀτυχθείς· ἢ περὶ τὴν ἄτην, τουτέστιν ἐν ἄτῃ ἐγένοντο· ἀπέθανον γάρ...

52. Εἷς δ' ἐςόρουσεν.] Δύο μὲν δράκοντας, Ἀχιλλέα καὶ Αἴαντα· ὁ δὲ περιγενόμενος Ἀχιλλέως υἱός· καθ' ὃ μέρος ᾠκοδόμει ὁ Αἰακὸς, εἰςῆλθεν ὁ δράκων· δι' οὗ οἱ Ἕλληνες εἰςῆλθον, διὰ τοῦ Δουρείου λυσάντων αὐτῶν τῶν Τρώων. — Ἐςόρουσε.] Ἔσω ὥρμησεν.

53. Ἔννεπε δ' ἀντίον.] Ἔννεπε δὲ, ἀντὶ τοῦ εἶπεν εὐθὺς ὁ Ἀπόλλων ὁρμαίνων, ἤγουν διαλογιζόμενος, σκοπῶν τέρας ἐναντίον, τουτέστιν ἐχθρὸν, οὐ δεξιόν· ἡ Πέργαμος, ἤγουν ἡ ἐξοχὴ τοῦ τείχους, ὦ ἥρως Αἰακὲ, ἐπὶ ταῖς σαῖς ἐργασίαις, ἤτοι κατασκευαῖς, τῆς χειρὸς, ἤγουν διὰ τῆς σῆς χειρὸς, ἁλίσκεται, ἤγουν ἁλώσιμος ἔσται. — Ἀντίον ὁρμαίνων.] Φροντίζων καὶ τὴν διάνοιαν ἐφιστάς· ὁ δὲ λόγος·

НБ ОНУ імені І.І. Мечникова

οὐχ ὑπερέθετο στοχάζεσθαι, φησίν, ἀλλ' ἐξεναντίας ὁρῶν ἔτι εἶπεν· ὡς δὲ συνέβαλε τὸ σημεῖον, καὶ οἰκείως ἐνέπεσον προσβαλοῦντες κατὰ τὰ ἡμέτερα τείχη ἀπολοῦνται, καθάπερ οἱ δύο δράκοντες· ὁ δὲ κατὰ τὸ Αἰακοῦ τείχισμα ἐλθὼν ὀξέως κρατήσει, τουτέστιν οἱ προσβάλοντες κατ' ἐκεῖνο τὸ μέρος· ὥστε ἀπὸ τῶν τριῶν, ἐπειδὴ τὸ τρεῖς ἀρχὴ πλήθους ἐστί, τὸ πλῆθος τῶν Ἀχαιῶν εἰς σημειώσειν ἦχθαι· τινὲς δὲ εἰς τὸ ἐγγὺς τὸ αἴνιγμα ἔτι θέλουσιν ὄφειν· ἐπειδὴ γὰρ οἱ δράκοντες εἰσι τρεῖς, ὧν οἱ δύο ἀπέθανον, ὁ δὲ εἷς εἰσῆλθεν, ἀνάγεται πρὸς τοὺς ἐξ Αἰακοῦ, λέγεται δὲ Τελαμὼν καὶ Πηλεὺς δύο ἀδελφοὶ δύο τούτων παῖδας προσβάλουσι μὲν, ἀπολοῦνται δέ, Αἴας δηλονότι καὶ Ἀχιλλεύς· ὁ δὲ εἷς Νεοπτόλεμος, ὃς καὶ ἐντὸς τῆς πόλεως ἐγένετο, οὗτος κρατήσει τῆς πόλεως· ὥστε τὸ ἀνάλογον σώζεσθαι καὶ δράκοντι τῷ εἰσελθόντι καὶ σωθέντι. Ἄλλως. Ὀρμαίνων.] Διαλογιζόμενος, διανοούμενος· εἶπε δὲ ὁ Ἀπόλλων ἐναντίον καὶ ἀξιον θεασάμενος τὸ γεγονὸς τέρας.

55. Πέργαμος.] Ἡ τετειχισμένη. — Πέσγαμος ἀμφὶ τεαῖς.] Πέργαμος ἡ ἀκρόπολις. Ὅμηρος· (Ι, ε, 446.) Πεγάω ἐν ἱερῇ. αποστρέφει δὲ τὸν λόγον πρὸς Αἰακόν· ἡ πόλις δὲ, ὦ ἥρως Αἰακέ, τῶν Τρώων εὐάλωτος γενήσεται κατὰ τὴν ἐργασίαν τῶν σῶν χερῶν. ὡς ἐμοὶ τὸ σημεῖον τὸ γεγενημένον ἐκ τοῦ Διὸς δηλοῖ. Ἄλλως· κατὰ τὰς σὰς ἐργασίας ἡ Πέργαμος ἁλίσκεται, οὐκ ἀλώσιμος ἔσται ὅμοιον τῷ· (Ὀδ. λ, 115.) Ἵνα οἱ βίοτον κατέδουσιν, ἀντὶ τοῦ καταβρώσουσιν· οὐδέπω γὰρ παρῆσαν οἱ μνηστῆρες, ὅτ' ἐφαγιάζεν ὁ Ὀδυσσεύς· ἀλλ' ἀντὶ τοῦ κατεδοῦνται κατέδουσιν εἶπεν.

56. Ἁλίσκεται.] Χαλᾶται.

57. Φάσμα.] Φάσμα λέγει τὸ φάντασμα, τὸ σῆμα φέρηται παρὰ τὸ φαίνειν καὶ δηλοῦν. — Ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα.] Οὕτως ἐμοὶ λέγει, ἀντὶ τοῦ νοεῖν δίδωσι, τὸ πεμφθὲν φάσμα, ἤγουν ἡ πεμφθεῖσα ὄψις τοῦ Διὸς τοῦ υἱοῦ τοῦ Κρόνου τοῦ τῶν βαρυτύχων βροντῶν αἰτίου· οὐκ ἄτερ παίδων σέθεν, ἤγουν οὐκ ἔξω τῶν ἀπογόνων σου ἀλώσιμος ἔσται, ἀλλ' ἅμα τοῖς πρώτοις σοῖς ἀπογόνοις, ἤγουν τῷ Τελαμῶνι, ἄρξεται, τουτέστιν ἀρχὴν λήψεται τοῦ ἁλίσκεσθαι, καὶ τοῖς ὑπὸ σοῦ δηλονότι τεταρτοις, ἤγουν τῷ Νεοπτολέμῳ, ἁλώσεται δηλονότι.

60. Πρώτοισιν ἄρξεται καὶ τετράτοις.] Ἰδίως κατὰ τὴν φράσιν· οὐ τῷ αὐτῷ ἀριθμῷ κέχρηται· ὅτε μὲν λέγει

πρώτοις, οὐ συγκαταριθμεῖται Αἰακός· ὅτε δὲ λέγει τετάρτοις, συμπεριλαμβάνει καὶ τὸν Αἰακόν· πρῶτοι μὲν οὖν εἰσιν οἱ περὶ Πηλέα καὶ Τελαμῶνα, δεύτεροι δὲ Ἀχιλλεὺς καὶ Αἴας τούτων ὄντες υἱοί, τρίτος δὲ ὁ Νεοπτόλεμος· συγκαταριθμουμένου δὲ τοῦ Αἰακοῦ γίνεται τέταρτος στρατευόμενος· οἱ δὲ μεθ' Ἡρακλέος ἐπὶ τοῦ Λαομέδοντος Πηλεὺς κατὰ τὸν Πενθαρσον, κατὰ δὲ τοὺς ἄλλους μόνος Τελαμών, δεύτερος δὲ ποιοῦνται στρατείαν μετ' Ἀγαμέμνονος Ἀχιλλεὺς καὶ Αἴας, μετὰ δὲ ταῦτα Νεοπτόλεμος στρατεύσας αἱρεῖ τὴν Ἴλιον, τὸ σημαινόμενον οὖν ἐστι· πρώτοις τοῖς περὶ Πηλέα, τετάρτῳ δὲ τῷ Νεοπτολέμῳ, συγκαταριθμουμένου τοῦ Αἰακοῦ. Ἄλλως. Πρώτοις ἄρξεται καὶ τετράτοις.] Ἁλωθήσεται δὲ ἡ Τροία οὐ χωρὶς τῶν σῶν ἐκγόνων, ἀλλ' ἀρχὴν μὲν ἕξει τοῦ πορθεῖσθαι ἀπὸ τῶν σῶν παίδων, τῶν περὶ τὸν Πηλέα λέγει καὶ Τελαμῶνα· οὗτοι γὰρ συνεστράτευσαν Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον διὰ τοὺς Λαομέδοντος ἵππους ἁλωθήσεται δὲ ὑπὸ τῶν τετάρτων ἀπὸ σοῦ· ἔστι δὲ ὁ Πύρρος· ἅμα οὖν πρώτοις ἄρξεται καὶ τετάρτοις· πρῶτοι γάρ, ὡς προεῖπομεν, ἐπολέμησαν τοῖς Τρωσὶ συστρατεύσαντες Ἡρακλεῖ, ὡς καὶ Ὅμηρος μνημονεύει, καὶ τέταρτον Πύρρον λέγει τὸν καὶ Νεοπτόλεμον· τέταρτος γὰρ ἐξ Αἰακοῦ. Αἰακοῦ γὰρ Πηλεὺς οὗ Ἀχιλλεύς, οὗ Νεοπτόλεμος· τὸ τοίνυν τῶν ὀρακόντων σημεῖον πρὸς τοῦτο ἔχει τὴν ἀναφοράν· σὺν Ἡρακλεῖ δὲ ἐστράτευσε καὶ Πηλεύς, οὐ μόνος Τελαμών, ὡς καὶ Εὐριπίδης φησὶν ἐν Ἀνδρομάχῃ (στ. 798.) πρώτοις οὖν τοῖς περὶ Πηλέα πολεμήσασι, τετάρτοις Νεοπτολέμῳ, συναριθμουμένου καὶ Αἰακοῦ, εἰ καὶ μὴ ἐμαχέσατο.

61. Ὡς ἄρα Θέσσαρα εἶπας.] Ταῦτα τὰ περὶ τῶν ὀρακόντων σημεῖα σαφῶς διελύσας ὁ Ἀπόλλων εἰς τοὺς ἰδίους ἐστέλλετο κλήρους. — Ὡς ἄρα Θεὺς σάφα εἶπας.] Ὁ ἄρα ἀντὶ τοῦ· ὄντως δή ὁ Θεὸς ὁ Ἀπόλλων σαφῶς εἰπὼν εἰς τὸν Σκάνδον τὸν ποταμὸν, ἀπὸ τούτου δὲ τὴν Λυκίαν θέλει δηλοῦν, ἦκεν, τουτέστιν ἔσπευδεν ἐλαύνων τοὺς ἵππους δηλονότι, καὶ ἐκ τούτου εἰς τὰς Ἀμαζόνας τὰς καλὰς ἵππους χρωμένας, ἤτοι τὰς πολεμικὰς, καὶ ἀπὸ ἐκείνων εἰς τὸν Ἴστρον τὸν ποταμὸν, τουτέστιν εἰς τὴν Σκυθίαν· ὁ ὀρσοτριαίνης δὲ, ἦγουν ὁ Ποσειδῶν ὁ τὴν τρίαιναν φέρων, ἀποπέμπων τὸν Αἰακὸν δεῦρο, ἦγουν ὧδε, τουτέστιν εἰς τὴν Αἴγιναν, ἐν χρυσοῖς ἵπποις, ἐπέτεινι. τὸ

ταχὺ ἅρμα, ἤτοι ἐπέσπευδεν ἐπὶ τὸν Ἰσθμὸν τὸν περὶ τὴν Κόρινθον καὶ ἐπὶ τὴν δειράδα, ἥγουν τὴν ἐξοχὴν τῆς Κορίνθου, θεασόμενος τὴν δαῖτα, ἀντὶ τοῦ τὴν θυσίαν τὴν κλυτήν, ἤτοι τὴν εὐκλεᾶ, τὴν περιαδομένην, τὴν τελουμένην αὐτῷ, ἐκεῖ δηλονότι.

62. Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας.] Ἀπὸ κοινοῦ τὸ ἔσπευδεν, εἰς Ἀμαζόνας οὔσας παρὰ τῷ Θερμώδοντι ποταμῷ τῆς Παφλαγονίας, ἵν' ἔχῃ τὸ ἑξῆς οὕτω κατὰ τὸν τῆς χωρογραφίας λόγον· τρῶτον μὲν εἰς Λυκίαν ἔσπευδεν, ἔπειτα εἰς τὰς Ἀμαζόνας, εἶτα ἐκεῖθεν διέβαινεν εἰς Σκυθίαν καὶ τὸν Ἴστρον ποταμόν, λέγει δὲ τοὺς Ὑπερβορέους, παρεγένετο· καὶ τὰ μὲν πρῶτα χωρία τῆς Ἀσίας εἰσί, τὰ δὲ δεύτερα τῆς Εὐρώπης. Ἄλλως· Ξάνθον ἤπειγεν.] Ἐκ δὲ τούτου εἰς Λυκίαν· ἱερὰ γὰρ τῷ θεῷ. — Ξάνθον ἤπειγεν.] Ποταμὸς Λυκίας, ἀφ' οὗ δηλοῖ ὅτι εἰ Λυκίαν ἠπείγετο· ἤπειγε δὲ ἀντὶ τοῦ ἠπείγετο, ἐνεργητικὸν ἀντὶ παθητικοῦ.

63. Ἴστρον ἐλαύνων.] Εἰς Ὑπερβορέους, ἔνθα Ἴστρος τὰς πηγὰς ἔχει.

64. Ὀρσοτριαίνα.] Κλητικὴ ἀντὶ τῆς εὐθείας, ὡς καὶ παρ' Ὁμήρῳ. (Ἰλ. π, 33.) Ἱππότα Πηλεΐδη· ὁ δὲ νοῦς· ὁ δὲ ὀρσοτριαίνης Ποσειδῶν ἐπὶ τοῦ Ἰσθμοῦ τοῦ παραθαλασσίου, ὅς ἐστι πλησίον τῆς Κορίνθου, ἠπείγετο θεάσασθαι .... τὴν τὰς θυσίας αὐτῷ καὶ τὴν τὰς τιμὰς ἐνδόξως τελοῦσαν· ὁ μὲν οὖν Ἀπόλλων, φησίν, εἰς τὸν Ξάνθον καὶ εἰς τὸν Ἴστρον ἠπείγετο· ὁ δὲ Ποσειδῶν εἰς Γοθμὸν ἤλαυνε χωριζόμενος ἐκ τῆς Τροίας καὶ ἀποπέμπων τὸν Αἰακὸν δεῦρο, τουτέστιν εἰς Αἴγιναν· θηλυκῶς τὸν Ἰσθμόν, ὡς ἐν ἄλλῳ. — Ἐπ' Ἰσθμῷ ποντίᾳ·] Ἐπίφορός ἐστι πρὸς τὰ θηλυκά, ὡς τὸ, Ἐν αἰνῇ Ταρτάρῳ, ὡς καὶ νῦν τῇ Ἰσθμῷ· τὸ δὲ Ἅρμα θοὸν τάνυεν, εἰς ὄρόμον παρώξυνεν. Ὅμηρος· (Ἰλιάδ. π, 375.) Τανύοντο δὲ μώνυχες ἵπποι. Τάνυεν· ἀπὸ τοῦ παρακολουθοῦντος τοῦ ἤλαυνεν· ἐτανύοντο δὲ μώνυχες ἵπποι· ἐὰν γὰρ τρέχωσι, τείνονται.

66. Ἀποπέμπων Αἰακὸν δεῦρο.] Εἰς τοῦτον τὸν τόπον ὑπόκειται γὰρ τὸ ἐγκώμιον ἐν Αἰγίνῃ· ἀπὸ τοῦ χοροῦ δὲ ὁ λόγος.

68. Κορίνθου δειράδα.] Ἐν γὰρ τῇ Κορίνθῳ τιμᾶται ὁ Ποσειδῶν· δειράδα δὲ κυρίως τὸν τράχηλον, καταχρηστικῶς δὲ πάντα τὰ ἄλλα· ὁ δὲ Ἰσθμὸς στενοῦται ὡς ἐπὶ σώματι τράχηλος.

69. Δαῖτα κλυτάν.] Εὐωχίαν ἔνδοξον.

70. Τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσεται νῦν.] Διά-

φοροι τῶν παλαιῶν ἐξηγήσεις περὶ τοῦτο γεγόναστι τὸ ῥητόν· οἱ μὲν γὰρ οὕτως· ἐπειδὴ, φασὶ, διεχώρησε τοὺς Θεοὺς καὶ ἕκαστον ἐπὶ τοὺς ἀρεσκομένους ἦγαγε τόπους, οἰκείως ἐπάγει τὸ κῶλον· ὅτι ἴσως οὐδὲν τερπνόν ἐστι τοῖς πᾶσιν, οὔτε μὴν ἀνθρώποις οὔτε Θεοῖς· οἱ δὲ οὕτως· ἐπειδὴ καινοτέρῳ τῷ τρόπῳ τῶν ἐγκωμίων ἐπιβάλλει τρεῖς ὕμας καθ' ἕνα ἐπινίκιον ἐγκωμιάσας, φασὶ τὸν Πίνδαρον λέγειν ὑπεραπολογούμενον τοῦ ἐγχειρήματος ταῦτα· οὐδὲν ἴσως τερπνόν ἐστι τοῖς πᾶσιν· εἰ γὰρ ἀηδὲς τοῦτο τοῖς ἄλλοις ὀκεῖ, ἀλλ' οὖν ἐμοὶ προσφιλές. ὡς Ὅμηρος· (Ὀδυσσ. ξ, 228.)

Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.

Ἄλλως· οὐχ ὁμοίως ἐπὶ τοῖς αὐτοῖς τέρπονται ἅπαντες· ἄλλος γὰρ ἄλλο προκρίνει· οὐδὲν δὲ τοῦ νικᾶν τερπνότερον παρὰ τοῖς ἀνθρώποις· οἷον, οὐ πάντες ἐπὶ τοῖς αὐτοῖς χαίρουσιν οὐδὲ τέρπονται· τάχα γὰρ ἂν ὑπό τινων φθονηθείην, εἰ παραθὰς τὸν ὕμνον Μελησίαν ἐπαινέσω· πράξω δὲ ὅμως τὸ τοιοῦτον, εἰ καὶ μὴ πᾶσι χαρίζομαι. — Τερπνὸν δ' ἀνθρώποις.] Τουτέστιν ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν οὐδὲν ἔσται, ἀντὶ τοῦ ἔστιν, ἐν ἴσῃ μοίρᾳ τατταμένον, πᾶσι ὁηλονότι· ἤγουν οὐδέν ἐστιν ἡδὺ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐφ' ᾧ πάντες ἐπίσης τερφθήσονται· διὸ οὐδὲ τοῖς Θεοῖς ὁηλονότι οἱ αὐτοὶ τόποι ἀρέσκουσιν. — Τερπνὸν δ' ἐν ἀνθρώποις.] Προκατάστασίς ἐστιν οὗ μέλλει εἰπεῖν περὶ τοῦ Μελησίου, ὃς ἦν ἀλειπτὴς Ἀλκιμέδαντος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους· ἐνίκησε δὲ οὗτος ὁ Μελησίας νέος ὢν ἐν τῇ Ὀλυμπίᾳ· βούλεται οὖν Πίνδαρος ταύτην τὴν νίκην εἰπεῖν νῦν, καὶ ἐπειδὴ τὸ παιδικῆς νίκης μεμνῆσθαι μέμψιν ἂν αὐτῷ παρὰ τῶν ἀκουόντων ἤγαγεν, ὡς ἤδη πρεσβυτέρου ὄντος τοῦ Μελησίου, φησίν· Εἰ δὲ ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ δὲ ἐγὼ ἀνέδραμον ἐν τῷ ὕμνῳ κῦδος καὶ δόξαν τῷ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ ἐπαινέσαιμι αὐτὸν, ὅτι ἀγένειος ὢν ἐν Ὀλυμπίᾳ πάλαι ἐνίκησε, μὴ βαλέτω με ὁ φθόνος τραχεῖ λίθῳ, ἤγουν μηδεὶς διὰ φθόνον κακῶς ἀγορευέτω με· ἐρέω γὰρ καὶ λέξω ἐν τῇ Νεμέᾳ ταύτην τὴν χάριν, ἤγουν ἣν ἐν τῇ πάλῃ νίκην ἔσχεν ὁμῶς καὶ ὁμοίως, ἤτοι ἀγένειος ὤν.

71. Εἰ δ' ἐγὼ Μελησίᾳ.] Εἰ οὖν καὶ αὐτὸς τῷ Μελησίᾳ τὸν ὕμνον ἁρμόζων ἐπὶ τὴν δόξαν αὐτοῦ ἀνέδραμον, ἣν ἔσχεν ἀγωνιζόμενος ἐξ ἀγενείων, μηδείς με τοῦ φθόνου τῷ λίθῳ ἀκοντιζέτω, ἀντὶ τοῦ μηδείς με διὰ βασκανίαν κακῶς

ἀγορευέτω. Μελησίας δὲ ἀπὸ ἀθλητοῦ νῦν ἀλείπτης τοῦ Ἀλκιμέδοντος· ἢ οὕτως· εἰ δὲ ἐκ τῶν ὕμνων τοῦ Ἀλκιμέδοντος ἐπὶ τὸ τοῦ Μελησίου κῦδος ἀνέδραμον, ὃ ἔσχεν ἐξ ἀγενείων, μηδείς μοι φθονείτω· ἐρῶ γὰρ καὶ φήσω αὐτὸν ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν ἐσχηκέναι χάριν καὶ νίκην· ταύτην δὲ εἴποιμι ἂν, ἣν μετὰ ταῦτα εἰς τὴν τῶν ἀνδρῶν μάχην ἐκ τοῦ παγκρατίου ἔσχεν. Ἄλλως· ὡς τοῦ Μελησίου προηθληκότος, καὶ τανῦν ἀλείφοντος καὶ διδάσκοντος τὸν Ἀλκιμέδοντα· ὥστε οὐ τῷ Μελησίᾳ γράφεται ὁ ἐπίνικος, ἀλλὰ τῷ Ἀλκιμέδοντι· ὁ οὖν εἰδὼς, φησὶ, ῥαδίως διδάσκει, οὐχ ὁ ἀθλῶν. Ἄλλως· εἰ δ' ἐγὼ, φησὶ, τὸ γενόμενον τῷ Μελησίᾳ ἐκ τῶν ἀγενείων κῦδος ἀνέδραμον τῷ ὕμνῳ τοῦ Ἀλκιμέδοντος ἀφέμενος, οἷον παραβὰς ἦλθον ἐπ' αὐτόν· ἀνέδραμον δὲ νῦν ἔφη διὰ τὸ προγενεστέραν εἶναι τὴν τοῦ Μελησίου νίκην τῆς ἐνεστώσης· ἔνιοι δὲ τὸ ἀνέδραμον ἀκούουσιν ἀντὶ τοῦ ἀναδραμοῦμαι, οἱονεὶ τὸν ἀθλητὴν καταλιπὼν ἐπὶ τὸν ἀλείπτην ἐλεύσομαι καὶ ὑμνήσω· μηδεὶς δέ με μεμψάσθω. Ὅμηρος· Ὁ ξεῖνος εἴπερ μάλα μηνίει (Ὀδ. ρ, 14) — Εἰ δ' ἐγὼ Μελησίᾳ.] Εἰ δὲ ἐγὼ διὰ τοῦ ὕμνου εἰς τὸ κλέος ἀνατρέχω τοῦ Μελησίου τὸ ἐξ ἀγενείων, ἤτοι τὸ ἐκ παίδων αὐτῷ γεγενημένον, μὴ βαλέτω με φθόνος λίθῳ σκληρῷ, ἀντὶ τοῦ διασυρμῷ ὀνειδιστικῷ, βαρεῖ· καὶ ἐν τῇ Νεμέᾳ γὰρ ὁμοίως ἐρέω, ἀντὶ τοῦ λέγω, ταύτην τὴν χάριν, τουτέστι τὴν τιμὴν, τὴν νίκην, ὑπάρξαι δηλονότι αὐτῷ· τὴν δὲ τῶν ἀνδρῶν μάχην, ἀντὶ τοῦ τὴν δὲ νίκην τοῦ ἀγῶνος, ὃν ἠγωνίσατο ἐν ἀνδρὸς ἡλικίᾳ, ἔπειτα, ἤγουν μετὰ ταῦτα, λέγω ὑπάρξαι αὐτῷ ἐν παγκρατίῳ.

73. Μὴ βαλέτω με.] Μηδείς μοι φθονείτω, εἰ εἰς τὸ γεγενημένον τῷ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον τῷ ὕμνῳ, ἀποσχόμενος τοῦ Ἀλκιμέδοντος. — Βαλέτω.] Ὑβρισάτω.

74. Καὶ Νεμέᾳ γὰρ ἕως τοῦ ἐκ παγκρατίου.] Ταύτην δὲ τὴν μάχην καὶ τὴν νίκην ἐπὶ τῶν ἀγενείων καὶ ἐν ἀνδράσιν ἔσχεν· ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν χάριν ἔσχε νίκης ἀγενείων κἀκεῖ παγκρατίου.

75. Ἐρέω ταύτην χάριν.] Τὴν γὰρ αὐτὴν χάριν ὁμοίως ἐρῶ καὶ ἐν Νεμέᾳ γεγενημένην αὐτῷ· καὶ γὰρ ἐκεῖ νενίκηκε τὴν τῶν ἀγενείων, ἐξ ἧς πάλιν Νεμεακὴν νίκην αὐτοῦ συνίστησι τοῦ ἀλείπτου τῶν νικηφόρων τούτων, εἰς οὓς τὸν ἐπίνικον ἔγραψεν· ἔστι δὲ καὶ αὐτὸς τῶν νενικηκότων τοὺς προεκκειμένους ἀγῶνας.

НБ ОНУ імені І.І. Мечникова

76. Τὰν δ' ἔπειτ' ἀνδρῶν.] Τὴν νίκην, ἐξ ἧς ἐνίκησεν ἀνδράσι παγκρατίῳ· τὸ ἔπειτα ἀντὶ τοῦ δή — Τὰν δ' ἔπειτα.] Καὶ ἄλλην δὲ μάχην ἀνδρῶν ἐκ παγκρατείου, ἐρέω ἀπὸ κοινοῦ· καὶ γὰρ ἀγένειος ὢν Μελησίας ἐν Ὀλυμπίᾳ καὶ ἐν Νεμέᾳ ἐκ πάλης ἐστεφανώθη, καὶ ἀνὴρ γενόμενος παγκράτιον ἐνίκησε· τὸ δὲ μάχην ἀνδρῶν λέγει, ἐπειδὴ ἀνὴρ ὢν παγκράτιον εἰς ἄνδρας ἠγωνίσατο.

77. Τὸ διδάξασθαι δέ τοι.] Τὸ διδάξασθαι δέ τοι ἐπιστάμενον βέλτιον καὶ εὔκολόν ἐστι, τὸ δὲ μὴ προμαθεῖν ἀπειρίαν ἔχει· τοιγαροῦν τῶν ἀπειράτων ἀνόητοί εἰσι καὶ κοῦφοι καὶ ὡς ἔτειχεν οἱ λογισμοὶ φερόμενοι· ταῦτα δέ φησιν, ἐπειδὴ διδάσκαλος ἐγένετο ἀλείφων τὸν Ἀλκιμέδοντα ὁ Μελησίας, καὶ ἀπὸ τούτου αὐτὸν θαυμάζει ὡς ἀπὸ πείρας καὶ ἐπιστήμης διδάσκοντα· ὡς τοῦ Μελησίου προηθληκότος, εἶτα νῦν ἀλείφοντος καὶ διδάσκοντος τὸν Ἀλκιμέδοντα, οὗ ἀλείπτης ἦν· διὸ καὶ ἔφη· Τὸ διδάξασθαι δέ τοι εἰδότι ῥαίτερον· ὁ γὰρ εἰδὼς ῥᾷον διδάσκει, οὐκ ἀγνοῶν. — Τὸ διδάξασθαι δέ τοι, ἀντὶ τοῦ τὸ διδάξαι τῷ εἰδότι, ἤγουν τῷ ἐμπείρῳ, τῷ ἐπισταμένῳ, ἐστὶ ῥαίτερον, ἤτοι ῥᾷον ἀντὶ τοῦ ῥάδιον, ἤτοι εὔκολον· καὶ ὁ Μελησίας δηλονότι εἰ μὴ αὐτὸς ἦν ἔμπειρος ἀθλητής, οὐκ ἂν ἄλλους ἀλείφων ἐποίει νικᾷν· τὸ δὲ μὴ προμαθεῖν ἄγνωμον, ἤγουν ἄπειρον καὶ ἀνεπιτήδειον εἰς διδασκαλίας ἑτέρων· τῷ εἰδότι εἰπὼν εὔκολον εἶναι τὸ διδάξαι ὤφειλεν ἐπαγαγεῖν· τῷ δὲ μὴ εἰδότι οὐκ εὔκολον· ὁ δὲ ἐπὶ τὸ πρᾶγμα μετατίθησι τὸν λόγον καί φησι τὸ μὴ προμαθεῖν δὲ ἄπειρον, ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ὁ δὲ μὴ προμαθὼν ἄπειρος τούτου δηλονότι, ἤγουν τοῦ διδάξαι· κουφότεραι γὰρ, ἀντὶ τοῦ κοῦφαι, ἤγουν ἐλαφραί, ἀμαθεῖς αἱ φρένες τῶν ἀπειράτων, ἤτοι τῶν μὴ πεπειραμένων, τῶν μὴ προμαθόντων. — Τὸ διδάξασθαι δέ.] Ἤγουν ὁ προαθλήσας, οὗτος εἰδὼς τὴν μάχην ὡς δεῖ μεταχειρίζεσθαι, κάλλιστος ἂν ἀλείπτης τῶν ἄλλων γένοιτο· τοιοῦτος δὲ ὁ Μελησίας· ὁ γάρ τι ποιήσας οὗτος καὶ διδάξαι αὐτὸ ἄριστος.

78. Ἄγνωμον δέ.] Ἀνόητον δὲ διδάσκειν ἄλλους, ὃ μὴ αὐτὸς εἶδεν· οὕτως ὁ μὴ προμαθών. Ἄλλως· οὐκ ἂν εἴη ἐπιγνώμων οὐδὲ τεχνίτης ὁ μὴ προμαθών. — Εἰδότι.] Γινώσκοντι.

80. Κουφότεραι.] Ἐλαφραί, κεναὶ τῶν ἀγαθῶν αἱ διάνοιαι. — Ἀπειράτων φρένες.] Γνώσεις ἀπαιδεύτων.

НБ ОНУ імені І.І.Мечникова

81. Κεῖνα δὲ κεῖνος ἂν εἴποι.] Εἴποι δ' ἂν ἀκριβῶς ἐκεῖνα τὰ ἔργα καὶ ἐμπειρότερος ἐκεῖνος ὁ μεμαθηκὼς καὶ τῇ πείρᾳ τῆς διδασκαλίας ἀκριβώσας τὰ τῶν ἀγωνισμάτων ἔργα, καὶ ποῖος τρόπος εἰς εὐδοξίαν ἄνδρα ὁδηγῆσαι δύναται ἐκ τῶν ἱερῶν ἀγώνων πολειὴν βουλόμενον δόξαν ἀποφέρεσθαι. — Κεῖνα δ' ἐκεῖνος ἂν εἴποι ἔργα.] Ἤτοι ὁ πεπειραμένος περαίτερον, ἀντὶ τοῦ περαιτέρω, ἤγουν ἐπὶ πλέον τῶν ἄλλων λέγοι, τίς τρόπος ἢ τίς ὁδὸς, τίς μηχανὴ προβιβάσει ἄνδρα, τουτέστιν αὐξήσει, δοξάσει ἐκ τῶν ἱερῶν ἀγώνων μέλλοντα φέρειν, ἀντὶ τοῦ ἀποφέρεσθαι δόξαν πολειοτάτην, τουτέστιν ὑπερποθουμένην. — Εἴποι.] Διδάξοι. — Περαίτερον.] Διδασκαλικώτερον. — Προβάσει.] Παιδεύσει. — Γέρας.] Δόξα. — Νῦν μὲν αὐτῷ γέρας.] Τῷ Μελησίᾳ ἐπὶ τοίνυν τοῦ παρόντος δόξα αὐτῷ ἐστιν ὁ Ἀλκιμέδων τριακοστὸς νικητὴς ἀναδειχθείς· λέγεται γὰρ σὺν τούτῳ ἀλεῖψαι τριάκοντα μαθητάς. Ἄλλως· νῦν τῷ ἀλείπτῃ Μελησίᾳ γέρας ὁ Ἀλκιμέδων περιεποίησε· τὸ γὰρ περιεποίησεν ἡ ἤνεγκεν ἔξωθεν προσληπτέον· οὐ δεκτέον δὲ παντὸς, ὅτι ὁ Ἀλκιμέδων τριάκοντα νίκας ἔσχεν, ἀλλ' ὁ Μελησίας γυμνάσας ἀθλητὰς τριάκοντα νίκας αὐτῶν ἐδέξατο· ἦν δὲ ὁ τριακοστὸς Ἀλκιμέδων· δύναται δὲ τὸ ἐὼν μετοχὴ ἀντὶ ῥήματος ἐλεῖν. — Νῦν μὲν αὐτῷ γέρας.] Νυν μὲν τιμή ἐστιν αὐτῷ, τῷ Μελησίᾳ δηλονότι τῷ ἀλείπτῃ, ὁ Ἀλκιμέδων νίκην ἐνὸν ὑπὸ ἀλείπτῃ τούτῳ μετὰ ἐννέα καὶ εἴκοσιν ἄλλους ὑπὸ τούτου γεγυμνασμένους· ὅστις, ἤγουν ὁ Ἀλκιμέδων, σὺν εὐτυχίᾳ Θεοῦ, ἠνορίας δὲ, ἤγουν ἀνδρίας οὐκ ἀμπλακών, ἀντὶ τοῦ οὐκ ἄμοιρος γεγονὼς, οὐκ ἀποτυχὼν, ἐν τέτρασι μέλεσι παίδων, ἀντὶ τοῦ ἐν μέλεσι τεττάρων παίδων, περιῤῥαστικῶς ἀντὶ τοῦ ἐν τέτρασι παισὶν, ἀπεθήλατο, ἀντὶ τοῦ ἐπέθηκε νόστον, ἐπαναστροφὴν εἰς τὸν οἶκον αὐτῶν, ἔχθιστον, ἤγουν πάνυ μεμισημένην, καὶ ἀτιμωτέραν γλῶσσαν, ἀντὶ τοῦ ἄτιμον ἤτοι ἀπῤῥησίαστον, καὶ οἶμον, ἤτοι ὁδὸν ἐπέθηκεν αὐτοῖς ἐπίκυρον, τουτέστι λαθραίαν καὶ ἀπορεύουσαν τὰς ὄψεις τῶν ἀνθρώπων διὰ τὴν αἰσχύνην τῆς ἥττης, τῷ πατρὶ δὲ τοῦ πατρὸς αὐτοῦ ἤγουν τῷ πάππῳ αὐτοῦ ἐνέβαλε μένος, τουτέστιν ἰσχὺν τοῦ γήρως ἀντίπαλον, ἀντὶ τοῦ ἐναντίαν ἤγουν καταπονοῦμενον αὐτὸν ὑπὸ τοῦ γήρως ἀνέῤῥωσεν· δέον εἰπεῖν τεττάρων παίδων, τέτρασιν εἶπε πρὸς τὸ γυίοις, καὶ ἔστιν ὅμοιον τὸ, Τερπῆς χειρὸς ἐργασίαις.

88. Ὃς τύχα μὲν δαίμονος.] Ὅστις Ἀλκιμέδων τῆς τοῦ δαίμονος εὐτυχίας καὶ τῆς ἀνδρείας τῆς ἰδίας οὐ διαμαρτών, ἐν τέτρασι παίδων μέλεσιν ἐναποθέμενος τὴν ἑαυτοῦ ἰσχύν, τοῖς ἡττηθεῖσι τὴν ἐπὶ τὴν πατρίδα ἀνακομιδὴν ἐχθροτάτην εἶναι παρεσκεύασε καὶ τὴν γλῶτταν αὐτῶν τῆς παῤῥησίας ἀφεῖλετο καὶ τὸ βάδισμα κρύφιον καὶ ἀπαῤῥησίαστον πεποίηκε· τοιαῦτα γὰρ τὰ τῶν ἡττωμένων ἀτυχήματα. Ἄλλως· ὅστις τῆς τοῦ δαίμονος εὐτυχίας οὐχ ἁμαρτήσας, οὐκ ἀποτυχὼν δὲ οὐδὲ τῆς ἰδίας ἀνδρείας· ἐνίκησε γάρ.

90. Ἐν τέτρασι παίδων.] Τουτέστι τέσσαρας παῖδας ἐνίκησε καὶ ἐποίησεν οὐχ ἡδέως οἴκαδε ἀπονοστῆσαι, τῆς νίκης στερήσας, οἱονεὶ κακῶς ἀπέπεμψεν, ὡς τέσσαρας αὐτοῦ καταβεβληκότος· ἀπεθήκατο γοῦν εἰς τὰ γυῖα αὐτῶν, τῶν ἀγωνισαμένων αὐτῷ, τὴν ἰδίαν δύναμιν· τουτέστιν ἀπὸ τοῦ παρακολουθοῦντος, ἐνίκησεν αὐτούς· καὶ ἐποίησεν αὐτῶν τὸν νόστον ἔχθιστον· οἱ γὰρ νικηθέντες ὅταν οἴκαδε ἀπίωσιν, ἐν κατηφείᾳ εἰσίν· ἐχθρὰ οὖν αὐτοῖς ἡ ἀνακομιδή· οὐ γὰρ τὸν κατ' εὐχὴν νόστον ἔχουσιν· ἀλλ' ἀπειχθῆ. — Γυίοις.] Σώμασι.

91. Νόστον ἔχθιστον.] Ἀντὶ τοῦ φήμην κακὴν ἐποίησε παρ' αὐτοῖς· ἕκαστος γὰρ τῶν ὁρώντων ἐπὶ τῆς γλώττης, Οὗτός ἐστιν ὁ νενικηκώς, ἐπιρρεῖ· ἀτιμοτέραν γλῶτταν, ἀπαῤῥησίαστον· ἀτυμοτέραν γλῶτταν· οἱ γὰρ ἡττώμενοι καὶ σιωπῶσι καὶ λάθρα ἀναχωροῦσιν, ὡς ἀπαῤῥησίαστοι καὶ ἄγνωστοι τῇ πατρίδι· ἢ ὅτι οὐχ ὑμνοῦνται.

92. Καὶ ἐπίκρυφον οἶμον.] Οἱ γὰρ νενικημένοι οὐ φανερὰς ὁδοὺς ἀπίασιν, ἀλλ' ἐκτρεπόμενοι διὰ τὸ ἐπονείδιστον τῆς ἥττης· καὶ ἀλλαχοῦ. Νικώμενοι γὰρ ἄνδρες ἀγρυπία δεῖ ἐνται οὐ φίλων ἐναντίον ἐλθεῖν. — Ἐπίκρυφον οἶμον.] Ἤγουν ἐν σκότῳ πορείαν· ὁ γὰρ νικηθεὶς ἀτίμως τε πρὸς τὸν οἶκον χωρεῖ διὰ τὴν ἧτταν καὶ τοὺς ὁρῶντας αὐτὸν εἰς μυκτηρισμὸν ἄγει· διὰ τοῦτο ἐν νυκτὶ τὴν πορείαν ποιεῖται.

93. Πατρὶ δὲ πατρός.] Τῷ δὲ πάππῳ αὐτοῦ ἡ τῆς νίκης ἡδονὴ ἐνέβαλε δύναμιν τὴν τοῦ γήρως ἐναντίαν οὖσαν, οἱονεὶ ταῖς εὐρροσύναις καὶ ταῖς ἡδοναῖς ἀνανεάζειν πεποίηκε τὸν γεγηρακότα· ἡ χαρὰ· τῷ δὲ προπάτορι αὐτοῦ μένος ἐνέπνευσεν ἐναντίον τῷ γήρᾳ· τουτέστιν ἀντὶ γέροντος νέον αὐτὸν ἐποίησε καὶ εὔθυμον· καὶ Ὅμηρος. (Ὀδυσ. τ, 360. καὶ Ἡσιοδ. Ἔργ. 93.)

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

ἐκ τοῦ ἐναντίου· ἡ γὰρ εὐθυμία τοὺς γέροντας νεάζειν ποιεῖ.

94. Ἀντιπάλον.] Ἐναντίον· ὑπὸ γὰρ τοῦ γήρως κατα-βεβλημένος ὥςπερ ὑπὸ τῆς τοῦ παιδὸς νίκης ἰσχὺν ἔλαβε καὶ τῆς τοῦ γήρως ἐπιλέλησται ἀσθενείας — Ἐτυμολογεῖται τὸ παλὸς ἀπὸ τῶν κατὰ συζυγίαν κληρουμένων ἐν τοῖς ἀγῶσιν, ἐν τῷ παλαίειν ἢ παγκρατιάζειν.

95. Ἀΐδα τοι λάθεται.] Πᾶς γὰρ ἀνὴρ ἀρμόδια πράξας τῇ ἑαυτοῦ προαιρέσει καὶ καταθύμια ᾅδου τουτέστι θανάτου, λήθην λαμβάνει· ἢ πού γε τῶν ἁπλῶς καὶ κατὰ φύσιν ὀχλούντων οἱονεὶ τὸ φρόνημα· τοιαύτη γὰρ ἡ τῆς εὐπραξίας φαντασία τοῖς εὖ πράττουσιν· τουτέστιν ἀθάνατα φρονεῖ διὰ τὴν παρεστῶσαν εὐφροσύνην. — † Σύνταξις. Ἀΐδα τοι λάθεται ἄρμενα πράξας ἀνήρ] Εἰς κατασκευὴν τοῦ ἀνωτέρου τοῦτο γνωματεύεται· ἤγουν ὁ ἄνθρωπος ὁ πα-ῶν ἀρεστὰ τῇ ἑαυτοῦ γνώμῃ, ἤτοι εὐτυχήσας, τοῦ θανάτου ἐπιλανθάνεται, ἤγουν ἀνώτερος γίνεται τοῦ θανάτου, ἀνεπιστρόφως ἔχει αὐτοῦ τῇ εὐπραξίᾳ ἀναῤῥωνύμενος· βούλεται εἰπεῖν περὶ τῶν τοῦ Ἀλκιμέδοντος προγόνων, ὅτι καλλιστοι ἦσαν· λέγει οὖν· ὁ πράξας ἄρμενα καὶ ἁρμόδια ἑαυτῷ λήθεται καὶ ἐπιλανθάνεται παρὰ τῶν ἄλλων ἐν τῷ ᾅδᾳ· ἀλλ' ἐμὲ χρὴ καὶ πρέπει φράσαι καὶ εἰπεῖν τὸν νῦν ἐπίκλιτον καὶ ὕμνον τοῦ Ἀλκιμέδοντος, τὸν ἆθλον καὶ τὸν καρπὸν τῶν χειρῶν, ἤτοι τὴν νίκην, ἐγείροντα τοῖς Βλεψιάδαις μνημοσύνην καὶ ἐνθύμησιν αὐτῶν· τουτέστιν εἰ καὶ οἱ Βλεψιάδαι θανόντες οὐκ ἔρχονται εἰς μνήμην ἀνθρώποις, ὁποῖοί τινες ἦσαν τὰς ἀρετάς, ἀλλ' ἐγὼ νῦν ἐγκωμιάζων Τιμοσθένην καὶ Ἀλκιμέδοντα τοὺς αὐτῶν ἀπογόνους δείξω πᾶσιν ἀνθρώποις τὴν αὐτῶν ἀρετὴν, καὶ ὅτι ἡ τούτων εὐδαιμονία καὶ πρὸς τοὺς ἀπογόνους ἀρῖκτο, οὓς οὐκ εἰκὸς γενέσθαι τοιούτους μὴ προϋπαρχόντων αὐτοῖς καλλίστων ἐκ προγόνων παραδειγμάτων.

96. Ἄρμενα.] Ἔργα τιμῆς ἄξια.

97. Ἀλλ' ἐμὲ χρὴ μναμοσύναν.] Ἐμὲ τοίνυν χρὴ τὴν μνήμην ἀνεγείροντα ὥςπερ κοιμηθεῖσαν καὶ σιωπηθεῖσαν λοιπὸν, λέγει δὲ τῶν προγόνων αὐτοῦ, οἵτινές εἰσι Βλεψιάδαι οὕτω καλούμενοι, οὕτω τὸν εἰς αὐτοὺς ὕμνον πληρῶσαι ὑπηγούμενον τὸν τῶν χειρῶν αὐτῶν καρπὸν, ὅς ἐστιν ἡ νίκη, ἀνεγεῖραι δὲ τὴν μνήμην ἢ τὴν νίκην τῶν προγόνων, διὰ τῶν τοῦ Ἀλκιμέδοντος νικητηρίων. Βλεψιαδῶν δὲ φυλὴ ἐν Αἰγίνῃ, ἀπὸ Βλεψιάδου προγόνου Ἀλκιμέδοντος. Βλεψιάδαι ἡ φατρία αὐτῶν ἐστιν, ὧν εἷς ἀπόγονος ὁ νικήσας. —

† Σύνταξις. Ἀλλ' ἐμὲ χρὴ μναμοσύναν.] Ἀλλ' ἐμὲ χρὴ ἀνιστῶντα τὴν μνήμην τοῖς Βλεψιάδαις τῇ φυλῇ τοῦ Ἀλκιμέδοντος φράσαι αὐτοῖς ἐπινίκιον ὕμνον, ἄωτον τῶν χειρῶν αὐτῶν, ἦγουν καρπὸν ὃν αἱ χεῖρες αὐτῶν ἤνεγκαν· οἷς, ἤγουν τοῖς Βλεψιάδαις ἔκτος ἤδη στέφανος περίκειται ἀπ' ἀγώνων φυλλορόρων, ἤγουν στεφανηφόρων, ἀντὶ τοῦ στεφάνων αἰτίων· ἔστι δὲ καὶ τοῖς ἀποθανοῦσι μέρος τι, ὃ πραττόμενον πρὸς αὐτοὺς κατὰ νόμους ἂν πράττοιτο· ἦγουν οὐ μόνον ποδὸς τοὺς ζῶντάς εἰσί τινα κατὰ νόμους ἀποδιδόμενα, ἀλλὰ καὶ πρὸς τοὺς ἀποθανόντας ἔστι μέρος, ὃ πραττόμενον κατὰ νόμους ἂν πράττοιτο· τὸ τῶν ἐγκωμίων λέγει, ὃ ἐν τοῖς ἑξῆς σαφέστερον δηλοῖ· ἐπάγει γάρ· οὐ κατακρύπτει δὲ ἡ κόνις, ἤγουν ἡ γῆ, ὁ τάφος, τὴν ἀγαθὴν ἀρετὴν τῶν συγγενῶν, ὥστε μὴ ἀναφέρειν δηλονότι αὐτὴν πρὸς αὐτοὺς ἐν τῷ τάφῳ.

100. Ἕκτος οἷς ἤδη στέφανος.] Οἷς τισι Βλεψιάδαις καὶ ᾧ γένει ἕκτος ὑπῆρξε στέφανος ἤδη ἐκ τῶν ἱερῶν τούτων ἀγώνων. — Τὸ Ἕκτος στέφανος περίκειται λέγει, ἐπειδὴ Τιμοσθένης καὶ Ἀλκιμέδων ἕκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν, ὥστε ὁ τούτων στέφανος Βλεψιάδαις ἕκτος περιετέθη· τὸ δὲ Ἔστι θανόντεσσι τοῦτο λέγει, ἢ ὅτι καὶ τοῖς προγόνοις ἡ τῶν παίδων εὐφημία καθίσταται, ἢ ὅτι οἱ τοὺς παῖδας ἐγκωμιάζοντες καὶ τῶν προγόνων εἰς μνείαν ἔρχονται, ὡς ὁ ἐγκωμιαστικὸς ἀναγκάζει νόμος.

101. Φυλλορόρων ἀπ' ἀγώνων.] Ἤτοι καθὸ οἱ νικῶντες ἐμυλλοβολοῦντο, ἢ φύλλα τοὺς στεφάνους εἶπε δακρύων αὐτοὺς πρὸς τοὺς θεωρίτας καὶ χρηματίτας ἀγῶνας· φυλλῖται οἱ στεφανῖται, θεωρῖται οἱ θέματα διδόντες, ἀργυρῖται οἱ ἔχοντες χρυσᾶ ἆθλα.

102. Ἔστι δὲ καί τι θανόντεσσιν.] Ἔστι δὲ καὶ τοῖς τετελευτηκόσιν ἔννομον καὶ δίκαιον μέρος ἀποδιδόμενον, τὸ τῶν ἐπαίνων λέγει.

105. Κεδνὰν χάριν.] Τὴν τῶν συγγενῶν ἀγαθὴν χάριν οὐ κρύπτει κόνις, ἀλλ' ἐνφανερῷ κειμένη καὶ τῶν τεθνεώτων ἐφικνεῖται· πρὸς γὰρ τοῦτο τὸ πᾶν λέγει, τὸν μὲν λόγον ἐν τῷ καθόλου τιθεὶς, τείνων δὲ πρὸς ἐκεῖνον· διὸ τῆς νίκης τούτου ὁ προθανὼν Ἰφίων μετέχει καὶ συνήδεται. — Κεδνάν.] Ἐνδοξον.

106. Ἑρμᾶ δὲ θυγατρός.] Ὁ Ἰφίων πρόγονός ἐστιν Ἀλκιμέδοντος, οἱ δὲ ὅτι πατὴρ αὐτοῦ· οὗτος εἰδωλοποιὸς ἦν

Ἑρμοῦ θυγατέρα τὴν Ἀγγελίαν· ἄγγελος γὰρ ὁ Θεὸς οὗτος καὶ διάκτωρ· ἀκούσας οὖν, φησίν, ὁ Ἰφίων τῆς τοῦ Ἑρμοῦ θυγατρὸς Ἀγγελίας ἐννέποι ἂν τῷ Καλλιμάχῳ, ὡς καὶ τούτῳ συγγενεῖ ὄντι καὶ προτετελευτηκότι· τί ἂν οὖν ἐννέποι; τὴν νίκην· ταύτην γάρ φησιν τὸν κόσμον τὸν ἐν Ὀλυμπίᾳ· ἡ γὰρ ἑνὸς νίκη πᾶν τὸ γένος κοσμεῖ. Ἄλλως. Ἰφίων καὶ Καλλίμαχος κατὰ μέν τινας ἁπλῶς συγγενεῖς τοῦ Ἀλκιμέδοντος· κατὰ δέ τινας Ἰφίων μὲν πατὴρ Ἀλκιμέδοντος τεθνεώς, Καλλίμαχος δὲ θεῖος. Ἄλλως· ποιητικῶς ἀναπλάττει, τῆς Ἀγγελίας· ἢ ἴσως ὡς αἰσθησιν ἐχόντων τῶν τεθνεώτων λέγει· ὅτι δὲ ὁ Ἑρμῆς καὶ ἐπουράνιος καὶ ἐπίγειος καὶ ὑποχθόνιος δηλονότι· καὶ κήρυξ θεῶν ἐν οὐρανῷ καὶ ἐν γῇ· καὶ ὅτι ὑποχθόνιος, μαρτυρεῖ Ὅμηρος. (Ὀδυσ. ω,1.)

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο.

Ἀγγελία δὲ ὄνομα κύριον τῆς θυγατρὸς Ἑρμοῦ.

† Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσας.] Ἐπειδὴ ὁ Ἑρμῆς ἄγγελος τῶν θεῶν ἐστι, καὶ ἔπτιν ἐν οὐρανῷ καὶ γῇ καὶ πρὸς τὸν Ἅιδην ψυχοπομπὸς, διὰ τοῦτο λέγει τῆς αὐτοῦ φωνῆς ἀκοῦσαι τὸν Ἰφίωνα, ἣν εἰδωλοποιῶν θυγατέρα αὐτοῦ καλεῖ. — Σύνταξις Ἑρμᾶ δὲ θυγατρός.] Ὁ Ἰφίων δὲ ὁ πατὴρ, ὥς φασί τινες, τοῦ Ἀλκιμέδοντος, ἐννέποι, ἀντὶ τοῦ ἀγγείλαι, μηνύσαι τῷ Καλλιμάχῳ προσήκοντι κατὰ γένος καὶ τετελευτηκότι καὶ αὐτῷ τὸν ἐν Ὀλυμπίᾳ κόσμον τὸν λιπαρὸν, ἤγουν τὸν λαμπρὸν, ὃν ὁ Ζεὺς παρέσχε τῷ γένει αὐτῶν διὰ τοῦ Ἀλκιμέδοντος, ἀκούσας αὐτὸς ὁ Ἰφίων αὐτὸν τὸν κόσμον δηλονότι τῆς Ἀγγελίας τῆς θυγατρὸς τοῦ Ἑρμοῦ ἀγγελούσης αὐτὸν πρὸς αὐτόν.

108. Καλλιμάχῳ.] Τῷ ὄντι ἐν ᾅδου — Λιπαρόν.] Ἔντιμον.

110. Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς.] Ἀγαθὰ ἐξ ἀγαθῶν καὶ καλλίστων παρέχειν αὐτοῖς βούλοιτο ὁ Ζεύς· τὸ δὲ θέλοι, εὐκτικῶς. — Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς.] Ἀγαθὰ δ' ἐπ' ἐναθοῖς ἔργα, ἤγουν ἀγαθὰ δὲ ἔργα συνεχῆ καὶ ἐπάλληλα εἴθε θέλοι ὁ Ζεὺς δοῦναι αὐτοῖς, ὀξείας δὲ νόσους, τουτέστι σφοδρὰς καὶ ἐπικινδύνους ἀπαλάλκοι,, ἤτοι ἀποσοβοίη, ἀπ' αὐτῶν δηλονότι.

111. Ὀξείας δὲ νόσους.] Ὀξείας εἶπε τὰς νόσους διὰ τὰς ἀλγηδόνας· καὶ Ὅμηρος. (Ἰλιάδ λ, 269.)

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα
ἢ ὀξείας διὰ τοὺς πυρετούς. Ἄρατος· (Φαινόμ. 331) Ὀξέας

τειριάει. Καὶ ἀποκωλύοι αὐτῶν τὰς ἐπιπόνους καὶ ὀξείας νόσους· ὀξεῖαι δέ εἰσιν αἱ ἐπικίνδυνοι.

113. Εὔχομαι ἀμφὶ καλῶν.] Εὔχομαι μὴ γενέσθαι Νέμεσιν αὐτοῖς, τουτέστι μὴ φθονηθῆναι περὶ τῶν καλῶν· διχόβουλον δὲ τὴν Νέμεσιν, τὴν ἐπιφθονοῦσαν καὶ ἐναντία ποιοῦσαν οἷς βουλευόμεθα, οἷον τὴν διχάζουσαν ἀφ' ἡμῶν καὶ διαχορίζουσαν τὰς βουλάς· ἢ τὴν ἐναντία βουλευομένην τοῖς ἤδη προκατορθωμένοις ὑφ' ὑμῶν. Ἄλλως· εὔχομαι δὲ τῷ αὐτῷ Διὶ ἐπὶ τῇ τῶν καλῶν μοίρᾳ Νέμεσιν καὶ βασκανίαν μὴ ἐπιβαλεῖν. — Σύνταξις. Εὔχρμαι ἀμφὶ καλῶν.] Εὔχομαι ἐπὶ τῇ μοίρᾳ τῶν καλῶν, τῇ διδούσῃ δηλονότι αὐτοῖς τὰ καλὰ, μὴ θεῖναι αὐτὸν τὸν Δία, ἀντὶ τοῦ μὴ ἐᾶσαι συμβῆναι Νέμεσιν διχόβουλον, ἀντὶ τοῦ φθόνον ἐναντία βουλευόμενον, ἀλλ' ἄγων, τουτέστι κυβερνῶν τὸν βίον αὐτῶν δηλονότι ἀβλαβῆ αὐτούς τε εἴθε αὖξοι καὶ τὴν πόλιν αὐτῶν.

115. Ἀλλ' ἀπήμαντον.] Ἀλλ' ἵνα ἀβλαβῆ τὸν βίον αὐτῶν διάγων ὁ Ζεὺς καὶ φυλάττων αὐτοὺς ἐπαίροι εἰς δόξαν καὶ τὴν πατρίδα αὐτῶν Αἴγιναν.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Θ.′

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἐννάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ἐννάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ις′. Τὸ ἀ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισύλλαβον. Τὸ β′ Ἰωνικὸν δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. Τὸ γ′ Φαλαίκειον ἀντισπαστικόν. Τὸ δ′ Γλυκώνειον, οἷόν ἐστιν ἀντισπαστικόν. Τὸ ε ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ς′ ὅμοιον τῷ δ′. Τὸ ζ′. Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η ὅμοιον τῷ δ′ καὶ τῷ ς′. Τὸ θ′ ὅμοιον τῷ ζ′. Τὸ ι περιοδικὸν, ἢ ἐπίτριτος τροχαῖος. Τὸ ια ὅμοιον τῷ ζ′ καὶ τῷ θ′. Τὸ ιβ′ Γλυκώνειον.

Τὸ ιγ' ὅμοιον τῷ ζ', τῷ Θ' καὶ τῷ ιά. Τὸ ιδ' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιέ ἐπιωνικὸν ἄτακτον, σπονδεῖον ἔχον τὸν δεύτερον. Τὸ ις' ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ί. Τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ γ' ἀναπαιστικὸν δίμετρον, καταλῆγον μιᾷ συλλαβῇ. Τὸ δ' Ἰωνικὸν καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν, δίμετρον ὑπερκατάληκτον. Τὸ έ δακτυλικὸν ἑρθημιμερές. Τὸ ς' προσῳδιακὸν τρίμετρον καταληκτικόν· ὁ μὲν Ἰωνικὸς ἀπὸ μείζονος, ὁ β' χορίαμβος, ὁ γ' Ἰωνικὸς ἀπ' ἐλάσσονος. Τὸ ζ' τρίμετρον ἐπιωνικὸν βραχυκατάληκτον. Τὸ ή διπλοῦς σπονδεῖος καὶ διπλοῦς ἴαμβος. Τὸ θ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἀδιάφορον κατὰ τὴν ἄρχουσαν. Τὸ ί ἀντισπαστικὸν ἐννεασύλλαβον Σαπφικόν, πλεονάζον τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ἐννάτου εἴδους· ἔστι δὲ τὸ ᾆσμα στροφῶν ὅ. Παλαιόν.

Τοῦ ἐννάτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ις'. Τὸ πρῶτον ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισυλλαβίαν. Τὸ δεύτερον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. Τὸ γ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Φαλάκειον· Φάλακος γὰρ τούτου εὑρετής· ἔχει δὲ τὴν μὲν πρώτην συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων φησί, τὴν δὲ β' ἰαμβικήν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαϊκὴν ἢ ἰαμβικήν. Τὸ τέταρτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον, ἐκ δὶς τροχαίου ἢ ἐπιτρίτου. Τὸ έ ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ β' ἀναπαίστου. Τὸ ς' ὅμοιον τῷ δ'. Τὸ ζ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἤτοι ἡμιόλιον. Τὸ ή ὅμοιον τῷ δ' καὶ ς'. Τὸ θ' ὅμοιον τῷ ζ'. Τὸ ί περιοδικὸν, ἐπίτριτος τροχαῖος· οἱ γὰρ τέσσαρες τροχαῖοι ἐπίτριτον μέτρον

καιοῦνται, ὡς οἱ τρεῖς ἡμιόλιον· περιοδικὸν δὲ διὰ τὸ μίσγεσθαι ἰάμβοις· ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου διαλείμμενου καὶ χοριάμβου. Τὸ ιά ὅμοιον τῷ ζ' καὶ Θ'. Τὸ ιβ' ὅμοιον τῷ δ'. Τὸ ιγ' ὅμοιον τῷ ζ'. Τὸ ιδ' ἰαμβικὸν ἑφθημιμερές, τοῦ β' ἀναπαίστου. Τὸ ιε' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον· καλοῦσι δὲ τοῦτο ἄτακτον διὰ τὸ μὴ ἔχειν τὴν πρώτην συζυγίαν τροχαϊκὴν ἀλλὰ ἰαμβικὴν καὶ μὴ ἐν τῇ πρώτῃ χώρᾳ τὸν σπονδεῖον ἀλλ' ἐν τῇ δευτέρᾳ. Τὸ ις' ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον, καθαρὰν ἰαμβικὴν ἔχον τὴν πρώτην συζυγίαν. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παραγραφός.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων δέκα. Τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ πρώτου ἀναπαίστου. Τὸ γ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν, ἤτοι ἑφθημιμερές. Τὸ δ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν. Τὸ ε' δακτυλικὸν ἑφθημιμερές Τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικόν, τοῦ ἀ Ἰωνικοῦ ἀπὸ μείζονος, τοῦ β' χοριάμβου, τοῦ γ' Ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ· τοῦτο καὶ ἀναπαιστικὸν ἐστι δίμετρον ἀκατάληκτον, σπονδείου ἀρχομένου. Τὸ ζ' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· ἐμοὶ δὲ τοῦτο ἀσυνάρτητον δοκεῖ, ἐξ ἰαμβικῆς καὶ ἀναπαιστικῆς συζυγίας. Τὸ η περιοδικόν, διπλοῦς τροχαῖος καὶ δίπους ἴαμβος, ἤτοι δίμετρον ἀκατάληκτον· ἔχει δὲ ἀντὶ τροχαίων σπονδείους· διὸ καὶ ἐπιλαμβάνονται τούτου ὡς σπονδεῖον ἔχοντος ἐν περιττῇ συλλαβῇ· ἀνοίκειον γὰρ τοῦτο τῷ τροχαϊκῷ μέτρῳ. Τὸ Θ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμόλιον ἔχει δὲ τὸν πρῶτον πόδα παιωνα δεύτερον ἀντὶ Ἰωνικοῦ. Τὸ ι ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐννεασύλλαβον, ὃ καλεῖται Σαπφικὸν, ἐκ τροχαίων ἀοχόμενον πλεονάζει δὲ τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

---

1. Τὸ μὲν Ἀρχιλόχου μέλος.] Τὸ ἑξῆς τοῦ λόγου· τὸ μὲν Ἀρχιλόχου μέλος τὸ φωνᾶεν ἐν τῇ Ὀλυμπίᾳ ἤκουεν ἡγεμονεῦσαι παρὰ τὸν Κρόνιον λόφον κωμάζοντι Ἑρμῆτι· ὁ Ἀρχίλοχος. πρὸ τούτων τῶν Λυρικῶν γενόμενος, ἐλθὼν εἰς Ὀλυμπίαν θελήτας ὕμνον ἀναβαλέσθαι εἰς Ἡ-

ρακλέα ἐν τῇ Ὀλυμπίᾳ, ἀπορήσας κιθαρῳδοῦ διά τινος λέξεως μιμήσασθαι τὸν ῥυθμὸν καὶ τὸν ἦχον τῆς κιθάρας ἐπεχείρησε· συντάξας οὖν τοῦτο τὸ κομμάτιον Τήνελλα, οὕτω καὶ τὰ ἑξῆς ἀνεβάλλετο, καὶ αὐτὸς μὲν τὸν ἦχον τῆς κιθάρας ὑποκρινόμενος ἔλεγεν ἐν μέσῳ τῷ χορῷ τὸ Τήνελλα, ὁ δὲ χορὸς τὰ ἐπίλοιπα, οἷον Καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, καὶ εἴτε ἕτερον, οἷον Αὐτός τε καὶ ὁ Ἰόλαος αἴχματὰ δύε, Τήνελλα· ἐκ τούτου τολοιπὸν οἱ ἀποροῦντες κιθαρῳδῶν τούτῳ τῷ κόμματι ἐχρῶντο τῷ Τήνελλα, τρίτον αὐτὸ ἐπιφωνοῦντες· τὸ δὲ ὅλον οὕτω· Τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος αἴχματὰ δύε. Τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις· τριπλόον διὰ τοῦτο εἶπεν, ἐπειδὴ τρίτον ἐλέγετο τοῦτο τὸ κομμάτιον τοῖς νικῶσι· κωμάζει δὲ πρὸς τὸν τοῦ Διὸς βωμὸν ὁ νικήσας μετὰ τῶν φίλων, αὐτὸς τῆς ᾠδῆς ἐξηγούμενος· κεκράτηκεν οὖν ἐπὶ πάντων τῶν νικηφόρων παρ' αὐτὸν τὸν καιρὸν τῆς νίκης ἐπᾴδεσθαι τὸ κόμμα, καὶ τοίνυν ἐπὶ τοῦ Ἐφαρμόστου νικήσαντος τοῦτο ἐλέχθη· ὁ δὲ λόγος· τὸ μὲν τοῦ Ἀρχιλόχου μέλος, οἷον τὸ Τήνελλα καλλίνικε, φωνηθὲν καὶ προλεχθὲν ἐν τῇ Ὀλυμπίᾳ, ὅπερ μέλος ἔχον τὸ Καλλίνικος, τρίτον ἐλέγετο μετὰ πλήθους καὶ χοροῦ, ἐξήρκεσε παρὰ τὸ Κρόνιον ὄρος ἐν τῇ Ὀλυμπίᾳ καθηγήσασθαι καὶ προῤῥηθῆναι τότε χορεύοντι καὶ κωμάζοντι σὺν τοῖς ἑταίροις τῷ Ἐφαρμόστῳ. Τήνελλα, μίμημα φωνῆς κρούματος αὐλοῦ ποιᾶς. Ἀρχίλοχος. Τήνελλα καλλίνικε, χαῖρε ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος αἰχματὰ δύω. Ἀριστοφάνης·

Ἀλλ' ἐὰν μέντοιγε νικᾷς τῇ βοῇ, τήνελλος εἶ,
ἀντὶ τοῦ νικηφόρος· τήνελλα δὲ κρουμάτιον ἐπινίκιον ἢ τήνελλος, ἁρμονία λύρας· ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτοὺς τῇ βοῇ, μουσικώτατος εἶ·

Ἦν δ' ἀναιδεία παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

ὁ δὲ πυραμοῦς εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ τυρῶν περφυγμένων, ὡς σησαμοῦς ὁ διὰ σησάμης· ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνητάς· εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἀμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω νικήσας ἐλάμβανε τὸν πυραμοῦντα· ὁ δὲ νοῦς ὅτι, ἂν μὴ νικηθῇς ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ταῖς περιεργείαις καὶ ἀναισχυντίαις, οὐδὲν ἧττον ἡμέτερον τὸ τερμάτιον, τουτέστιν ἡ νίκη. Ἄλλως· ὁ μὲν ὑπ' Ἀρχιλόχου, φησί, λεχθεὶς ὕμνος ἦσκητεν, ὁ δ' ὑπ' ἐμοῦ νῦν γεγονὼς

ῥηθήσεται· ἔθος δὲ ἦν κωμάζειν τὴν νίκην ἑσπέρας τοῖς νικηφόροις μετ' αὐλητοῦ, μὴ παρόντος δὲ αὐλητοῦ εἷς τῶν ἑταίρων ἀνακρουόμενος ἔλεγε, Τήνελλα καλλίνικε. Ἄλλως τὸ μὲν Ἀρχιλόχου μέλος, ὃ τοῖς νικῶσι τὰ Ὀλύμπια ἐπήδετο, ἦν τρίστροφον, κοινῶς δυνάμενον ἁρμόζειν ἐπὶ παντὸς νικηφόρου διὰ τὸ καὶ τῆς πράξεως αὐτῆς ψιλὸν ἔχειν τὸν λόγον μήτε δὲ ὄνομα μήτε ἰδίωμα ἀγωνίσματος· ἐρυμνίῳ δὲ κατεχρῶντο τούτῳ, Τήνελλα καλλίνικε· τῷ οὖν Ἐφαρμόστῳ, φησὶν, ἀπήρκεσε παραχρῆμα κατὰ τὴν Ὀλυμπίαν τοῦτο τὸ μέλος κωμάζοντι σὺν τοῖς ἑταίροις· τὸ δὲ τριπλόος, ὅτι τρὶς ἐπεκελάδουν τὸ Καλλίνικε· οὐ καθόλου δὲ τρὶς, ἀλλ' ὅτι τριπλῆν ἔχει τὴν στροφὴν, καὶ πάλιν ἀναλαμβάνεται. Ἐρατοσθένης δέ φησι μὴ ἐπινίκιον εἶναι τὸ Ἀρχιλόχου μέλος, ἀλλ' ὕμνον εἰς Ἡρακλέα, τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐρυμνιάζεσθαι τὸ Καλλίνικε· περὶ δὲ τοῦ Τήνελλα Ἐρατοσθένης φησὶν ὅτι, ὅτε ὁ αὐλητὴς ἠὸ κιθαριστὴς μὴ παρῆν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν κωμαστῶν χορὸς ἐπέβαλε τὸ Καλλίνικε, καὶ οὕτω συνειρόμενον γέγονε τὸ Τήνελλα καλλίνικε· ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστὶν Ὦ Καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες. — Ἀρχίλοχος ἦν λυρικὸς ποιητὴς, ἐποίησε δὲ πρὸς τὸν Ἡρακλέα ὕμνον λέγοντα Καλλίνικε χαῖρε καὶ ἕτερ' ἄττα· ἐπειδὴ δὲ ἡ τῆς μουσικῆς φωνὴ ἄναρθρός ἐστιν, ἐμηχανήσατο αὐτὸς ἀπήχημά τι ταύτης ἔναρθρον ποιῆσαι, ὅπερ ἐστὶ τὸ Τήνελλα προσαδόμενον τῷ ὕμνῳ· ἐλέγετο δὲ ὁ ὕμνος ἐκ τρίτου πρότερον μὲν εἰς Ἡρακλέα ῥηθείς, ἐπικρατήσας δὲ ὕστερον καὶ εἰς τοὺς Ὀλυμπιονίκας λέγεσθαι, ὥσπερ καὶ ἐπὶ τῷδε τῷ Ἐφαρμόστῳ ἐν Ὀλυμπίᾳ νικήσαντι· νῦν δὲ ἐγὼ ὕμνους αὐτόν τε καὶ τὸν ἐν Ὀλυμπίᾳ Δία κοσμήσω· ἔστι δὲ τὸ φωνᾶεν Ὀλυμπίᾳ διὰ μέσου· τὸ δὲ μέλος ἑρμηνεύει διὰ τοῦ τριπλόος ὁ καλλίνικος κεχλαδώς· οὕτω τὸ μὲν Ἀρχιλόχου μέλος ὁ τριπλόος καὶ ἐκ τρίτου ᾀδόμενος καλλίνικος φωνᾶεν καὶ φωνῆεν ἐν τῇ Ὀλυμπίᾳ τῷ Ἐφαρμόστῳ κωμάζοντι καὶ χαίροντι σὺν τοῖς φίλοις ἑταίροις παρὰ τὸν Κρόνιον λόφον ἤρκεσε καὶ ἀρκετὸν ἐφάνη ἡγεμονεῦσαι καὶ καθηγήσασθαι, τουτέστιν ἀρκεῖ προῤῥηθέν. — † Τὸ μὲν Ἀρχιλόχου μέλος.] Τὸ μὲν μέλος, ὅπερ ὁ Ἀρχίλοχος συνέθηκεν ἐν Ὀλυμπίᾳ, τὸ φωνᾶεν, ἤγουν τὸ μετεώρως φωνῇ ᾀδόμενον, λέγω ὁ Καλλίνικος ὁ τριπλοῦς κεχληδὼς, ἐπιῤῥηματικῶς τὸ

τριπλοῦς ἀντὶ τοῦ ἐκ τρίτου, ἤτοι ὁ Καλλίνικος, ὁ ἐκ τρίτου κεχληδώς, τουτέστι τὸ Χαῖρε δεχόμενος, ἤγουν τὸ μέλος τὸ Καλλίνικε χαῖρε ἐκ τρίτου λεγόμενον ἱκανὸν ἐγίνετο κατὰ τὸν ὄχθον, ἀντὶ τοῦ τὸν λόγον τὸν Κρόνιον προαγήσασθαι κωμάζοντι τῷ Ἑρμοκράτει, ἐπὶ τῇ νίκῃ τὴν χορείαν τελοῦντι σὺν τοῖς ἑταίροις αὐτοῦ, τουτέστι τοῖς συνήθεσι, τοῖς προφελέσιν· ἀλλὰ νῦν, ὦ ψυχὴ δηλονότι, διὰ τόξων μουσικῶν πόρρω βαλλόντων, ἀντὶ τοῦ διὰ λόγων ἐγκωμιαστικῶν, οὓς αἱ Μοῦσαι παρέχουσι, πόρρω τὴν εὐφημίαν πεμπόντων, τὸν Δία τε τὸν τῆς πυρώδους καὶ λαμπρᾶς ἀστραπῆς αἴτιον ἐπίνεισμαι, ἤγουν ἐπῆλθε, τόξευσον, τουτέστιν ὕμνησον τοιοῖσδε βέλεσιν, ἤτοι διὰ τοιούτων ποιημάτων, καὶ τὸ σεβάσμιον ἀκρωτήριον τῆς Ἰλιάδος, ἤγουν τὴν Ὀλυμπίαν, ὕμνησον δηλονότι, ὅπερ ποτὲ ὁ Πέλοψ ὁ ἥρως ὁ ἀπὸ τῆς Λυδίας ἐξήρατο, ἀντὶ τοῦ ἥρατο, ἤτοι ἔλαβεν, ἔδνον κάλλιστον, ἀντὶ τοῦ προῖκα κάλλιστον τῆς Ἱπποδαμείας βίλος δὲ γλυκὺ πετρωτὸν, ἀντὶ τοῦ λόγον ἐγκωμιαστικὸν εἰπὶ, ἤγουν πέμπε, Πυθῶνάδε, τουτέστι πρὸς τὴν Πυθῶνα· μέμνηται δὲ καὶ τῆς Πυθῶνος, ἐπειδὴ καὶ ἐν αὐτῇ ἐνίκησεν ὁ Ἑρμοκράτης. — Οὗτος ὁ Ἀσχύλος πρὸ τῶν λυρικῶν ἦν, ὃς ἐρεῦρε τὸν Τήνελλα ὕμνον ᾄδεσθαι τοῖς νικηταῖς· οὗτινος ἀσθέντος καὶ ἐπὶ τῷ παρόντι νικητῇ, βούλεται τοῦτον ἐγκωμιάσαι καὶ αὐτὸς ὁ ποιητὴς διὸ φησὶν· ἀρκτὸν μὲν ἐγένετο τῷ Ἑρμοκράτει ὁ ὕμνος τοῦ Ἀρχιλόχου ἀσθεὶς εἰς αὐτὸν πρὸ τοῦ σθῆσαι ἡμᾶς· ὅμως βούλομαι καὶ αὐτὸς ἐγκωμιάσαι αὐτόν.

2. Φωνᾶεν Ὀλυμπία.] Οἱ μὲν προσγράφουτι τῷ α τὸ ι καὶ ἀκούουσι φωνῇ, τὸ τῇ φωνῇ λεχθὲν οἱ δὲ ἀποστροφὴν τεθεῖσθαι ἐν τῷ α καὶ τὸ φωνηθὲν πολυθρύλλητον ἀκούουσιν. — Φωνᾶεν.] Τὸ μετεώρως φωνῇ λαληθέν.

3. Καλλίνικος ὁ τριπλόος.] Τρεῖς ὑμνοῦντο οἱ νικηφόροι, ἅμα τῇ νίκῃ καὶ ἐν τῷ γυμνασίῳ καὶ ἐν τῇ πατρίδι· ἡ ὁ πολλάκις λεγόμενος τῇ νίκῃ· ἢ ἐπειδὴ τρία ἐάμβεια εἰσιν. Ἄλλως· τριπλόος, ὁ πλήθει λεγόμενος, οἱονεὶ ὑπὸ τοῦ πλήθους ᾀδόμενος, ἢ ὁ ἀβουνόμενος καὶ πολλάκις ᾀδόμενος· τοῦτο λέγει κεχλαδώς. Ἄλλως· τριπλόος.] Ἀκαταλλήλως τῷ μέλος ἐπήγαγε τὸ τριπλόος, οὐδετέρῳ προσπλέξας τὸ ἀρσενικὸν, ἀλλὰ ῥητέον πρὸς τὴν διάνοιαν αὐτοῦ ἀπηντηκέναι. Ἀρχιλόχου μέλος ὁ ὕμνος, εἶτα ὕμνος ὁ τριπλόος· τριπλόος δὲ ἤτοι ὁ τρὶς ἐπᾳδόμενος, ἢ τρίστροφος, ὧν κατὰ τὸν Ἀρι-

στασχον· στροφὴ δὲ καὶ ἀντιστρόφῳ τὰ τῶν λυρικῶν σύγκειται ποιμάτα.

7. Ἑταίροις.] Συγγενέσιν.

8. Ἑκαταβόλων.] Μακράν τοξευόντων. — Ἀλλὰ νῦν ἑκαταβόλων.] Τότε μὲν οὖν καὶ περὶ τὸν καιρὸν τῆς νίκης ἐκεῖνα ἐλέχθη ἐν Ὀλυμπίᾳ, νυνὶ δὲ ἀπὸ τῶν τὰ πόρρω βαλλόντων τόξων μουσικῶν· τὸ δὲ ὅλον τροπὴ τόξῳ μὲν γὰρ τὴν ποίησιν, βέλεσι δὲ τὰ ἐγκώμια παραβάλλει. Ἄλλως· ἔστι τῷ χορῷ ἢ ἑαυτῷ παρακελεύεται· ἀλλὰ κατὰ τὸν ἐνεστῶτα χρόνον, φησίν, ἀπὸ τῶν μουσικῶν τόξων ἐπινεμήθητε τοῖς ὕμνοις τὸν Δία καὶ τὴν Ὀλυμπίαν· ἑκατηβόλων δὲ, τῶν εἰς ἅπαντα τόπον διϊκνεῖσθαι ποιούντων ποιήματα.

11 Σεμνόν τ' ἐπίνειμαι.] Ὑμνεῖν ἢ ὑμνηθῆναι ποιῶν τὴν Πίσαν τὴν πρωτεύουσαν τῶν πόλεων, ἢ διὰ τὸν ἀγῶνα, οἷον τὴν τὸν ἀκρότατον καὶ κάλλιστον τῶν ἀγώνων ἔχουσαν· τὸ δὲ ἐπινεῖμαι ἢ πρὸς ἑαυτὸν, ἢ πρὸς τὸν χορόν. Ἄλλως· Ἐπίνειμαι.] Ἔπιλθε, ἡ δὲ παρακέλευσις ἢ ὡς πρὸς ἑαυτὸν, ἢ ὡς πρὸς τὸν χορόν· ἔπελθε οὖν, φησί, τὸ ἀκρωτήριον τῆς Ἠλιδος, ὅπερ ποτὲ ὁ Πέλοψ ἐξαίρετον εἴληφε παρὰ τῆς Ἱπποδαμείας νικήσας τὸν Οἰνόμαον ἔδνον.

12. Ἀκρωτήριον Ἄλιδος.] Ὃ προσεκτήσατο Πέλοψ, λαβὼν τὴν Ἱπποδάμειαν· ἔδνον νῦν οὐ τὸ παρὰ τοῦ ἀνδρὸς διδόμενον τῇ γαμουμένῃ λέγει, ἀλλ' ὃ αὐτὸς ἐκείνην λαβὼν προσεκτήσατο· φησὶ δὲ τῶν ἐκ τῆς Ἱπποδαμείας αὐτῷ περιγεγονότων δώρων, ὅτε ἔγημεν αὐτὴν, τοῦτο κάλλιστον ἔδνον εἶναι, τὴν ἐκείνης τῆς χώρας κτῆσιν. Ἄλλως· ἄκαιρόν ἐστιν ἐπὶ τῆς Ἱπποδαμείας τὸ ἔδνον· ἔδνα γὰρ διδόασιν οἱ ἄνδρες, φερνὰς δὲ αἱ γυναῖκες παρὰ τὸ φέρειν μεθ' ἑαυτῶν τὴν Πίσαν λέγει, ἢ τὴν ἐξοχωτάτην τῇ θέσει, ἢ τὴν ἐνδοξοτάτην καὶ πρωτεύουσαν.

13. Τοιοῖς δὲ μέλεσι.] Τοιοῖσδε ποιήμασι, τοιούτοις ὕμνοις, τοῖς νῦν, καὶ μὴ οἷοις οἱ πρότεροι.

15. Πέλοψ ἐξάρατο.] Ὁ Πέλοψ κατὰ μέν τινας Δυδὸς, κατὰ δέ τινας Φρὺξ ἢ Παφλαγὼν, κατὰ δὲ Αὐτεσίωνα Ἀχαιός. (Ὀλυμπ. Α', 37.)

17. Πτερόεντα δ' ἶει ὀϊστόν.] Τροπικῶς τὸν ὕμνον· πάλιν δὲ ἢ πρὸς ἑαυτὸν ἢ πρὸς τὸν χορὸν τρέπει τὸν λόγον· καὶ εἰς τὴν Πυθῶνα δὲ ἶει καὶ πρόπεμπε τὸν πτερόεντα ὀϊστόν· πάλιν δὲ τῇ τροπῇ κέχρηται· παρακελεύεται δὲ ἑαυτὸν ἀπὸ τῆς Ὀλυμπίας βαλεῖν τοῖς τῶν ἐγκωμίων βέλεσι καὶ τὴν

Πυθῶνα κατὰ σκοπὸν ἐνίκησε δὲ ὁ Ἐφάρμοστος καὶ Ὀλύμπια, ὡς προεῖπε, καὶ Πύθια, ἑβδομηκοστῇ τρίτῃ Ὀλυμπιάδι. Ἄλλως· ἀντὶ τοῦ καὶ τὴν Πυθῶνα ὕμνει· καὶ πρὸς τὴν Πυθῶνα, φησίν, ἀρίει τὸν γλυκὺν αἰστὸν, ὅ ἐστι τὸν ὕμνον, ἀπὸ τῆς Ὀλυμπίας μεταβάς· καὶ γὰρ Πύθια ἐνίκησεν ὁ Ἐφάρμοστος τὴν τριακοστὴν Πυθιάδα.

19. Οὗτοι χαμαιπετέων.] Οὐ γὰρ δὴ εὐτελῶν οὐδὲ μικρῶν λόγων ἀπάρξῃ περὶ τῶν τοῦ ἀνδρὸς παλαισμάτων λέγων καὶ τῇ κιθάρᾳ ἐπὶ τούτοις χρώμενος· οὐ τοιούτων λόγων ἐφάψει κατὰ τοῦτον τὸν ὕμνον, οἳ πέσειεν ἂν χαμαί, ἀλλὰ τοὐναντίον ἐνδόξων καὶ δυναμένων πανταχοῦ θεῖκνασθαι· χαμαιπετῆ δὲ κυρίως ἐστὶ δόρατα ἢ βέλη, ὅτε ἀποτυχόντα τοῦ σώματος χαμαὶ ἔπεσεν. — † Σύνταξις. Οὗτοι χαμαιπετέων.] Μὴ δῆτα ἄρῃ λόγων χαμαὶ κειμένων, τουτέστιν ὑπτίων, εὐτελῶν· ἤγουν μὴ χρήσῃ λόγοις εὐτελέσιν, ἐλελίζων, ἤτοι κινῶν τὴν φόρμιγγα ἐπὶ τοῖς παλαίσμασι τοῦ ἀνδρὸς, ἀντὶ τοῦ χάριν τῆς νίκης τῆς ἐν τῇ πάλῃ τοῦ ἀνδρὸς τοῦ ἐκ τῆς ἐνδόξου Ὀποῦντος· αἰνήσαις, ἀντὶ τοῦ ἐπαίνεσον, ὕμνησον αὐτὴν τὴν πόλιν τὴν Ὀποῦντα καὶ τὸν υἱὸν, ἀντὶ τοῦ τὸν πολίτην αὐτῆς, δηλονότι τὸν Ἐφάρμοστον, ἤντινα, ἤγουν τὴν πόλιν λέλοχε, τουτέστιν εἰς κλῆρον ἔλαβεν, ἡ Θέμις, ἀντὶ τοῦ ἡ Δίκη, καὶ ἡ Ἐυγάτηρ αὐτῆς ἡ τὰς πόλεις σώζουσα ἡ καταπολὺ τιμία Εὐνομία· ἕτεται γὰρ τῇ δίκῃ τὸ καλῶς τοῖς νόμοις χρῆσθαι· θάλλει δὲ αὐτὴ ἡ Ὀποῦς, ἤγουν λαμπράἐστιν ἐπ' ἀρεταῖς, τουτέστιν ἐπ' ἀρετείαις, ἐπ' ἀνδραγαθίαις ἐπίσης τε ἐν τῇ Κασταλίᾳ, ἤγουν ἐν τῇ Πυθῶνι καὶ πλησίον τοῦ ῥεύματος τοῦ ποταμοῦ τοῦ Ἀλφειοῦ, ἤτοι καὶ ἐν τῇ Ὀλυμπίᾳ· ὅθεν, ἤγουν ἀπὸ τῆς Κασταλίας καὶ τοῦ Ἀλφειοῦ, στεράνων ἐξαίρετοι κόσμοι ἐπικίονσι, τουτέστι μεγαλύνουσιν, ὑμνοῦσι τὴν Ὀποῦντα τὴν μητρόπολιν τῶν Λοκρῶν, τὴν περιαδομένην, τὴν ἀγλαόδενδρον, ἤγουν τὴν εὐθαλῶν δενδρων αὐξητικὴν, τουτέστι τὴν εὔγεων.

21. Φόρμιγγ' ἐλελίζων.] Ἀντὶ τοῦ τῇ κιθάρᾳ τὸν ἐπίνικον προσάδων.

22. Κλεινᾶς ἐξ Ὀπόεντος.] Ποίου φησὶν ἀνδρός; τοῦ ἐκ τῆς Ὀποῦντος, εἰ' ἦ, τοῦ Ἐφαρμόστου· ἐκεῖθεν γὰρ τὸ γένος ἔχει.

23. Αἰνήταις ἔ καὶ υἱόν.] Ἐναντιωμία· κεῖται γὰρ ἀντὶ τοῦ αὐτὴν τὴν Ὀποῦντα· υἱὸν δὲ τὸν πολίτην λέγει. Ἄλλως·

τὴν πόλιν Ὀποῦντα καὶ τὸν υἱὸν αὐτῆς τὸν Ἐφάρμοιτον, καθὸ πατρὶς αὐτοῦ ἐστιν· υἱὸν δὲ ἀντὶ τοῦ πολίτην· δύναται δὲ καὶ αὐτὴν τὴν ἡρωΐδα λέγειν, υἱὸν δὲ τὸν Ὀποῦντα.

24. Ἂν Θέμις.] Ἥντινα Ὀποῦντα ἥ τε Θέμις καὶ ἡ Θυγάτηρ ταύτης Εὐνομία ἥ τὰς πόλεις σώζουσα κεκλήρωται κατέχειν, ἥτις Εὐνομία μεγάλην δόξαν ἔχει. Θέμιδος δὲ Θυγατέρα καὶ Ἡσίοδος. (Θεογ. 901.)

Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν.

ὁ δὲ λόγος ἐπὶ τῆς Ὀποῦντος, ὅθεν ἦν ὁ νικηφόρος.

25. Σώτειρα Εὐνομία.] Σώζει γὰρ ἡ Εὐνομία τὰς πόλεις· λέγει δέ, ὅτι ἡ Ὀποῦς εὐνομίᾳ καὶ δικαιοσύνῃ χαίρει· Θυγάτηρ δὲ ἡ Εὐνομία Δικαιοσύνης, ἐπειδὴ οἱ νόμοι δικαίου χάριν ἐτέθησαν.

27. Θάλλει.] Λάμπει — Θάλλει δ' ἀρεταῖς.] Βρύει δὲ καὶ αὔξεται ταῖς ἀρεταῖς τῆς νίκης ἡ Ὀποῦς, ἔντε τῇ Κασταλίᾳ πηγῇ ἐν Πυθοῖ, καὶ ἐν ταῖς τοῦ Ἀλφειοῦ ποταμοῦ, τουτέστιν ἐν Ὀλυμπίᾳ, ἀφ' ὧν, ἤτοι ποταμῶν ἢ τόπων, αἱ νῖκαι καὶ τὰ ἄνθη τῶν στεφάνων τὴν ἔνδοξον τῶν Λοκρῶν μητέρα τὴν Ὀποῦντα ἐπέρχονται, καὶ ὑψοῦσι τὴν καλλιδένδρον, ἀφ' οὗ δηλοῖ τὴν εὔγειον. Ἄλλως· Θάλλει ταῖς ἀρεταῖς τῆς Κασταλίας, ἀντὶ τοῦ τῆς Πυθοῦς· χρήνη γάρ ἐστιν ἐν Πυθῶνι· τὰ γὰρ Πύθια ἐνίκησε καὶ τὰ Ὀλύμπια· τὸ δὲ ἴσον ἀντὶ τοῦ κοινῶς, παρά τε τὸ ἴσον ῥέεθρον Κασταλίας καὶ τὸ τοῦ Ἀλφειοῦ.

30. Ἄωτοι.] Χαρίσματα.

31. Ἐπαείροντι.] Τὴν καλλιδένδρον ὑψοῦσι καὶ μετεωροῦσιν, ὑμνοῦσιν. — Ἐπαείροντι.] Δοξάζουσιν.

32 Ματέρ' ἀγλαοδένδρου.] Μητέρα, τὴν Ὀποῦντα τοῦ Ἐφαρμόστου πατρίδα· μητρόπολιν δὲ τὴν Ὀποῦντα τῶν Λοκρῶν λέγει· μητέρα τοῦ Ἐφαρμόστου τὴν Ὀποῦντα, καθὸ μητέρας τὰς πατρίδας λέγουσι. Μῆτερ ἐμή, τὸ τεὸν, χρύσασπι, φησὶ τὴν Θήβην· (Ἰσθμ. Δ', 1.) μητρόπολις δὲ τῶν Λοκρῶν ἡ Ὀποῦς.

33. Ἐγὼ δέ τοι φίλαν πόλιν.] Ὁ νοῦς τοιοῦτος· ἐγὼ δὴ οὖν ταύτην τὴν προσφιλεστάτην Ὀποῦντα ἐκδήλοις καταυγάζων ὕμνοις πανταχοῦ ἐκπέμπω ταύτην τὴν ἀγγελίαν καὶ ἵππου παντὸς ταχυτάτου καὶ ναὸς ταχείας θᾶττον εἴπερ τινὶ θείᾳ μοίρᾳ καὶ μετά τινος θείας χειρὸς τὸν ἐξαίρετον τῶν Χαρίτων κῆπον, τὸν ποιητικὸν λέγει, νέμο-

μαι, καρποῦναι· τοῦτον δὲ νέμομαι εἶπεν, ὅτι οἶδεν αὐτὰν εὐχρώς καὶ δυνατῶς γράφοντα· εἰ δὲ καὶ χάρις τοῖς ποιήμασιν ἐπακολουθήσει, ὡς ἄνθρωπος ἀγνοεῖ. — † Σύνταξις. Ἐγὼ δέ τοι.] Ἐγὼ δὲ τὴν προσφυῆ ἐμοὶ πόλιν ταύτην τὴν Ὀποῦντα φλέγων, ἀντὶ τοῦ λαμπρύνων ὠδαῖς μαλεραῖς, ἤγουν λαμπραῖς, ταχύτερον καὶ ἵππου ἀγάνορος, ἤτοι πάνυ γενναίου, ἀπο μεταφορᾶς τῶν ἀνδρῶν· ὁ ἀγήνωρ γὰρ ἐπὶ ἀνθρώπων κυρίως λέγεται, καὶ ἔστι ταυτὸν τῶ ἀνδρεῖος· ἵπποι δὲ λέγονται κατὰ τοῦτο γενναῖοι καὶ ἀγέρωχοι καὶ εὔψυχοι· καὶ νηὸς ὑποπτέρου, ἀντὶ τοῦ ταχυτάτης, ἅπτον πέμψω πανταχόσε ταύτην τὴν ἀγγελίαν τὴν περὶ τῶν ἀναθημάτων, αὐτῆς δηλονότι καὶ τῆς εὐνομίας. — Φίλαν.] Ἀγαπητήν.

34. Μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς.] Λαμπραῖς, κατὰ μεταφορὰν. Ἄλλως· ταῖς λαμπραῖς καὶ ἐνδήλοις, ἐπιφλέγων δὲ ἀντὶ τοῦ ἐπαυγάζων· διόλου γὰρ τῇ τροπῇ ὡς ἐπὶ πυρὸς ἐπέμεινε· λαμπρύνων ἐγὼ οὖν, φησὶν, ὑμνῶν τὴν πόλιν ταύτην, τὴν ἀγγελίαν πανταχοῦ πέμψω ταχύτερον ὀξέος ἵππου καὶ νηὸς ὠκυδρομούσης, εἰ σὺν Θεοῦ βουλήσει κεχαρισμένα ποιήματα γράφω· ταῖς λαμπραῖς, παρόσον τὸ πῦρ δηλοῦσθαι, ἐκ δὲ τοῦ πυρὸς τὸ λαμπρόν· ὁ δὲ τρόπος μετάληψις· λαμπραὶ δὲ τὰς ᾠδὰς διὰ τὸ διϊκνεῖσθαι ὡς τὸ πῦρ· ὁ δὲ Δίδυμος ἀντὶ τοῦ μολακαῖς· καὶ γὰρ ἑτέρωθι μαλακοφώνους τὰς ᾠδὰς φησιν. — Ἐπιφλέγων.] Μεγαλύνων.

35. Ἀγάνορος.] Μεγαλοψύχου.

36. Ναὸς ὑποπτέρου.] Ταχείας, ἢ διὰ τὰς κώπας. Ὅμηρος (Ὀδυσ. λ, Ψ24.) Τὰ πτερὰ νηυσὶ πέλονται· ἀγγελίαν δὲ, τὴν περὶ τῆς νίκης· ἢ τῆς ταχείας, ἢ τῆς εὐτρεπισθείσης ἁρμένοις, τὰ πτερὰ νηυσὶ πέλλονται.

37. Ἀγγελίαν.] Τὸν ὕμνον, ὃν πρὸς τὸν πολίτην αὐτῆς πλέκων, καὶ αὐτὴν ἀΐδιον θήσω μέχρις ἂν παρ' ἀνθρώποις ὦσι λόγοι.

38. Εἰ σύν τινι μοιριδίῳ.] Δύναται τὸ εἰ ἐνταῦθα καὶ ἀντὶ τοῦ ἐπεὶ λαμβάνεσθαι καὶ δικαστικῶς· ἄμεινον δὲ τὸ ὕστερον· εἰ σὺν παλάμῃ τινὶ, ἀντὶ τοῦ βοηθείᾳ μοιριδίῳ, τουτέστι μοίρας κρείττονος, κἤπον ἐξαίρετον καρποῦμαι Χαρίτων, ἀντὶ τοῦ δύναμιν λόγων, ἣν αἱ Χάριτες ἐφορῶσι, τουτέστι Χαρίτων μετέχουσαν· κεῖναι γὰρ, ἤγουν αἱ Χάριτες παρέσχον τοῖς ἀνθρώποις τὰ τέρψιν ἐμποιοῦντα. —

Μοιριδίῳ παλάμᾳ.] Δαιμονίᾳ μηχανῇ καὶ τέχνῃ· εἰ σύν τινι μηχανῇ παρὰ Μοιρῶν δεδομένῃ μοι τῶν Χαρίτων ἐπινέμομαι κῆπον, καὶ μὴ παρὰ φύσιν βιάζομαι.

39. Χαρίτων κᾶπον.] Τὴν ποιητικήν· ὅτι δὲ πάροικοι ταῖς Μούσαις αἱ Χάριτες, καὶ Ἡσίοδος. (Θεογον. 64.) μαρτυρεῖ·

Πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν.

—Ἐξαίρετον Χαρίτων.] Φησὶν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ μετὰ Μουσῶν εἶναι τὰς Χάριτας.

Πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν.

40 Κεῖναι γὰρ ὤπασαν.] Αἱ Χάριτες τὰ ἐν τῷ βίῳ τερπνὰ τοῖς ἀνθρώποις παρέσχον· ἀγαθοὶ δὲ καὶ σοφοὶ καὶ ἀνδρεῖοι ἄνθρωποι κατὰ βούλησιν τοῦ δαιμονίου καὶ θεῶν γίνονται. Χαρίτων μὲν γὰρ ἔργον οἶδε τὸ τὰ πράγματα χαριέντως ἀποτερματίζειν, Μοιρῶν δε καὶ Εἱμαρμένης τὸ δυνατούς τινας κατὰ ἀνδρειαν καὶ συνετοὺς κατὰ φρόνησιν γίνεσθαι λεληθότως δὲ ὁ Πίνδαρος διὰ τὸ ἀνεπαχθὲς τὰ ἴδια ἐπεξεργάζεται ἐγκώμια.

41 Τὰ τερπνά.] Μαθήματα — † Σύνταξις. Ἀγαθοὶ δὲ καὶ σοφοί.] Ἀγαθοὶ δὲ ἐγένοντο ἄνδρες, ἤγουν ἀνδρεῖοι καὶ σοφοί, τουτέστι φρόνιμοι κατὰ δαίμονα, ἀντὶ τοῦ κατὰ μοῖραν θειαν· ἐπεὶ εἰ μὴ ἐγένοντο δηλονότι κατὰ μοῖραν θείαν φρόνιμοι καὶ ἀνδρεῖοι, πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος ἐτίναξεν, ἤγουν σφοδρᾷ ὁρμῇ ἐνίκησε διὰ τῶν χειρῶν τὴν σκυτάλην, τουτέστι τὴν ῥάβδον, τὸ ῥόπαλον ὁπηνίκα ὁ Ποσειδῶν στὰς ἤρειδεν, ἀντὶ τοῦ ἐπίεζεν αὐτὸν ἀμφὶ τὴν Πύλον, ἀντὶ τοῦ κατὰ τὴν Πύλον, ἐπιεζέ τε αὐτὸν ὁ Φοῖβος δι' ἀργυροῦ τόξου, πολεμῶν αὐτῷ δηλονότι.

42. Κατὰ δαίμον' ἄνδρες.] Ἀγαθοί, φησίν, ἄνδρες κατ' ἀνδρείαν καὶ σοφοὶ κατὰ σύνεσιν ἐκ θεοῦ μοίρας ἐγένοντο· τοῦτο δὲ παραδεικνὺς παραβάλλει τὸν Ἡρακλέα ὅτι εἰ μὴ κατὰ θεοῦ μοῖραν ἐγεγόνει τοιοῦτος οὐκ ἄν ποτε ὑπέστη ἀντιστῆναι Ἀπόλλωνι καὶ Ποσειδῶνι καὶ Ἅιδῃ Ἡρακλῆς.

43. Ἐπεὶ ἀντία πῶς ἂν τριόδοντος ἕως θνασκόντων.] Τίνες εἰσὶν αἱ αἰτίαι, δι' ἃς ἐπολέμησε τοῖς τρισὶ θεοῖς ὁ Ἡρακλῆς; πρὸς τὸν Ποσειδῶνα μὲν προϊστάμενον Πυλιων· ἐπολέμει γὰρ Ἡρακλῆς τοῖς Πυλίοις διὰ ταύτην τὴν αἰτίαν· ἀνελών τινα Τραχίνιον καὶ φεύγων τοῦ φόνου τὸ μῦσος, ἔρχεται πρὸς Νηλέα ἐπὶ τῷ καθαρθῆναι τοῦ φόνου ὡς οὖν οὐκ ἐπέτρεψεν, ἐκίνησε πρὸς Νηλέα πόλεμον· ὁ οὖν Ποσειδῶν ὡς

НБ ОНУ імені І.І. Мечникова

ὑπὲρ παιδὸς ἐμαχέσατο τῷ Ἡρακλεῖ· Νηλεὺς γὰρ καὶ Πελίας Τυροῦς καὶ Ποσειδῶνος· υἱοί· πρὸς δὲ Ἀπόλλωνα οὕτω καὶ διὰ τοιαύτην αἰτίαν· εἰς γὰρ τὴν Πυθῶνα παρεγένετο μαντευτόμενος περί τινος· ἔφη οὖν αὐτῷ ἡ Πυθία, μὴ παρεῖναι τὸν Θεὸν μηδὲ χρησμῳδεῖν· ὀργισθεὶς οὖν ἐπὶ τούτῳ ὁ Ἡρακλῆς ἥρπασε τὸν μαντικὸν τρίποδα καὶ πρὸς αὐτὸν εἵλετο τὴν μάχην· πρὸς δὲ τὸν Ἅιδην διὰ τοῦτο· ἐπιταχθεὶς γὰρ τὸν Κέρβερον κύνα ἀγαγεῖν ὑπὸ τοῦ Εὐρυσθέως, εἶτα διακωλυόμενος, ἐτόλμησε καὶ πρὸς τὸν Ἅιδην· αἱ δὲ μάχαι αἱ πρὸς τοὺς Θεοὺς ἐν διαφόρῳ χρόνῳ τῷ Ἡρακλεῖ γεγόνασιν. Ἄλλως· ἰδίως κἀνταῦθα ὁ Πίνδαρος τὸν Ἡρακλέα φησὶ τοῖς τρισὶ πολεμῆσαι Θεοῖς· δεδόσθω γὰρ αὐτῷ, φησὶν ὁ Δίδυμος, περὶ τὴν ὑπὸ τῷ Νέστορι Πύλον συστῆναι τὸν πόλεμον, Ὁμήρου (Ἰλιάδ. ε, 397.) τὴν ἐν ᾅδου πύλην νεκύων εἰπόντος. Ἐν πύλῳ, ἐν νεκύεσσι βαλών· εἴη δ' ἂν νῦν ὁ Πίνδαρος τὰ καὶ τόποις καὶ χρόνοις διεστῶτα εἰς ἕνα καιρὸν ἄγων ἕνεκα τοῦ μειζόνως ἢ ὡς ἔσχε ταῖς ἀληθείαις τὸν Ἡρακλέα ἔχειν ἐπαινεῖν. Ἀπόλλωνι μὲν γὰρ ὁ Ἡρακλῆς ἐν Πυθοῖ μάχεται περὶ τρίποδος, οὐκ ἀμύνων τῇ Πύλῳ, τῷ Ἅιδῃ δὲ, ὅτε τὸν Κέρβερον ἀνήγαγε, Ποσειδῶνι δὲ ἀμύνοντι Πύλῳ. Ἄλλως· Ἐπεὶ ἀντίον.] Ἐπεὶ εἰ μὴ ἐκ Θεῶν ἦν τὰ κάλλιστα τοῖς ἀνθρώποις, πότε ἂν ἠδυνήθη Ἡρακλῆς τῷ ῥοπάλῳ ἀντιμάχεσθαι πρὸς τὴν τοῦ Ποσειδῶνος τρίαιναν καὶ νικῆσαι, ἡνίκα ὁ Ποσειδῶν στὰς περὶ τὴν Πύλον διεκώλυε τὸν Ἡρακλέα καὶ ἐπολέμει; τὸν Ἡρακλέα φασί τινα Τραχίνιον περονευκέναι, εἶτα εἰς Πύλον ἀποδημήσαντα τῆς πατρίδος πρὸς τὸ τοῦ μιάσματος καθαρθῆναι μὴ παραδεχθῆναι ὑπὸ τοῦ τῆς Πύλου, τῆς τοῦ Νέστορος, Νηλέως ἄρχοντος· ἐπὶ τούτῳ διωκόμενον ἆραι χεῖρας κατὰ τοῦ ἄρχοντος· τοῦ δὲ Νηλέως υἱοῦ Ποσειδῶνος τυγχάνοντος, ἐπὶ ἐνδικήσει τοῦ παιδὸς ἐλθεῖν, καὶ οὕτως Ἡρακλέα θάρσους ἐμπλησθέντα τολμῆσαι καὶ κατ' αὐτοῦ καίπερ Θεοῦ τυγχάνοντος τῇ οἰκείᾳ δυνάμει χρήσασθαι. — Ἱστορία περὶ Ἡρακλέους. Τραχινιόν τινα ἀνελὼν Ἡρακλῆς προστάξαντος Ἀπόλλωνος ἔρχεται εἰς Νηλέα τὸν Ποσειδῶνος, ἵνα ὑπ' αὐτοῦ καθαρθείη τοῦ φόνου· μὴ βουληθέντος οὖν τοῦ Νηλέως πόλεμον συνέστησε πρὸς αὐτὸν Ἡρακλῆς καὶ πρὸς τὸν τούτου πατέρα Ποσειδῶνα τῷ παιδὶ συμμαχοῦντα. Ἕτερα περὶ αὐτοῦ· ἐλθὼν εἰς Πυθίαν Ἡρακλῆς ὑπὲρ τούτου χρησόμενος τῷ Ἀπόλλωνι ἤκουσε παρὰ τῆς Πυθίας μὴ εἶναι τὸν Θεὸν ἐνταῦθα μηδὲ μαντεύεσθαι· ὀργισθεὶς ἐπὶ τούτῳ

τὸν τρίποδα λαθὼν ἔῤῥιψεν, ὥσπερ μάχην ἐντεῦθεν ἀνταίρων πρὸς τὸν Θεόν. Ἕτερα περὶ αὐτοῦ. Ἐπολέμησε πρὸς τὸν Ἀιδην Ἡρακλῆς, ὅτε ἀπελθὼν τὸν Κέρβερον λαβεῖν ἐκωλύετο παρ' αὐτοῦ· λέγει οὖν, πῶς ἂν Ἡρακλῆς ταῦτα ἐποίησε, μὴ ὑπο Διὸς τοιοῦτος γεγονώς; δέον εἰπεῖν βροτῶν πρὸς τὸ θνησκόντων, βρότεα εἶπε πρὸς τὰ σώματα.

45. Σκύταλον.] Ῥοπάλην.

46. Ἀνίκ' ἀμφὶ Πύλον.] Ὅτι παρακηκόει Ὁμήρου λέγοντος· Ἐν πύλῳ ἐν νεκύεσσι· διὸ καὶ μεμυθολόγηκε τὰ περὶ τὴν Πύλον τοῦ Νέστορος. Ὅμηρος δὲ οὐκ ἐν Πύλῳ λέγει τῇ πόλει, ἀλλ' ἐν πύλῃ τῇ τοῦ ᾅδου φησὶν αὐτὸν μάχεσθαι.

50. Ἀΐδας.] Οὗτος ὁ Ἄιδης βασιλεὺς ἦν τῶν Μολοσσῶν, ὃς εἶχε τὸν κύνα τὸν καλούμενον Κέρβερον. — Οὐδ' Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον.] Τῇ ῥάβδῳ κέχρηται καθάπερ ὅπλῳ τινὶ· βίαν μὲν οὐδεμίαν παρεχομένῃ, καθάπερ ἡ τριόδους ἢ ξίφος ἢ ὄρυ, ἀλλὰ δυνάμει συνεχρῆτο θελκτικῇ καὶ μαλακτικῇ τῆς ψυχῆς· ταύτῃ γοῦν φησι καὶ τὰς ψυχὰς αὐτὸν κατάγειν ἐπὶ τοῦ Ἡρακλέους οὖν ὁ Ἄιδης ἔρῳ διὰ τῆς ῥάβδου ταύτης οὐδὲν ἠδύνατο δρᾶσαι, διὰ τὸ τὴν δύναμιν αὐτοῦ ὑπὸ τοῦ Διὸς ἀμβλυνθῆναι ἀπὸ κοινοῦ δὲ, εἰμὴ κατὰ δαίμονα ἄνδρες ἐγένοντο, οὐκ ἂν οὐδὲ Ἄιδης ἀσθενῆ καὶ ἀκίνητον διαμαχόμενος Ἡρακλεῖ εἶχε ῥάβδον, ἐν ᾗ ῥάβδῳ τὰ τῶν ἀνθρώπων σώματα ἀσθενῆ ποιῶν οὕτως εἰς τὸν κοῖλον τόπον τοῦ ᾅδου κατάγει τῶν τελευτώντων· ὅτι δὲ καὶ θελκτικὴ ἡ ῥάβδος καὶ κατοργάσασθαι δύναται, Ὅμηρος (Ἰλ. ω, 343. Ὀδυσ. ε, 47.) φησὶν ἐπὶ τοῦ Ἑρμοῦ·

Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.

— † Σύνταξις. Οὐδ' Ἀΐδας ἀκινήταν.] Οὐδὲ ὁ Ἄιδης εἶχεν ἀκίνητον, ἤγουν ἀνενέργητον τὴν ἑαυτοῦ ῥάβδον, δι' ἧς κατάγει τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἀγυιὰν, ἤτοι τὴν ὁδὸν τὴν στενωπὸν τὴν κοίλην τῶν ἀποθνησκόντων, τουτέστι τὰς καταδύσεις τῆς γῆς, ἃς οἱ ἀποθνήσκοντες διέρχονται· συναπτει μὲν τὴν μάχην τῶν Θεῶν τούτων τὴν πρὸς τὸν Ἡρακλέα, ἀντιτάττει δὲ αὐτὸν τῇ τριαίνῃ μόνῃ τοῦ Ποσειδῶνος, ἀφ' ἧς συνυπακούειν δίδωσι καὶ τὴν πρὸς τοὺς ἄλλους αὐτῷ ἀντιπαράταξιν καὶ ἰσχύν· ὁ γὰρ λόγος αὐτῷ σαφέστερον οὕτως ἔχει· ἐπεὶ πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος τὸ ἑαυτοῦ ῥόπαλον ἐκίνησεν, ὁπηνίκα ὁ Ποσειδῶν ἐπίεζεν αὐτὸν καὶ ὁ Φοῖβος καὶ

ὁ Ἀιδης διὰ τῆς ἑαυτοῦ ῥάβδου; ἀγαναχτῶν δὲ ποὸς τοῦτον τον λόγον ὡς προκρούοντα τοῖς Θεοῖς ἀναστέλλει ἑαυτὸν μὴ λέγειν τοιαῦτα καὶ φησιν· ἀπόῤῥιψον, ἤγουν ὡς βάρος ἀπόθου, ὡς ἐπιβλαβῆ ἔασον τοῦτον τον λόγον, ὦ στόμα ἐμον· ἐπεὶ τό γε λοιδορῆσαι Θεοὺς, τουτέστι τὸ βλάσφημα περὶ Θεῶν εἰπεῖν, ἐχθρὰ σοφία, ἤγουν μεμισημένη, καὶ τὸ καυχᾶσθαι ἔξω τοῦ καιροῦ, τοῦτο δὲ οὐκ ἐπεὶ Χαρίτων εἶπε κἄπον νέμεσθαι, μανίαις ὑποκρέκει, ἀντὶ τοῦ συνᾴδει, τουτέστι μανία ἐστὶν ἴσον.

53. Κοίλαν πρὸς ἀγυιάν.] Ὥσπερ παρὰ τὸ αἶθω αἴθυια, οὕτω παρὰ τὸ μύω μυῖα, καὶ παρὰ τὸ ἄγω ἀγυιὰ λέγοι ἂν οὖν τὸν Ἀιδην, ὅτι ἐκεῖ ἄγονται οἱ ἄνθρες.

54. Ἀπό μοι λόγου τοῦτον, στόμα, ῥῖψον.] Ἀπόῤῥιψόν μοι τοῦτον τον λόγον, ὦ στόμα, παῦσαι τοῦ λέγειν τοιαῦτα περὶ Θεῶν· τὸ γὰρ βλασφήμως ἐχόμενα λέγειν περὶ Θεῶν, ἀλλότριον τοῖς σοφοῖς, ἀνοήτος δὲ οἰκεῖον· σοφία μὲν γὰρ οἶδε τὰ γεγιὼτκειν τα παλαιὰ καὶ ταῦτα ἑρμηνεύειν τεχνικῶς διασκευάζουσα, τὸ δὲ πρὸς λοιδορίαν ἔλκειν τὰ ποιήματα οὐχ' ὅσιόν ἐστιν, ὡς διορίζεται διὰ ἐχθρὰν σοφίαν αὐτὴν ὀνομάζει. — Ἀπό μοι λόγον.] Τό μοι οὐκ ἔστι πρὸς τὸ στόμα, ὡς οἴονταί τινες, ἀλλ' ἔστι πρὸς τὸ ῥῖψον, καὶ ἔστιν ὅμοιον τῷ Ἀφαιρώσοι τὴν νόσον.

55. Ῥῖψον.] Ὡς βλαβερόν.

56. Ἐπεὶ τό γε λοιδορῆσαι.] Διότι ἄνδρα ὄντα τὸν Ἡρακλέα τοιῶν Θεῶν ἀπέδειξεν ὄντα βελτίονα.

57. Ἐχθρὰ σοφία.] Τὸ ἄκρα ἐπὶ σοφίᾳ καυχᾶσθαι πάντα μανίας μετέχει.

58. Τὸ καυχᾶσθαι παρὰ καιρόν.] Τὸ γοῦν ἐπὶ ταῖς οὕτως ἀκράτως ἀναγκαίαις διαγήσεσι καυχᾶσθαι καὶ σεμνύνεσθαι μανίας ὅμοιόν ἐστι τοῦτο· δὲ εἴρηκε, παρόσον ἀσεβεῖν δόξει, ἐὰν τὸν Ἡρακλέα ἐγκωμιάζῃ ἐπὶ τῷ τοὺς Θεοὺς νενικηκέναι.

59. Μανίαις ὑποκρίκει.] Συμφωνεῖ, οἷον ἐνδόσιμόν ἐστιν. Ἄλλως· ὑποκρένει, ὑπηχεῖ, προσεπαινεῖ· ὑποκρέκειν γὰρ κυρίως ἐστὶ τὸ ἠσκημένως ὑπηχεῖν ἐν τῷ ἁρμόζειν τὴν κιθάραν ὑποτρετιζει οὖν, ἐνδόσιμός ἐστι μανία· ἡ μεταφορὰ οὖν ἀπὸ τῶν τῆς κιθάρας κρουμάτων· πρότερον γὰρ τῆς κιθάρας ἁρμόζομενοι ὑποκρίκουσιν, ἔπειτα δὲ τέλεον κιθαρίζουσιν.

60. Μὴ νῦν λαλάγει τὰ τοιαῦτα.] Ἀντὶ τοῦ μὴ τοίνυν θαρρεῖ καὶ τὰ τοιαῦτα φυάρει, ἀλλ' ἀπόῤῥιψον καὶ ἔα καὶ μὴ μέμνητο πολέμων καὶ μαχῶν· τὰ γὰρ τοιαῦτα κε-

χώρισται καὶ πόῤῥω ἐστὶ τῶν θεῶν· μὴ λέγε τοῦτο, ὅτι οἱ θεοὶ μετέχουσι τῶν πολέμων καὶ μάχης· φιλόθεος γὰρ ὁ Πίνδαρος. † Σύνταξις. Μὴ νῦν λαλάγει.] Μὴ νῦν, ὦ στόμα δηλονότι, λαλάγει, ἤγουν λήρει τὰ τοιαῦτα· ἔα πάντα πόλεμον καὶ πᾶσαν μάχην χωρίς, ἤτοι μακρὰν τῶν θεῶν· φέροις δὲ, ἀντὶ τοῦ φέρε, κίνει, τὴν γλῶσσαν πρὸς τὸ ἄστυ τῆς Πρωτογενείας τῆς θυγατρὸς τοῦ Ὀποῦντος, τοῦ καὶ Δευκαλίωνος· ὅπου, ἤγουν ἐν τῇ Ὀποῦντι, ἡ Πύῤῥα καὶ ὁ Δευκαλίων ἀπὸ τοῦ Παρνασοῦ καταβάντες τῇ αἴσῃ, ἀντὶ τοῦ τῇ προστάξει, τῇ βουλῇ τοῦ Διὸς τοῦ αἰολοβρόντου, ἤγουν τοῦ τῶν ταχέως κινουμένων βροντῶν αἰτίου οἶκον ἐποίησαν τὴν ἀρχήν· χωρὶς δὲ συνδυασμοῦ γενεὰν ἐκτησάσθην, ἤγουν ἐκτήσαντο, ἔσχον, λιθίνην, τουτέστιν ἀπὸ λίθων, ὁμόδημον, ἤτοι ὁμογενῆ· λαοὶ δὲ ὠνομάσθησαν, ἡ γενεὰ δηλονότι πρὸς τὸ σημαινόμενον ἡ ἀπόδοσις.

61. Ἔα.] Κατάλειψον.

62. Φέροις δὲ Πρωτογενείας.] Φέροις δὲ μᾶλλον, ὦ στόμα, καὶ λέγοις τὰ περὶ τῆς πόλεως τῆς ἀπὸ Πρωτογενείας, λέγει δὲ τῆς Ὀποῦντος· ὑμνοίης δὲ, φησὶ, τὸ τῆς Πρωτογενείας ἄστυ· ἐκ ταύτης γὰρ γίνεται Ὀποῦς, κατ' ἐπίκλησιν μὲν Λοκροῦ, γόνῳ δὲ Διός· Πρωτογένεια δὲ Δευκαλίωνος καὶ Πύῤῥας· ὁ μέν τοι Πίνδαρος Πρωτογένειαν Ὀποῦντος ἱστορεῖ ἐν τοῖς ἑξῆς.

64. Ἵν' αἰολοβρόντα Διὸς αἶσα.] Καλῶς τοῦ κατάκλυσμοῦ μεμνημένος αἰολοβρόνταν εἶπε τὸν Δία· ἵν' οὖν ἐν τῇ Ὀποῦντι, λέγει· ἐκεῖ γάρ φησι Δευκαλίωνα καὶ Πύῤῥαν οἰκῆσαι, ὧν θυγάτηρ Πρωτογένεια· Ἀπολλόδωρός φησιν, οὐκ ἐν Ὀποῦντι, ἀλλ' ἐν Κύνῳ τὸν Δευκαλίωνα καὶ τὴν Πύῤῥαν οἰκῆσαι· ἡ δὲ Πύῤῥα καὶ Δευκαλίων ἐκ τοῦ Παρνασοῦ ἐλθόντες ἐν τῇ λάρνακι πρῶτον ᾤκησαν ἐν τῇ Ὀποῦντι πλησίον Παρνασοῦ· ἔνιοι δὲ οὐκ ἐν Ὀποῦντί φασι Δευκαλίωνα καὶ Πύῤῥαν οἰκῆσαι· ὁ γὰρ Ἀπολλόδωρος οὕτω γράφει· οἰκῆσαι δὲ ἐν Κύνῳ τὸν Δευκαλίωνα λέγεται καὶ τὴν Πύῤῥαν, καὶ τὴν Πρωτογένειαν ἐκεῖ τετράφθαι φασίν· ἱστορεῖ δὲ ταῦτα καὶ Ἑλλάνικος· δυσχεραίνοι δ' ἄν τις, πῶς τινες φασι Πύῤῥας καὶ Δευκαλίωνος εἶναι Πρωτογένειαν, τοῦ Πινδάρου ἐξ Ὀποῦντός τινος Ἠλείου λέγοντος αὐτὴν γεγενῆσθαι· ὁ δὲ Ἑλλάνικος καὶ τὴν λάρνακα οὐ τῷ Παρνασῷ φησι προσενεχθῆναι, ἀλλὰ περὶ τὴν Ὄρθρυν τῆς Θεσσαλίας. Ἄλλως· ἔνθα, ἐν ᾗ Ὀποῦντι, κατὰ βούλησιν τοῦ Διὸς, ὅ τε Δευκαλίων καὶ ἡ Πύῤῥα ἀπὸ τοῦ ὄρους τοῦ Παρνασοῦ καταβάντες κατῴκισαν

ἑαυτοῖς οἰκίαν· ὅτε γὰρ ὁ κατακλυσμὸς, ἀνῆλθεν εἰς τὸν Παρνασόν· ὄρος δὲ ἔστι πάντων ὑψηλότατον. Πρωτογένεια δὲ κατὰ μέν τινας Προμηθέως, κατὰ δὲ ἑνίους Ὀπούντος τοῦ ἐν Ἠλίδι ποταμοῦ· ἐκ ταύτης καὶ Διὸς Ὀπούς ἡ πόλις τῶν Ὀπουντίων· ἵν' οὖν δείξῃ τὸ εὐγενὲς τῆς μητρὸς, λέγει τὴν πόλιν τῆς Ὀπούντος Πρωτογενείας.

68. Ἄτερ δ' εὐνᾶς.] Οἱ προειρημένοι Δευκαλίων τε καὶ Πύρρα χωρὶς κοίτης καὶ μίξεως ὁμοίου καὶ ἴσου γένος δήμου ἐποιήσαντο ἐκ λίθων βολῆς· οἱ γὰρ πεμπόμενοι εἰς τὰ ὄπισθεν λίθοι παρ' αὐτῶν ἄνθρωποι ἐγίνοντο· διὰ τοῦτο καὶ λαοὶ οἱ ὄχλοι, ἀπὸ τοῦ λᾶας. Πύρρα δὲ γυνὴ Δευκαλίωνος· ἐξάδελφοι δὲ οὗτος Ἰαπετοῦ γὰρ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεὺς δύο ἀδελφοὶ, καὶ ἐκ μὲν Προμηθέως καὶ Κλυμένης Ἕλλην, ἀφ' οὗ καὶ Ἕλληνες, καὶ Δευκαλίων. Πύρρα δὲ ἡ Δευκαλίωνος γυνὴ, θυγάτηρ Ἐπιμηθέως καὶ Πανδώρας· καὶ ὁ μὲν Ἐπίχαρμος ἀπὸ τῶν λάων, τῶν λίθων, λαοὺς τοὺς ὄχλους φησὶν ὀνομάσθαι Φιλόχορος (Ὠδ. σ. 17.) δὲ φησι Κέκροπα βουλόμενον τὸν τῶν Ἀθηναίων δῆμον καὶ τὸ πλῆθος ἐπιγνῶναι, κελεῦσαι αὐτοὺς λίθους λαβεῖν καὶ ἐνεγκεῖν εἰς τὸ μέτρον, ἐξ ὧν γνῶναι δισμυρίους αὐτοὺς ὄντας· ἀπὸ Κέκροπος οὖν τοὺς ὄχλους λαοὺς ὀναμασθῆναι. Ἄλλως· κατηκολούθησε τοῖς μυθογράφοις εἰρηκόσι λαοὺς τοὺς ἀνθρώπους παρωνομάσθαι διὰ τὸ ἐκ λίθων γενέσθαι·

Ἐκ δὲ λίθων ἐγένοντο βροτοὶ, λαοὶ δὲ καλεῦντο.

διὸ φησιν ὁ Πίνδαρος ἄνευ συνουσίας αὐτοὺς κτήσασθαι λίθινον γόνον.

70. Λίθινον γόνον.] Κοινὰ τὰ περὶ Δευκαλίωνα καὶ Πύρραν, καὶ ὅτι τοὺς λίθους κατόπιν ῥίπτοντες ἀνθρώπους ἐποίουν, μαρτυρεῖ Ἀκουσίλαος.—Ἱστορία περὶ τοῦ Δευκαλίωνος κατακλυσμοῦ. Τὸν ἐπὶ τῷ Νῶε κατακλυσμὸν Ἕλληνες ἐξ ἡμῶν κεκλοφότες οὕτω φασί. Διὸς τὴν γῆν κατακλύσαντος Δευκαλίων καὶ Πύρρα ἐν τινι κιβωτίῳ εἰσελθόντες οὕτω μετεωρίσθησαν ὑπὸ τοῦ ὕδατος ὑπεράνω τοῦ Παρνασσοῦ, κατὰ δέ τινας ὄρους Λυκωρέως καλουμένου· πεπαυμένου δὲ τοῦ ὕδατος ἐξελθόντες τοῦ κιβωτίου προσετάχθησαν ὑπὸ τοῦ Διὸς τὰ τῆς μητρὸς αὐτῶν ὀστᾶ ὄπισθεν ῥίπτειν· οὐκ ἄλλην δὲ ἢ τὴν γῆν μητέρα ὑποτοπάσαντες, λίθους λαβόντες ὄπισθεν αὐτῶν ἔρριπτον· καὶ οὓς μὲν ἡ Πύρρα ἔρριπτε γυναῖκες, οὓς δὲ ὁ Δευκαλίων ἄνδρες ἐγένοντο· ὅθεν ἐστὶ καὶ τὸ λαὸς ὄνομα· λᾶς γὰρ ὁ λίθος.

72. Ἔγειρ' ἐπέων σφιν οἶμον.] Τὸν τῶν ἐπέων λιμένα· καθόρμισον εἰς τὸν ὕμνον τοῦτον· ἔγειρ' ἐπέων σφιν οἶμον· τοῖς ἀπὸ Δευκαλίωνος καὶ τοῦ Λοκροῦ, ὡς τοῦ νικηφόρου ἀπογόνου ὄντος Δευκαλίωνος· τὸν δὲ κατὰ Δευκαλίωνα λόγον ὡς κοινὸν ὄντα παραιτεῖται λέγειν φησὶν οὖν· ἔγειρε καὶ ἵστα καὶ παῦε τὴν ὁδὸν ταύτην τὴν ἡδεῖαν τῆς μυθολογίας· λιγὺν δὲ εἶπε τῇ ἀκοῇ μόνῃ· προσήκει γὰρ ἐπαινεῖν οὐ τὰ παλαιὰ διηγήματα ἀλλὰ παλαιὸν μὲν οἶνον ἐπαίνει, λόγων δὲ νεαρῶν καὶ προκειμένων τὰς ὑποθέσεις καὶ τὰ ἄνθη· ἄνθη δὲ νῦν τὰς πράξεις· εἶτα πάλιν ὃ παρῃτήσατο, ἐκ περιουσίας διηγεῖται. Ἄλλως. Ἔγειρ' ἐπέων.] Ἐπανάληψις τοῦ λόγου· λέγει γὰρ τὴν πρώτην πλημμυρίαν τοῦ ὕδατος Δευκαλίωνος· ἐπέων οἶμον δὲ, τὸν ὕμνον. — Ἔγειρ' ἐπέων.] Τοῦτο λέγει, ὅτι ἑατέον τοὺς περὶ τούτου λόγους· ἔστι δὲ ἡ τοιαύτη σύνταξις ὁμοία τῇ ἄνω, τῷ Ἀπό μοι λόγον τοῦτον, στόμα, ῥίψον οὕτω δὲ παραιτούμενος λέγει περὶ τούτων πάλιν ἐπιχειρεῖ λέγειν· δέον δὲ λιγέως εἰπεῖν, ἀντὶ τοῦ ταχέως ἔγειρε λιγὺν εἶπε πρὸς τὸν ὕμνον· τὸ αἴνει καὶ πρὸς τὸ ἄνθεα λάμβανε· αἴνει ἄνθεα νεωτέρων ὑμνων, ἤτοι νεωτέρους ὕμνους, περιφραστικῶς· λέγει δὲ, ὅτι τὰ νέα ὑμνεῖν κρεῖττον. Σύνταξις. Ἔγειρ' ἐπέων.] Ἀντὶ τοῦ κίνησον, ὦ στόμα, χάριν αὐτῶν, τῶν Ὀπουντίων δηλονότι τῶν ἀπὸ τοῦ Δευκαλίωνος, ὁδὸν ἐπῶν λιγεῖαν, ἤγουν ἐμμελῆ· ἐπαίνει δὲ οἶνον μὲν πολυετῆ, ἄνθη δὲ, ἀντὶ τοῦ ἀνθηρότητα, λαμπρότητα ὕμνων νεωτέρων, τουτέστι καινοτέραν ὁδὸν ἐχόντων· λέγουσι δὴ κατακλύσαι μὲν, ἤγουν καταπιοντίσαι καλύψαι, τὸ σθένος τοῦ ὕδατος, ἀντὶ τοῦ τὸ ὕδωρ περιφραστικῶς, τὴν γῆν τὴν μέλαιναν, ἀλλὰ διὰ τῶν τεχνῶν τοῦ Διὸς, ἤγουν τῶν μηχανῶν, τῶν δυνάμεων, ἀνάπωσιν λέγουσιν ἐξαίφνης, ἤγουν ἀναῤῥόφησιν, συστολὴν τῆς ἀναχύσεως καὶ εἰς τὴν γῆν αὖθις κατάδυσιν λαβεῖν τὸ ἄντλον, τουτέστι τὸ πλῆθος τοῦ ὕδατος. † Ὦ Ἐφάρμοστε, οἱ ὑμέτεροι πρόγονοι ἐξ ἀρχῆς οἱ ὄντες καὶ ὑπάρχοντες ἐκ τῆς φυτείας καὶ τῆς γενεᾶς Ἰαπετιονίδαι, οἱ κοῦροι καὶ παῖδες ἐκείνων τῶν κόρων καὶ κορασίων Κρονιδῶν καὶ τοῦ Κρόνου φερτάτων καὶ καλλίστων ἀεὶ καὶ διαπαντὸς ἄνωθεν καὶ ἐξ ἀρχῆς ἦσαν καὶ ὑπῆρχον βασιλεῖς χαλκάσπιδες καὶ ὡπλισμένοι, ἤτοι πολεμικοί. Ἱστορία, ὅθεν Δευκαλίων καὶ Πύῤῥα. Ἰαπετοῦ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεύς. Προμηθέως καὶ Κλυμένης ὁ Δευκαλίων ὁ καὶ Ὀποῦς κα-

λούμενος, Ἐπιμηθέως καὶ Πανδώρας Πύρρα, Πύρρας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια, ἣν ἔγημε Λοκρός· διὰ δὲ τὸ μὴ ποιεῖν ὑπ' αὐτοῦ παῖδας, ἵνα μὴ χωρὶς διαδόχου ἀπέλθῃ Λοκρὸς, ἁρπάζεται Πρωτογένεια ἐκ Διὸς, ἣ συνελθὼν ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας καὶ ἐγκύμονα ποιήσας ἐπανάγει πάλιν αὐτὴν πρὸς Λοκρὸν, ὃς τὸ γεννηθὲν ὑπ' αὐτῆς παιδίον Ὄποῦντα ἐκάλεσε συνώνυμον Ὀποῦντι τῷ καὶ Δευκαλίωνι, τῷ Πρωτογενείας πατρί. — Ἰαπετὸς ἐγέννησε Προμηθέα καὶ Ἐπιμηθέα· ἐκ γοῦν τοῦ Προμηθέως ἐγεννήθη Δευκαλίων, ἐκ δὲ τοῦ Ἐπιμηθέως τοῦ καὶ Ὀποῦντος ἐγεννήθη ἡ Πύρρα, ἐκ δὲ τῆς Πύρρας καὶ Δευκαλίωνος ἡ Πρωτογένεια· ἐκ ταύτης δὲ καὶ τοῦ Διὸς ὁ Ὀποῦς, ἀφ' οὗ ἡ πόλις Ὄποῦς, μητρόπολις τῶν Λοκρῶν.

74. Ἄνθεα δ' ὑμνων.] Τὰς ὑποθέσεις· ταῦτα δὲ πρὸς Σιμωνίδην αἰνίττεται· καὶ Ὅμηρος· (Ὀδυσ. α, 351.)

Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

σκεῖ δὲ τοῦτο πρὸς τὸ Σιμωνίδειον εἰρῆσθαι· ἐπεὶ ἐκεῖνος ἐλασσωθεὶς ὑπὸ Πινδάρου λοιδορίας ἔγραψε κατὰ τοῦ κρίναντος ἀγαθῶν ᾠδῶν· ἐπειδὴ ἐκεῖνος εἶπεν. Ἐξελέγχει ὁ νέος οἶνος οὕτω πέρυσι δῶρον ἀμπέλου· ὁ δὲ μῦθος ὅδε κενεόφρων· διὰ τοῦτο ὁ Πίνδαρος ἐπαινεῖ παλαιὸν οἶνον. — Ἄνθεα.] Μέλος· σύνθεσιν.

77. Σθένος.] Δύναμις. — Ἀλλὰ Ζηνὸς τέχναις ἄμπωτιν.] Ἤτοι ἀνάπωσιν· ἄμπωτις δὲ κυρίως ἡ αἰφνίδιος ὑποχώρησις ἡ ἐκ πλημμύρας τῶν ἐν Σαλάσσῃ ὑδάτων ὡς ἐν Λιβύῃ λέγεται· τέχναις δὲ, μηχαναῖς καὶ βουλήσεσι Διός. Ἄλλως· ἄμπωτιν νῦν λέγει τὸ γενόμενον πεδίον ἐκ τῆς τότε πλημμυρίδος ἀναπεθέντος τοῦ ὕδατος· τὸν δὲ κατακλυσμὸν γενηθῆναι, οἱ μὲν διὰ τὸ Πέλοπος ἆγος, ὅτι ἐκρεουργήθη, οἱ δὲ διὰ τὸ περὶ τὸν Λυκάονος παῖδα Ἄζανα ἀτέθμητα, τοῦ Διὸς βουλομένου πάντα τῆς γῆς ἀποκαθᾶραι ἀσεβήματα.

79. Ἄντλον ἐλεῖν.] Ἄντλον τὴν χύσιν καὶ τὴν ῥύσιν λέγει τοῦ ὕδατος, ἣν ἡ ἄμπωτις ἀνεξήρανε, παρὰ τὸ ἀντλεῖσθαι. Ὅμηρος. (Ὀδυσ. ο, 478.) Ἄντλῳ δ' ἐνδυόμενος πεσοῦσα. — Κείνων δ' ἔσαν.] Λοιπὸν ὡς πρὸς τὸν Ἐφάμοστόν φησιν· ἀπ' ἐκείνων δὴ ἦσαν οἱ πρόγονοι ὑμῶν οἱ πολεμικώτατοι ἐξ ἀρχῆς γενόμενοι, ἐκ τῆς γενεᾶς τῆς τοῦ Προμηθέως Ἰαπετιονιδοῦ. Ἰαπετοῦ γὰρ Προμηθεὺς, ἐξ οὗ καὶ Κλυμένης γίνεται Δευκαλίων, ἐξ οὗ Πρωτογένεια· πάλι-

Ἰαπετοῦ Ἐπιμηθεύς, ἐξ οὗ καὶ Πανδώρας Πύῤῥα. Πύῤῥας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια, ἧς καὶ Διὸς Ὀπούς, ἐξ οὗ Ὀπούντιος οἱ ὄντες ἀπόγονοι τῆς κόρης τῆς Πρωτογενείας καὶ τοῦ ἀρίστου Κρονίδου, τουτέστι τοῦ Διός, διαπαντὸς τῆς αὐτῶν γῆς βασιλεύοντες· τούτων φησὶν εἶναι τοὺς προγόνους τῷ Ἐφαρμόστῳ τὸ οὖν ἀπ' Ἰαπετιονίδος φυτλας καὶ φερτάτων Κρονιδᾶν ἀντὶ τοῦ τῆς Πρωτογενείας φησὶ καὶ τοῦ Διός, ἀφ' οὗ τοὺς Ὀπουντίους λέγει γεγενεῖσθαι· τὸ δὲ κοῦροι κορᾶν πληθυντικῶς εἶπεν· ἔχρῆν γὰρ ἑνικῶς εἰπεῖν· κοῦροι γὰρ κούρης, τῆς Πρωτογενείας, λέγει· κοῦροι, ὦ Ὀπούντιοι· καὶ φερτάτων Κρονιδᾶν, ἀντὶ τοῦ ἀπὸ φερτάτου Κρονίδου. Διὸς γὰρ Λοκρὸς ὁ πρόγονος αὐτῶν. — Κρονιδᾶν] Τὸ ἑνικὸν διὰ πληθυντικοῦ ἐξενήνοχεν, ἀντὶ φερτάτου Κρονίδου. Διὸς γὰρ ὁ Λοκρὸς ὁ πρόγονος αὐτῶν· κορᾶν δὲ πάλιν ἀντὶ τῆς κόρης τῆς Πρωτογενείας· ἢ ὡς καὶ Ἕλληνα φέρειν τὸ γένος ἢ ὑπὸ Δευκαλιώνος δύναται δὲ καὶ ἀπὸ τοῦ Ὀπούντος· Διὸς γὰρ ἦν ὡς φησι Πίνδαρος Θέσσι δὲ Δοκροῦ. — † Σύνταξις. Κείνων δ' ἔσσαν] Τοῦτο πρὸς τὸν Ἐφάρμοστον. Ἐξ ἐκείνων δὲ ἦταν ἀρχῆθεν οἱ ὑμέτεροι, ἀντὶ τοῦ οἱ σοὶ πρόγονοι οἱ χαλκάσπιδες, τουτέστιν οἱ πολεμισταί, λέγω τῆς γενεᾶς τῆς ἀπὸ τοῦ Ἰαπετοῦ καταγομένης κοῦροι, ἤγουν παῖδες, ἀπόγονοι τῶν κορῶν τε τῶν ἀρίστων Κρονιδῶν, ἀντὶ τοῦ καὶ τῆς κόρης, ἤγουν τῆς Πρωτογενείας, τοῦ ἀρίστου υἱοῦ τοῦ Κρόνου τοῦ Διός, ἐγχώριοι βωτιλεῖς αἰεί, ἤγουν γνήσιοι βασιλεῖς καὶ οὐκ ἐπείσακτοι κατὰ διαδοχήν.

80. Χαλκασπίδες.] Οἱ χαλκᾶς ἀσπίδας ἔχοντες.

85. Πρὶν Ὄλυμπος ἀγεμών.] Πρόσθες σύνδεσμον γάρ, ἢ συναρμοστέος ὁ λόγος τοῖς ἄνωθεν, καὶ εἰπέ πρὶν γὰρ Ὄλυμπος ἀγεμὼν τὸ γὰρ παλαιὸν ὁ Ζεὺς ἁναρπάσας τὴν Πρωτογένειαν ἡσυχον αὐτὴ ἐμιγη ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας, καὶ μετὰ ταῦτα ἐκύμανα ποιήσας ἤνεγκε τῷ Λοκρῷ, ἵνα μὴ ὁ αἰὼν καὶ ὁ χρόνος αὐτὸν ἐξέλει τῆς ζωῆς ἔρημον ὄντα παίδων καὶ γένους· ἐναντίωμα δὲ κατὰ τὴν γενεαλογίαν ἐμπίπτει· τὴν γὰρ Πρωτογένειαν οἱ μὲν Δευκαλίωνός φασιν, οἱ δὲ Ὀπούντος, καὶ δοκεῖ συμφωνεῖν μήτε ἡ γενεαλογία μήτε ἡ ἱστορία· ἄλλο γάρ τι ποταμὸς Ὀποῦς καὶ ἄλλο ἀνὴρ ἐξ Ἰαπετοῦ· ἵν' οὖν τὸ ἀσύμφωνον ἀπὸ τοῦ τοιούτου λυθῇ, φασί τινες τὸν Δευκαλίωνα δώνυμον εἶναι, καὶ τὸν αὐτὸν λέγεσθαι Ὀποῦντα, ὅπερ καὶ

πὶ τῆς Πηνελόπης· λέγεται γὰρ Ἀονέα πρότερον καλουμένη παρὰ τῶν φύντων εἰς τὴν Θάλασσαν ἀποῤῥιφῆναι, εἶτα ὑπό τινων ὀρνέων πηνελόπων καλουμένων εἰς τὴν χέρσον ἐξενεχθῆναι, καὶ οὕτως ἀναληφθεῖσαν ὑπὸ τῶν γεννησάντων ὀνομασθῆναι Πηνελόπην ἀπὸ τῆς τῶν ὀρνίθων ἐπιμελείας καὶ ὁμωνυμίας, καὶ τραφεῖσαν διώνυμον εἶναι τὸ λοιπόν. — † Σύνταξις. Ποῖν Ὀλύμπιος] Πρότερον, τὴν ἀρχὴν, ὁ βασιλεὺς ὁ ἐν τῷ Ὀλύμπῳ ὁ Ζεὺς τὴν Θυγατέρα τοῦ Ὀποῦντος τοῦ καὶ Δευκαλίωνος ἀναρπάσας, ἤγουν μετέωρον εἰς τὸν ἀέρα λαβὼν λάθρα, τοῦτο γὰρ τὸ ἕκηλος, ἀπὸ τῆς γῆς τῶν Ἐπειῶν, τουτέστι τῶν Ἠλείων, Ἐπειοὶ γὰρ ὠνομάσθησαν οἱ Ἠλεῖοι ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος, ἐμίγη αὐτῇ ἐν ταῖς ἑξοχαῖς ταῖς Μαιναλίαις, ἤγουν ταῖς τοῦ Μαινάλου, καὶ ἤνεγκε τῷ Λοκρῷ τῷ ἀνδρὶ αὐτῆς, ἵνα μὴ καθέλοι αὐτὸν, τὸν Λοκρὸν δηλονότι, ἤγουν καταστρέψειεν ὁ αἰὼν, ἀντὶ τοῦ ὁ χρόνος, ἱστερημένον γενεᾶς, πότμον ἐφάψας, ἤγουν συντυχίαν θανάτου ἐπαγαγών, ἔσχε δὲ σπέρμα μέγιστον, ἀντὶ τοῦ υἱὸν ἀπὸ σπέρματος μεγίστου ἡ γυνὴ τοῦ Λοκροῦ ἡ Πρωτογένεια εὐφράνθη τε ὁ ἥρως, ἤγουν ὁ Λοκρὸς, ἰδὼν υἱὸν τῇ ἀληθείᾳ μὲν ὄντα θετὸν υἱὸν, ἀντὶ τοῦ νόθον, ὑπ' αὐτοῦ δὲ γνήσιον νομιζόμενον, ὠνόμασε δὲ αὐτὸν οὕτως ὥστε εἶναι ἰσώνυμον, ἀντὶ τοῦ ὁμώνυμον τοῦ πάτρωος αὐτοῦ, ἤγουν τοῦ πατρὸς τῆς μητρὸς αὐτοῦ, ἤτοι τοῦ πάππου, τουτέστιν Ὀποῦντα ὠνόμασεν αὐτόν· ἰστέον δὲ ὅτι παρὰ τὴν συνήθειαν τῶν ἄλλων ἐδέξατο ἐνταῦθα οὕτως τὸ ὄνομα· μήτρωον γὰρ οἱ ἄλλοι τὸν πρὸς μητρὸς λέγουσι θεῖον· ἄνδρα ὑπέρφατον, γενόμενον δηλονότι αὐτὸν τὸν Ὀποῦντα, ἤγουν ὑπερβολικῶς θαυμαστὸν κατά τε τὴν μορφὴν, τουτέστι τὸ εἶδος, καὶ κατὰ τὰ ἔργα, ἤγουν τὰς πράξεις· τὴν πόλιν δὲ, τὴν Ὀποῦντα δηλονότι, καὶ τὸν λαὸν αὐτοῦ παρέσχεν αὐτῷ ὁ Λοκρὸς δηλονότι διαιτᾶν, ἤγουν διοικεῖν.

86. Ἀπὸ γᾶς Ἐπειῶν.] Ἐπειῶν τῶν Ἠλείων, ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος, ἢ τοῦ Ἀεθλίου τοῦ Ἐνδυμίωνος. Ἐπειοὺς τοὺς Ἠλείους, ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος κληθέντας τινὲς δὲ τὸν Ἐπειὸν Ἀεθλίου φασίν. Ὀποῦντος ἦν θυγάτηρ Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης Καμβύσην καλεῖ· διὰ τούτων οὖν ὁ Πίνδαρος τὴν Πρωτογένειαν φησιν ἐξ Ἤλιδος ἁρπασθεῖσαν εἰς Μαίναλον τῆς Ἀρκαδίας ὄρος κομισθῆναι ὑπὸ Διός. Μαίναλον δὲ ὄρος Ἀρκαδίας καὶ πόλις·

ἐνταῦθα μιχθεὶς αὐτῇ ὁ Ζεὺς ἤνεγκε τῷ Λοκρῷ, ἵν' ὡς ἑαυτοῦ ἀναθρέψῃ τὸν γεννηθέντα· τὸ δὲ Ἔνεικε Λοκρῷ, ἀντὶ τοῦ Λοκρὸς ἔσχε τὸ γένος ἐκ Διός· ἀφ' οὗ ἡ τῶν Λοκρῶν χώρα, ἧς Λοκρίδος μητρόπολις ἡ Ὀποῦς· ἐξήλλαχε δὲ τὴν ἱστορίαν ὁ Πίνδαρος· τὴν γὰρ Πρωτογένειαν οὐκ Ὀποῦντός φασιν οἱ πλείους, ἀλλὰ Δευκαλίωνος καὶ Πύρρας· ὁ Πίνδαρος τὴν Πρωτογένειαν ἁναρπασθεῖσαν ὑπὸ τοῦ Διὸς εἰς τὸ Μαίναλον τῆς Ἀρκαδίας ὄρος κομισθῆναι· τὴν δὲ Πρωτογένειαν Ὀποῦντος τοῦ Ἠλείων βασιλέως φησὶ Θυγατέρα, ἄλλων τὴν Πρωτογένειαν Πύρρας καὶ Δευκαλίωνος λεγόντων, ὡς Φερεκύδης φησὶν ἐν τῷ ε'. ἁρπάσας οὖν τὴν Πρωτογένειαν καὶ ἔγκυον αὐτὴν ποιήσας, ἵνα μὴ ὁ Λοκρὸς ἄτεκνος διατελοίη, ἔδωκε τῷ Λοκρῷ· ὁ δὲ Λοκρὸς τὸν ἀπὸ Διὸς καὶ Πρωτογενείας παῖδα ὡς ἴδιον σχὼν ὠνόμασεν αὐτὸν Ὀποῦντα ὁμώνυμον τῷ κατὰ μητέρα πάππῳ.

87. Ἑκηλος.] Ἥσυχος.

88. Μίχθη.] Μετὰ γὰρ τὸ φθαρῆναι αὐτὴν ἔγημεν ὁ Λοκρὸς. Μαίναλος υἱὸς Λυκάονος, ἀφ' οὗ τὸ ὄρος τῆς ἐν Ἀρκαδίᾳ ἱερὸν Διός. — Παῖδα γράφε διὰ τὸ μέτρον, οὐχὶ Θυγατέρα, καὶ Ὀποῦντος, οὐ μὴν Ὀπόεντος.

91. Ἐφάψας.] Ἐπικρεμάσας.

92. Ὄρφανὸν γενεᾷς.] Ἄτεκνον.

94. Εὐφράνθη τε ἰδὼν ἥρως Θέτων υἱόν.] Εὐφράνθη τε, φησὶν, ὁ Λοκρὸς Θεασάμενος τὸν παῖδα, ὃς ἦν μὲν Θέτος αὐτοῦ κατὰ φύσιν, ἐκ δὲ τῆς ἀγνοίας ἴδιος αὐτῷ ἐνομίζετο· λέγεται γὰρ ὁ Λοκρὸς ἅπαις γεγενῆσθαι καὶ τὸν ἐκ Διὸς συλληφθέντα ὑπὸ τῆς Πρωτογενείας ἴδιον νενομικέναι παῖδα· Θέτον δὲ λέγει ὁ ποιητὴς ἐκ τοῦ ἰδίου πρωσώπου· προειρήκει γὰρ ὅτι εἶχε ἡ γυνὴ Πρωτογένεια σπέρμα μέγιστον ἐκ Διός· ὁ γὰρ Λοκρὸς ἴδιον αὐτοῦ ἐνόμιζεν.

96. Μάτρωος δ' ἐκάλεσσέ μιν.] Ἠσθεὶς οὖν ὁ Λοκρὸς ἐκάλεσεν αὐτὸν, φησὶ, τοῦ πρὸς μητρὸς πάππου τὸ ὄνομα· καὶ νῦν μὲν ὁ Πίνδαρος τὸν ἐκ μητρὸς πάππον μήτρωα ὀνομάζει. Ὅμηρος δὲ καὶ οἱ λοιποὶ τὸν τῆς μητρὸς ἀδελφὸν μήτρωα καλοῦσι· φησὶ γοῦν ἐν τῇ Ἰλιάδι. (π, 717.)

Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
Αὐτοκασιγνήτης Ἑκάβης, υἱὸς δὲ Δύμαντος.

Ἄλλως· Μάτρωος δ' ἐκάλεσσέ μιν.] Ὁ Λοκρὸς τὸν Ὀποῦντα· ἦν δὲ ὁ Λοκρὸς Ἀμφικτύονος τοῦ Διός· καὶ ἐκάλεσε τοῦ μητροπάτορος ὄνομα. Ὀποῦς γὰρ ἐκαλεῖτο ὁ βασιλεὺς

τῶν Ἠλείων· ᾧ καὶ οὗτος ὁμώνυμός ἐστιν· κυρίως μήτρωες οἱ μητρὸς ἀδελφοί· νῦν δὲ τὸν τῆς μητρὸς πατέρα Ὀ. ποῦντα. — Προσέταξε, φησί, καλεῖσθαι τὸ βρέφος ὁ Λοκρὸς τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτῷ πάππου Ὀποῦντος, βασιλέως τῶν Ἠλείων· ἢ κατά τινας· προσέταξε καλεῖσθαι αὐτὸ, τὸ βρέφος, Ὀποῦντα τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτοῦ τῆς Πρωτογενείας πάππου Ἐπιμηθέως τοῦ καὶ Ὀπεῦντος.

98. Ὑπέρφατον.] Ὑπερφυᾶ καὶ μέγαν καὶ τῷ εἴδει καὶ τοῖς πράγμασιν. — Ὑπέρφατον.] Ὑπερθαύμαστον.

99. Πόλιν δ' ὥπασεν.] Ὄντι δὲ τῷ παιδὶ ἐξαιρέτῳ καὶ ἀνδρωθέντι ὁ Λοκρὸς τὴν πόλιν ἐνεχείρισε καὶ τὸν ὄχλον διαιτᾶν καὶ διοικεῖν.

101. Ἀρίκοντο.] Ἦλθον. — Ξένοι.] Φίλοι. — Ἀρίκοντο δὲ οἱ ξένοι.] Διαβοήτου δὲ τῆς τοῦ Ὀποῦντος ἀρετῆς τυγχανούσης πανταχόθεν τὰς ἰδίας αὐτῶν πατρίδας οἱ περιοικοι καταλελοιπότες πρὸς αὐτὸν ἔσπευδον· παρεγένοντο μὲν οὖν μέτοικοι πρὸς αὐτὸν ἀπό τε τοῦ Ἄργους καὶ τῶν Θηβῶν, καὶ οἱ μὲν ἐξ Ἀρκαδίας, οἱ δὲ Πισᾶται. — † Σύνταξις. Ἀ'ρίκοντο δὲ οἱ ξένοι.] Ἀφίκοντο δὲ πρὸς αὐτὸν, ἦγουν τὸν Ὀποῦντα, ξένοι καὶ ἐκ τοῦ Ἄργους καὶ ἐκ τῶν Θηβῶν καὶ Ἀ'ρκάδες, οἱ δὲ καὶ ἀπὸ τῆς Πίσης, ἦγουν Ἠλεῖοι· ἀπὸ τῶν ἐποίκων δὲ, τουτέστι τῶν ξένων τῶν κατοικησάντων ἐν τῷ βασιλευομένῳ ὑπ' αὐτοῦ τόπῳ, τὸν Μενοίτιον ἐτίμησεν ἐξάρχοις, τὸν υἱὸν τοῦ Ἄκτορος καὶ τῆς Αἰγίνης, οὗτινος τουτέστι τοῦ Μενοιτίου ὁ υἱὸς, ὁ Πάτροκλος ὀνλονότι, ἅμα τοῖς Ἀτρείδαις ἐπελθὼν εἰς τὴν γῆν τοῦ Τεύθραντος, ἦγουν εἰς τὴν Μυσίαν· ἣν τοῦ Τεύθραντος λέγει διὰ τὸ ἄρξαι αὐτῆς ποτε τὸν Τεύθραντα, τότε δὲ ἐπ' αὐτῇ ὁ Τήλεφος ἐβασίλευε· μόνος ἔστη σὺν τῷ Ἀχιλλεῖ, ὅτε ὁ Τήλεφος τρέψας τοὺς Δαναοὺς τοὺς Βλιθέντας, ἦγουν τοὺς ἰσχυροὺς, τοὺς γενναίους, ἐνέβαλεν εἰς τὰς πρύμνας τὰς Θαλασσίας, ἀντὶ τοῦ εἰς τὰς ναῦς τὰς ἐν τῇ Θαλάσσῃ τὴν διατριβὴν ποιουμένας· ὥστε δεῖξαι αὐτὸς ὁ Πάτροκλος τῷ φρονίμῳ μαθεῖν τὸν νοῦν τοῦ Πατρόκλου, ἀντὶ τοῦ τὸν ἑαυτοῦ, τὸν βιατὴν, ἦγουν τὸν γενναῖον, τὸν ἀνδρεῖον, ἀπὸ τοῦ βία ἡ ἰσχύς· ἀφ' οὗ χρόνου παρηγορεῖτο, ἀντὶ τοῦ παρήνει, ἔλεγεν αὐτῷ ὁ υἱὸς τῆς Θέτιδος ὁ Ἀχιλλεὺς, μηδέποτε ταξιοῦσθαι τουτέστι παρατάττεσθαι αὐτὸν ἐν τῷ πολέμῳ τῷ ἀληθείᾳ χωρὶς τῆς αἰχμῆς τῆς σρετέρας, ἀντὶ τοῦ τῆς ἐμῆς

τῆς ἑαυτοῦ, τῆς δαμασιμβρότου, ἤγουν τῆς τοὺς ἄνδρας κτεινούσης. Ἱστορία περὶ τοῦ Πατρόκλου. Ὅτ' εἰς Τροίαν ἐστράτευον Ἕλληνες, προσώκειλαν ἐν Μυσίᾳ, καὶ νομίζοντες ταύτην εἶναι τὴν Τροίαν ἐβόησαν· ὁ οὖν ταύτης βασιλεύσας Τήλεφος ἀμυνόμενος ὑπὲρ τῆς χώρας μάχην συνῆψε τοῖς Ἕλλησιν, ἧς καρτερᾶς γινομένης οἱ μὲν ἄλλοι πάντες Ἕλληνες εἰς τὰς ναῦς ἀνεχώρησαν, μόνος δὲ ὁ Πάτροκλος σὺν τῷ Ἀχιλλεῖ ἐμάχετο.

104. Υἱὸν δ' Ἄκτορος.] Τὸν Μενοίτιον λέγει τὸν Πατρόκλου πατέρα· ὑπὲρ πάντας δὲ τοὺς ἐνοικοῦντας ξένους ἐτίμησε τὸν Ἄκτορος παῖδα τὸν ἐξ Αἰγίνης μητρὸς Μενοίτιον. Αἴγινα δὲ μήτηρ Αἰακοῦ, Ψυγάτηρ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ· ἀφίκοντο δὲ οἱ ξένοι συνοικήσοντες αὐτῷ.

105. Ἐπείκων.] Πάντων τῶν προειρημένων.

107. Τοῦ παῖς ἅμ' Ἀτρείδαις.] Τινὲς ἐκ Δαμοκρατείας τῆς Αἰγίνης καὶ Ἄκτορός φασι τὸν Μενοίτιον· ὁ δὲ Πάτροκλος Μενοιτίου ἦν καὶ Σθενέλης. Αἴγινα μετὰ τὸ τεκεῖν τὸν Αἰακὸν ἦλθεν εἰς Θεσσαλίαν καὶ ἐγαμήθη Ἄκτορι, ἐξ οὗ ἔσχε Μενοίτιον, ὃς ἐπῴκησε τὴν Ὀπουντα ἀναστὰς ἀπὸ Θεσσαλίας. Πυθαίνετος δὲ, Διὶ συνελθοῦσαν Αἴγιναν γεννῆσαι Αἰακὸν καὶ Δαμοκράτειαν, ἣν γαμηθῆναι Ἄκτορι ἐν Θετταλίᾳ καὶ τεκεῖν Μενοίτιον· ὕστερον δὲ τοῦτον εἰς Ὀπουντα ἐλθεῖν· συγγενὴς γὰρ ὑπῆρχε τοῦ Λοκροῦ τοῦ παῖς τοῦ Μενοιτίου παῖς ὁ Πάτροκλος ἀπὸ Σθενέλης· καὶ Μυρμιδόνα φησὶν αὐτὸν Ὅμηρος· Μυρμιδόνων τὸν ἄριστον· ὃ δὲ νοῦς· τούτου οὖν, φησὶ, τοῦ Μενοιτίου παῖς συστρατεύσας τοῖς Ἀτρέως παισὶν εἰς Μυσίαν κατήντησε, καὶ τῶν ἄλλων Ἑλλήνων εἰς φυγὴν τραπέντων μόνος αὐτὸς Ἀχιλλεῖ συμπαρέστη, ἡνίκα τοὺς γενναιοτάτους Ἕλληνας τρέψας καὶ νικήσας μέχρι τῶν νεῶν καὶ τοῦ πελάγους συνήλασεν ὁ Τήλεφος ὁ Μυσῶν βασιλεύς. Τεύθραντος δὲ παιδίον τὴν Μυσίαν λέγει· ὁ γὰρ Τεύθρας ἐβασίλευσε τῆς Μυσίας· ὅτε δὲ οἱ Ἕλληνες εἰς τὴν Μυσίαν παρεγένοντο, κἀκεῖ νομίσαντες εἶναι τὴν Ἴλιον ἐπολέμουν τοῖς Μυσοῖς, καὶ ὁ Τήλεφος πάντας εἰς φυγὴν ἐτρέψατο καὶ μέχρι τῶν νεῶν ἤλασε, πλὴν Ἀχιλλέως καὶ Πατρόκλου· διὰ τοῦτο οὖν μέμνηται τοῦ γένους τούτου ὡς ἀνδρείου· τὴν Μυσίαν λέγει· βασιλεὺς γάρ τις τῶν ἐκεῖσε Τεύθρας γινόμενος ἀφ' ἑαυτοῦ ὠνόμασεν τὴν πόλιν· ἦν δὲ ὁ Τήλεφος θεοῦ παῖς Τεύθραντος· τῇ ἀληθείᾳ Αὔγης ἦν καὶ Ἡρακλέους ὁ Τήλεφος.

110. Ἀλκᾶντας.] Δυνατούς.

113. Ὥςτ' ἔμφρονι δεῖξαι.] Ὥςτε παραστῆσαι τῷ φρονίμῳ, ᾗ ἐκέχρητο ἀνδρείᾳ ὁ Πάτροκλος· ὥςτε γνῶναι τὸν ἔμφρονα, ὅτι γενναῖος ἦν ὁ Πάτροκλος ἀνθιστάμενος Τηλέφῳ· οὗτος ἔστη ἐν τῷ πολέμῳ, ὥςτε παντὶ ἀνθρώπῳ νοῦν ἔχοντι δειχθῆναι τὴν ἰσχὺν καὶ φανερὰν γενέσθαι. Ἄλλως· οὗτος ἔστη μόνος ἅμα τῷ Ἀχιλλεῖ, ὥςτε δυνατὸν εἶναι δεῖξαι παντὶ φρονίμῳ πρὸς τὸ γνῶναι τὴν τοῦ Πατρόκλου ἐπὶ τῇ ἀνδρείᾳ διάναιάν τε καὶ σπουδὴν καὶ θάρσος. — Ὥςτ' ἔμφρονι δεῖξαι.] Ἤγουν· ἐπεὶ Πάτροκλος ἔστη σὺν Ἀχιλλεῖ τῶν ἄλλων Ἑλλήνων τραπέντων, πᾶς ἀνὴρ νουνεχὴς ἔγνω ἂν ἰδὼν ὅτι Πάτροκλος ἔξοχος ἦν τὰ εἰς μάχην.

114. Βιατάν.] Ἰσχυρὸν, ἀνδρεῖον. — Βιατάν.] Βιητήν·

115. Ἐξ οὗ Θέτιος γόνος.] Θαυμάσας, φησὶν, ὁ Ἀχιλλεὺς ἐν τῇ προςβολῇ τότε τὴν βίαν τοῦ Πατρόκλου ἀρχὴν ἔλαβε τοῦ θαυμάζειν αὐτὸν καὶ παρῄνει μήποτε χωρὶς τάσσεσθαι τῆς πολεμικῆς αὐτοῦ τάξεως, ἀλλ' ἅμα αὐτῷ πολεμεῖν· καὶ Ὅμηρος· (Ἰλιάδ. π, 89.)

Μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν, ἀτιμότερον δέ με θήσεις.

ἰδίως δὲ τοῦτο τάσσει χαριζόμενος τῷ Πατρόκλῳ. Ὅμηρος γὰρ διαπαντὸς λέγει αὐτὸν θεράποντα Ἀχιλλέως· ἢ οὕτως· ἐκ τῆς πρὸς τὸν Τήλεφον μάχης παρηγορεῖτο κατὰ ψυχὴν καὶ τεθαρσήκει, ὅτι τὸν Πάτροκλον εἶχε διαπαντὸς παραστάτην.

117. Παραγορεῖτο.] Ἐδίδασκε, παρήγγειλε.

118. Σφετέρας.] Ἀντὶ τοῦ τῆς ἑᾶς. — Ταξιοῦσθαι.] Παρατάττεσθαι.

119. Δαμασιμβρότου.] Τῆς δαμαζούσης. — Αἰχμῆς.] Λόγχης.

120. Εἴην εὑρησιεπής] Ὡς σεμνυνόμενος τοῖς διηγήμασί φησιν· εἴην δὲ λόγων καινοπρεπῶν εὑρετὴς ἐπὶ τῷ διηγεῖσθαι καὶ πρόςφορος ποιητικῇ Μούσῃ καὶ τρόπῳ Μουσῶν ἁρμοδίῳ. Ἄλλως· γενοίμην, φησὶ, διαπαντὸς δυνάμενος εὑρίσκειν λόγους καὶ διηγεῖσθαι τὰς πράξεις τῶν ἀρχαίων. Ἄλλως· ἐμοὶ δὲ παρέποιτο ἐν τοῖς λόγοις ὁμοῦ μὲν εὐτολμία, ὁμοῦ δὲ δαψιλειά τις δυνάμεως· ταῦτα δὲ λέγει διὰ τὸ πλάσασθαι αὐτὸν τὸ περὶ Πατρόκλου προειρημένον εἰ ἔπαινον τοῦ Ἐφαρμόστου Ὀπουντίου ὄντος, Πατρόκλου πολίτου· τὸ δὲ ἀμφιλαφὲς κατὰ ἀντίστοιχον εἴρηται κατὰ ἔθος

НБ ОНУ імені І.І. Мечникова

Μακεδόνων, μεταθέσει τοῦ β εἰς φ· ἔστι γὰρ ἀμφιλαβὲς, ὃ ἐστιν ἀμφοτέραις λαβεῖν ταῖς χερσίν· τοῦτο δὲ ἐπὶ πλήθει συμβαίνει· εὑρεσιεπὴς, καινολόγος — † Εἴην εὑρεσιεπὴς.] Εἴθε εἴην καινῶν ἐπῶν εὑρετὴς, ὥστε ἀναγεῖσθαι, ἀντὶ τοῦ διηγεῖσθαι τὰ περὶ τούτων δηλονότι, πρόσφορος, ἤγουν ἐπιτήδειος γενόμενος ἐν δίφρῳ τῶν Μουσῶν, ἀντὶ τοῦ ἐν ὑψηλῇ ποιήσει, ἣν αἱ Μοῦσαι δωροῦνται· τόλμα δὲ, ἀντὶ τοῦ παῤῥησία, εἴθε ἔποιτο, ἤγουν ἀκολουθήσειεν ἐμοὶ, καὶ δύναμις ἀμφιλαφὴς, ἀντὶ τοῦ μεγάλη, ἐκ μεταφορᾶς τῶν ὄγκον ἐχόντων σωμάτων, ὧν ἀμφοτέραις χερσίν ἐστι λαβέσθαι· ἔστι δὲ ἀμφιλαβὴς, καὶ τροπῇ τοῦ β εἰς φ κατ' ἔθος Μακεδόνων ἀμφιλαφής· ἐπὶ προξενίᾳ δὲ, ἀντὶ τοῦ χάριν τῆς προξενίας, τουτέστι τῆς φιλορρονήσεως τοῦ Λαμπρομάχου πρὸς τοὺς Θηβαίους, καὶ χάριν τῆς ἀρετῆς, ἤτοι ἀνδρείας καὶ τῶν ἀνδραγαθημάτων αὐτοῦ, ἦλθον τιμάορος, τουτέστι τιμητὴς, ὑμνητὴς γενησόμενος τῶν μιτρῶν, ἀντὶ τοῦ τῶν στεφάνων αὐτοῦ, οὓς ἐν τῷ Ἰσθμῷ ἔλαβεν, ὅτε ἀμφότεροι, ἤγουν αὐτὸς ὁ Λαμπρόμαχος καὶ ὁ Ἐφάρμοστος ἐκράτησαν ἔργον, τουτέστιν ἐνίκησαν νίκην κατὰ μίαν ἡμέραν· ἀμφότεροι γὰρ, φασὶν, ἐνίκησαν ἐν μιᾷ ἡμέρᾳ, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια· ἔνιοι δέ φασιν, ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν· ἔπειτα δὲ ἄλλαι δύο χάρμαι, ἤγουν χαραὶ νίκης, ἀντὶ τοῦ νῖκαι, ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν ταῖς πύλαις τῆς Κορίνθου, ἤτοι ἐν τῷ Ἰσθμῷ· ταὶ δὲ, ἤγουν αὗται δὲ, ἀντὶ τοῦ τοσαῦται δὲ, κατὰ τὸν κόλπον τῆς Νεμέας ἐγένοντο δηλονότι αὐτῷ νῖκαι, καὶ κατὰ τὸ Ἄργος, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἥραια, ἔλαβε κῦδος ἀνδρῶν, ἤγουν γέρας ἀνδράσι προσῆκον, τουτέστιν ἐν ἀνδρὸς ἡλικίᾳ νενικηκὼς· παῖς δ' ἐν Ἀθήναις νικήσας δηλονότι ἔλαβε κῦδος. — Εἴην εὑρεσιεπὴς.] Εἴθε τοιαύτας ἱστορίας εὑρίσκοιμι, ἵνα ἐποχούμενος τῷ παρὰ τῶν Μουσῶν δοθέντι μοι δίφρῳ, λέγω δὴ τῇ ποιητικῇ, ἁρμοδίως τῇ παρούσῃ ὑποθέσει ποιῶμαι τοὺς λόγους· τοῦτο δέ λέγει, ἐπεὶ καὶ ὁ Πάτροκλος Ὀπούντιος ἦν ὥσπερ καὶ Ἐφάρμοστος· τοῦ δὲ Ἐναγεῖσθαι τὸ Ἐν πρὸς τὸ δίφρῳ συναπτέον, οὕτως· ἐν τῷ δίφρῳ τῶν Μουσῶν ἠγεῖσθαι καὶ προέρχεσθαι. — Ἀναγεῖσθαι.] Διηγεῖσθαι.

121. Πρόσφορος.] Μέγας, διαφέρων, εὐεπίφορος ἐν ποιήμασιν, ἐπιτήδειος, ἱκανός· ταῦτα δὲ εἶπεν, ἐπειδὴ φησι

τὴν περὶ Πατρόκλου ἱστορίαν, ἣν οὐδεὶς εἴρηκεν· κατάλληλος ἐν ποιητικῇ, ἐπιτήδειος, αἴτιος.

122. Τόλμα δὲ καὶ ἀμφιλαφὴς] Εἴη μοι τολμᾶν καὶ ἀποκινδυνεύειν διαπλάττοντι τὰ τοιαῦτα.

123. Προξενίᾳ δ' ἀρετᾷ τ' ἤλυθον.] Πρόξενος ἦν Θηβαίων Λαμπρόμαχος, δι' ὃν ἔγραψε τὴν ᾠδὴν ταύτην, ἦν δὲ καὶ Ἰσθμιονίκης· δύναται δὲ καὶ τοῦ Πινδάρου πρόξενος εἶναι· ὁμοῦ δὲ νενικήκασιν Ἴσθμια καὶ Νέμεα τῇ αὐτῇ ἡμέρᾳ αὐτὸς καὶ ὁ Ἐφάρμοστος, μετὰ δὲ ταῦτα ἄλλα ὃς νενίκηκεν Ἴσθμια ὁ Ἐφάρμοστος· προξενίᾳ δ' ἀρετᾷ τ' ἤλθοντ· τῇ φιλίᾳ· τὸ δὲ ἑξῆς οὕτως ἔχει· διὰ δὲ τὴν προξενίαν, τουτέστι τὴν φιλίαν, καὶ τὴν ἀρετὴν τοῦ Λαμπρομάχου ἦλθον ἐπαινέτης τῶν ἐν τῷ Ἰσθμῷ μιτρῶν, ὅτι κατὰ μίαν ἡμέραν οἱ δύο ἐνίκησαν, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια· ἔνιοι δέ φασιν, ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν· ὡς οἰκείου ὄντος τοῦ Λαμπρομάχου πρὸς τὸν Ἐφάρμοστον διὰ Λαμπρομάχον φησὶ γεγονέναι τὸν ἔπαινον, καὶ δι' ἣν εἶχον προξενίαν πρὸς αὐτόν· τιμάορος δὲ εἶπεν ἀντὶ τοῦ τιμητὴς ἐσόμενος καὶ τιμῶν διὰ τῆς ἀρετῆς τοῦ ὕμνου, ὡς τοῦ Λαμπρομάχου καὶ Ἐφαρμόστου νενικηκότων Ἴσθμια τῇ αὐτῇ ἡμέρᾳ καὶ Νέμεα· μετὰ δὲ ταῦτα καὶ ἄλλα ὃς ἐνίκησεν Ἴσθμια ὁ Ἐφάρμοστος. — Προξενίᾳ.] Τιμῇ.

125. Λαμπρομάχου.] Λαμπρόμαχος συγγενὴς τοῦ Ἐφαρμόστου, κατὰ μίαν ἡμέραν Ἴσθμια σὺν αὐτῷ νικήσας. — Λαμπρομάχου.] Τὰ... μία ἐστὶ περίοδος· μίτραισι δὲ, ταῖς νίκαις. — Λαμπρομάχου.] Ἐπειδὴ Ἐφάρμοστος καὶ Λαμπρόμαχος Ὀπούντιοι ὄντες φίλοι τε ἦσαν καὶ ἐν τῷ Ἰσθμῷ ἅμα ἐνίκησαν, διὰ τοῦτο ἐν τῷ Ἐφαρμόστου ὕμνῳ καὶ τούτου μέμνηται· Κορίνθου πύλας λέγει τὸν Ἰσθμόν· ἐν τῷ τέλει γὰρ αὐτοῦ ἡ Κόρινθος κεῖται· λαμβάνει δὲ εἰς τὸ ἐγένετο, τῷ Ἐφαρμόστῳ, κατὰ συνεκδοχήν· τὸ δὲ Νεμέας κατὰ κόλπον, ἀντὶ τοῦ εἰς τὴν Νεμέαν περιφραστικῶς.

126 Μίτραις.] Μίτραις νῦν τοῖς στεφάνοις καὶ ταῖς νίκαις· μίτρας γὰρ ἐνδοθεν τῶν στεφάνων καὶ διαδήματα ποικίλα εἰώθασιν συνδεῖν· μίτραι κυρίως οἱ ἀπὸ φασκίων καὶ ὡραρίων γινόμενοι στέφανοι· ἐν καταχρήσει δὲ πᾶς στέφανος μίτρα λέγεται, ὡς καὶ ἐνταῦθα.

128. Ἄλλαι δὲ δύο.] Ἐν Ἰσθμῷ, φησὶν, ἄλλαι δύο νῖκαι ἐγένοντο Ἐφαρμόστῳ ἑξῆς. Ἄλλοις· χάρμαι νῦν χαραὶ καὶ

ἡδοναὶ, καθ' Ὅμηρον (Ἰλ. η, 218.) δὲ οἱ μάχαι. Ἄλλως· ἦτοι μάχαι ἢ χαραὶ καὶ νῖκαι ἐγένοντο αὐτῷ ἐν τῷ Ἰσθμῷ Κορίνθου γὰρ πύλαι ὁ Ἰσθμός· ὁ δὲ νοῦς· καὶ ἄλλαι δὲ χαραὶ ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν τῷ κόλπῳ τῆς Νεμέας· ἔστι δὲ περίφρασις ἀντὶ τοῦ ἐν Νεμέᾳ· ἀπὸ κοινοῦ δὲ ἐξυπακουστέον τὸ Ἐγένοντο χάρμαι. —Ἔπειτα χάρμα.] Νῦν ἀντὶ τοῦ χαρά. Ὅμηρος δ' ἐπὶ τῆς μάχης· οἱ δὲ περὶ Ἴξυκον καὶ Στησίχορον χάρμην τὴν ἐπιδορατίδα φασίν.

130. Τὰ δὲ καὶ Νεμέας.] Καὶ ἐν τῇ Νεμέᾳ Ἐφάρμοστος ἐνίκησεν, ἐν Ἀθήναις δὲ τὰ Παναθήναια.

132. Ἄργει τ' ἔσχεσθε κῦδος ἀνδρῶν.] Ἀντὶ τοῦ καὶ ἐν Ἄργει δὲ δόξαν προσείληφεν ἀνδρῶν νικήσας τὰ Ἥραια, ἀντὶ τοῦ ἀνδρεῖα νικᾷ ἐν Ἄργει· καὶ ὡς παῖς ἐν Ἀθήναις ἀπὸ κοινοῦ δὲ τὸ Κῦδος ἔσχε, νικήσας ἢ τὰ Παναθήναια ἢ τὰ Ὀλύμπια· τὰ Ἑκατόμβαια ἢ Ἥραια ἐνίκησεν· οὗτος δὲ ἐν Ἄργει ἐτελεῖτο ὁ ἀγών.

134. Οἷα.] Ὦ Θαῦμα. — Οἷον δ' ἐν Μαραθῶνι.] Νῦν τὰ Ἡράκλεια λέγει· τοῦ δὲ οἷον διπλῆ ἡ ἐκδοχή· τινὲς γὰρ τὸ οἷον ψιλῶς ἀναγινώσκουσιν, ἵν' ᾖ· μόνον ἐν Μαραθῶνι ἀγενείων ἀγωνισάμενος ἠττήθη καὶ μετεγγράψας ἑαυτὸν εἰς τοὺς ἄνδρας ἐνίκησεν· ἄτοπον δὲ τοῦτο οὐ γὰρ ἂν ἐγκωμιάζων περὶ τῆς ἥττης ἔμελλε λέγειν· οἱ δὲ Θαυμαστικῶς, ὃ καὶ βέλτιον· ὅπως δὲ καὶ οἷος ὑπέμεινεν ἐν τῇ Μαραθῶνι ἀγωνιζόμενος πρὸς τοὺς προβεβηκότας ἄνδρας, ἀποσυληθεὶς τῶν ἀγενείων καὶ ὑπεξελθὼν, καὶ εἰς τοὺς ἄνδρας χωρήσας, ἡνίκα περὶ ἀργύρων φιαλῶν προέκειτο ἀγωνίζεσθαι· τοῖς γὰρ ἐν Μαραθῶνι ἐν τοῖς Ἡρακλείοις ἀγωνιζομένοις φιάλαι ἀργυραῖ δίδονται ἔπαθλον. Ἀθηναίοις δὲ ἔθος χρυσίδας καὶ ἀργυρίδας λέγειν. Οἷον ἐν Μαραθῶνι· τὰ δύο μία ἐστὶ περίοδος· τὸ οἷον Θαυμαστικῶς· ἀγωνιζόμενος γὰρ ἐν Μαραθῶνι, ἐκκριτος γενόμενος ἐκ τῶν ἀγενείων, προβὰς ἄνδρας ἐνίκησε· δύνατσι δὲ τὸ οἷον καὶ ψιλῶς ἀντὶ τοῦ μόνον τὸν ἀγῶνα. —† Σύνταξις. Οἷον δ' ἐν Μαραθῶνι.] Ἐν δὲ Μαραθῶνι φεῦ ὅπως ἑαυτὸν λάθρα ἐξαγαγὼν ἀπὸ τῶν ἀγενείων, ἀντὶ τοῦ ἀπὸ τοῦ ἀγωνίσασθαι μετὰ τῶν ἀγενείων, ἀνέμενε τὸν ἀγῶνα τῶν πρεσβυτέρων, ἤγουν τῶν τελειοτέρων τὴν ἡλικίαν, τουτέστι τῶν ἀνδρῶν, ἀμφ' ἀργυρίδεσσιν, ἀντὶ τοῦ ἐπὶ τοῖς ἀργυρίοις, ἤγουν ταῖς ἀργυραῖς φιάλαις, αἳ ἐδίδοντο ἐκεῖ γέρας ἄνδρας δὲ δαμάσας ἤγουν καταβαλὼν διὰ μηχανῆς ἀρότου, ὀξυρεπούς, ἤτοι ταχεῖαν ἐχού-

σης τὴν ὁρμήν, διήρχετο τὸν κύκλον, ἤγουν τὸν ἀγῶνα, φεῦ τῆς βοῆς ὅση, ἐπὶ ὀστικῆς τὸ ὅση, ἤγουν οἵ ὅσης βοῆς διήρχετο· ὡραῖος ὤν, ἤγουν ἐν ἀκμῇ ἡλικίας καὶ καλὸς, τουτέστιν εὔμορφος, καὶ κάλλιστα ἔργα πράξας.

136. Μένειν.] Ἐκαρτέρει.

137. Ἀργυρίδεσσιν.] Ἀς ἐθράβευον.

138. Φῶτας δ' ὀξυρεπεῖ δόλῳ.] Ἀντὶ τοῦ ὀξυτάτῃ καὶ ἐπιμελεῖ τέχνῃ· ὁ νοῦς τούτου τοὺς δὲ ἄνδρας τοὺς ἀνταγωνιστὰς αὐτοῦ τέχνῃ ὀξυτάτῃ νικήσας, αὐτὸς κατὰ τὴν ἄθλησιν μὴ πεσὼν μήτε ὑποστὰς πτῶμα διέβαινε τὸν κύκλον τοῦ σταδίου μεθ' ὅσης βοῆς καὶ ὅσων ἐπαίνων, νεανίας μὲν ὢν καὶ θαυμαστὸς τῷ ὁρθῆναι, ταῖς δὲ πράξεσιν οὐ καταισχύνων τὸ εἶδος· ὅσσα βοᾷ δὲ, ἀντὶ τοῦ μεγάλῃ βοῇ· τὸ γὰρ ὅσσα θαυμαστικῶς. Δόλῳ· παλαίσμασι δόλιῳ, καταγωνισάμενος τῇ παλαιστικῇ ὀξύτητι· τὸ δὲ ἀπτῶτι ἐτροχηματικῶς.

140. Διήρχετο κύκλον.] Τὸν τοῦ σταδίου, ἔνθα ἠγωνίζοντο, κύκλον σὺν βοῇ τῇ τῶν θαυμαζόντων· ὅσσα βοᾷ, μετὰ πάσης βοῆς παρόντι αὐτῷ ἐπῄνουν πάντες καὶ ἐθαύμαζον· ὡραῖος ἐὼν, τὸ ἄκρον τῆς ὥρας καὶ τῆς ἀκμῆς ἔχων· οἷον, καλὸς ὢν, καλῶς ἔπραξεν.

142. Καλός.] Ἐπιτήδειος.

143. Τὰ δὲ Παῤῥασίῳ στρατῷ.] Τουτέστιν ἐν τῷ δήμῳ τῆς Ἀρκαδίας. Παῤῥασία γὰρ μέρος τῆς Ἀρκαδίας, ἔνθα τελεῖται Λυκαίου Διὸς ἀγών· ὁ νοῦς· τὰ δὲ ἔργα αὐτοῦ τὰ ἐν τῷ ἀγῶνι τοῦ Λυκαίου Διὸς κατὰ τὴν Παῤῥασίαν τῆς Ἀρκαδίας, ὅπως αὐτὸν ἔδειξε θαύματος ἄξιον· τὰ δὲ Παῤῥασίῳ στρατῷ· τῷ Ἀρκαδικῷ· ὡς ἐν Ἀρκαδίᾳ τὰ Λύκαια νενικηκότος· ἐν τῇ Ἀρκαδίᾳ γὰρ ἤγοντο τῷ Διὶ τὰ Λίκαια. Κλεοφάνης ἐν τῷ περὶ ἀγώνων. Λυκαίου· ἐν τῇ Ἀρκαδίᾳ, ὅπου ὁ Ζεὺς τιμᾶται, ὁ καὶ Λύκαιος ἀπὸ ὄρους Λυκαίου. — Σύνταξις. Τὰ δὲ Παῤῥασίῳ στρατῷ.] Κατὰ δὲ τὰ ἔργα τὰ γενόμενα αὐτῷ ἐν τῷ στρατῷ τῷ Παῤῥασίῳ, ἤγουν τῷ Ἀρκαδικῷ, Παῤῥασία γὰρ τόπος ἐν Ἀρκαδίᾳ, θαυμαστὸν ἐφάνη ὤν, λέγω κατὰ τὴν πανήγυριν τοῦ Λυκαίου Διὸς θαυμαστὸς ἐφάνη ὤν, καὶ ὁπότε ἔφερεν, ἀντὶ τοῦ ἐπηνέγκατο ἐν τῇ Πελλήνῃ· ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἑρμαια, φάρμακον εὐδιανόν, ἀντὶ τοῦ ἀποσοβητικὸν τῶν πνοῶν τῶν ψυχρῶν· χλαῖνα γὰρ ἐκεῖ ἐδίδοτο τῷ νικῶντι· σύνδικος δὲ, τουτέστι μάρτυς αὐτῷ τῷ Ἐρμῆτι δηλονότι, ἐστὶ κατὰ

τὰς ἀγλαΐας, ἤγουν τὰς λαμπρότητας, τουτέστι τὰς νίκας, ὁ τύμβος τοῦ Ἰολάου, ἔνθα ἐτελεῖτο ἀγὼν τῷ Ἰολάῳ τὰ Ἰολάϊα, καὶ ἡ Ἐλευσὶς ἡ εἰναλία, ἤγουν ἡ παραθαλασσία, μάρτυς ἐστὶν αὐτῷ δηλονότι κατὰ τὰς νίκας· ἐτελεῖτο δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς ἐκαλεῖτο Ἐλευσίνια, ἐλάμβανε δὲ γέρας ὁ νικῶν κριθάς. Ἐν Πελλήνῃ πανήγυρις ἐγίνετο τὰ Ἕρμαια ἢ τὰ Φιλοξένια πρὸς τὸν Ἀπόλλωνα· ἔνθα νικήσας Ἐφάρμοστος διφθέραν ἔλαβε, τοῦτο γὰρ ἦν ἆθλον, ἥτις ἀλεξίκακός ἐστι τῶν ἀνέμων· ἐδίδετο δὲ διφθέρα διὰ τὸ ἐν χειμῶνι τοὺς ἀγῶνας τούτους γίνεσθαι· τὸ σύνδικος διὰ τοῦτο λέγει, ἐπειδὴ ἐν ταῖς Θήβαις ἀγὼν ἐτελεῖτο Ἡράκλεια καὶ Ἰολάϊα· ἦν δὲ ἐν μέσῳ τοῦ σταδίου ὁ τοῦ Ἰόλεω τάφος· ἔνθα Ἐφάρμοστος ἐνίκησεν. Ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς ἀγὼν ἐτελεῖτο Δήμητρος καὶ Περσερόνης, τὰ καλούμενα Ἐλευσίνια, ἔνθα ἐνίκησεν. — Σῶτ.] Λαῷ.

116. Καὶ ψυχρᾶν ὁπότε.] Ἐφάνη δὲ Θαυράπιος, καὶ ἡνίκα τῶν ψυχρῶν αὖρων καὶ τοῦ κρύους τὸ φάρμακον καὶ τὸ βοήθημα ἀπὸ τῆς Πελλήνης λαβὼν ἔφερε, τὴν χλανίδα· ταύτην γὰρ ἐλάμβανον τὴν χλανίδα οἱ νικῶντες, εἶον τρίβωνος· ὁ δὲ ἀγὼν ἐν Πελλήνῃ Ἕρμαια καλεῖται· ἄγεται δὲ Ἑρμοῦ καὶ Ἀπόλλωνος ἑορτὴ, Θεοξένια λεγομένη. Εὐδιανὸν δὲ φάρμακον, ἀντὶ τοῦ ἀνάπαυσιν τὴν ἀλεξάνεμον, ὅτι ἐν Πελλήνῃ χλαῖνα ἐδίδοτο τῷ νικῶντι χειμῶνος. ὥρα ἀπὸ κοινοῦ δὲ τὸ Θαυμαστὸς ἐφάνη. Εὐδιανὸν, εὐδίαν ποιοῦν Ὅτι χλαῖνα ἦν τὸ ἔπαθλον ἐν Πελλήνῃ, εἴρηται· πεποίηται δὲ ταῦτα παρὰ τὸ Ὁμηρικὸν· (Ὀδυσσ. ξ, 529.) Ἀλεξάνεμον μάλα πυκνήν· ἦγετο δὲ ὁ ἀγὼν ἐν Πελλήνῃ τῆς Ἀχαΐας τὰ Θεοξένια ἐν χειμῶνι, ὃ καὶ χλανὶς ἐδίδοτο.

148. Σύνδικος.] Κριτὴς κοινός ἐστιν αὐτῷ τῷ Ἐφαρμόστῳ εἰς τὴν πολλὴν νίκην ὁ τάφος τοῦ Ἰολάου· ἐλεῖτο γὰρ συνήρχετο πλῆθος πολὺ ἀνδρείως ἀγωνιζομένων.— Σύνδικος δ' αὐτῷ.] Μαρτυρεῖ δὲ αὐτοῦ τῇ ἀνδρείᾳ καὶ ὁ τοῦ Ἰολάου τάφος ἐν Θήβαις· Ἰολάϊα γὰρ λέγεται ὁ ἀγὼν, ὃν ἐνίκησεν. Ἄλλως· Σύνδικος· σύμψηφος, σύμφωνος· Ἰολάου τύμβος· ὁ ἐν Θήβαις· τὸν τῶν Ἡρακλείων ἀγῶνα θέλων δηλῶσαι τύμβον Ἰολάου εἶπε· παρὰ γὰρ τῷ κοινῷ σήματι Ἀμφιτρύωνος καὶ Ἰολάου ὁ τῶν Ἡρακλείων ἀγὼν ἐτελεῖτο, ὃν ἐνίκησεν· ὁ δὲ νοῦς οὗτος· σύμφωνος δὲ τῶν προειρημένων ἀγώνων καὶ τὰ Ἰολάεια· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν

τῷ ἀγῶνι συνδικούντων ἀλλήλοις· τύμβον δὲ λέγει τὸ κενοτάφιον.

150. Εἰναλίᾳ τ' Ἐλευσίς.] Καὶ ἡ Ἐλευσὶς δὲ ἡ πρὸς τῇ Θαλάσσῃ κειμένη ταῖς ἀγλαΐαις αὐτοῦ καὶ νίκαις μαρτυρεῖ· ἄγεται δὲ αὐτόθι ἀγὼν Κόρης Δήμητρος, ὃς καλεῖται Ἐλευσίνια, οὗ ἔπαθλον κριθαί· ἐν Ἐλευσῖνι ἄγεται τὰ Δημήτρια· τοῦτον δὲ πρῶτον ἀγώνων φασὶν εἶναι· μετὰ γὰρ τὸ εὑρεθῆναι τὸν Δημήτριον καρπὸν εὐρωστίας οἱ ἄνθρωποι ἐπίδειξιν ἐπιδεξάμενοι ἠγωνίζοντο, καὶ τετραποδιστὶ τοπάλαι περιπατοῦντες ἀνέστησαν καὶ δρόμον ἠγωνίζοντο· ἔνθεν καὶ στάδιον καλοῦσι δρόμον διὰ τὴν στάσιν· τὸν τῶν Ἐλευσινίων ἀγῶνα λέγει· ἔπαθλον δὲ κεῖται κριθαί· ἄγεται δὲ ἐν Ἀθήναις μετὰ τῶν Δημητριακῶν καρπῶν συλλογὴν τῇ Δήμητρι εὐχαριστήρια.

151. Ἀγλαΐαισιν.] Ἀνδραγαθείαις.

152. Τὸ δὲ φυᾷ κράτιστον ἅπαν.] Τὸ δὲ ἐκ φύσεως προσὸν ἀγαθὸν καὶ θείας μοίρας κράτιστον καὶ ἐξαίρετον ἢ τὸ ἐξ εὐφυΐας· λείπει δὲ τὸ ἐστίν· εἰς αὐτὸν δὲ αἰνίττεται· ἀεὶ γὰρ ἑαυτὸν λέγει αὐτοδίδακτον. — Τὸ φυᾷ φασί τινες λέγειν τὸν Πίνδαρον δι' ἑαυτόν, οὐ καλῶς· ἔστι γὰρ πρὸς τὸν Ἐφάρμοστον, ἐπειδὴ ἐκ φύσεως ἀνδρεῖος ὢν καὶ οὐκ ἀπὸ μόνης τέχνης τοὺς συναγωνιζομένους ἐνίκα· πρὸς ὃ ἐπιφέρει· πολλοὶ δὲ τῶν ἀνθρώπων ἐν διδακταῖς ἀρεταῖς, τουτέστιν οὐ φύσει ὄντες ἀνδρεῖοι, ἀλλ' ὑπὸ διδαχῆς μόνης καὶ μαθήσεως, ὥρουναν καὶ ὥρμησαν ἀνελέσθαι καὶ λαβεῖν κλέος, ἤτοι νικῆσαι καὶ δοξασθῆναι ἕκαστον δὲ χρῆμα, ἤγουν πᾶσα πρᾶξις ἄνευ θεοῦ, ἤγουν μὴ ἀπὸ φύσεως κατορθουμένη· τὸ θεοῦ δὲ λέγει, ἐπειδὴ ἐκ θεοῦ πάρεστι τοῖς ἀνθρώποις φύσει ἀνδρείοις εἶναι καὶ ἄλλο τι ἀγαθὸν ἔχειν· οὐ σταθερὸν καὶ οὐ φαῦλον ὑπάρχει σεσιγημένον καὶ σιωπηθέν, ἀλλὰ μᾶλλον ἔστιν, εἰ μηδεὶς γινώσκει αὐτό· μόνα γὰρ τὰ ἐκ φύσεως πλείστου ἐστὶν ἄξια, ὥστε εἰ μή πρός τι φυσικῶς ἔχει τις, οἷον πάλην λέγω καὶ δρόμον καὶ ἄλλον τινὰ ἀγῶνα, ἀφεὶς τοῦτο, πρὸς ὃ ἡ φύσις αὐτοῦ ῥέπει τρεπέσθω· ἐντὶ γὰρ καὶ εἰσὶν ἄλλαι ὁδοὶ καὶ μεταχειρίσεις πράξεων περαίτεραι καὶ ἐξοχώτεραι ὁδῶν ἑτέρων, τουτέστι πολλῶν οὐσῶν πράξεων τὴν προσφυῆ σοι μεταχειριζόμενος κατορθώσεις αὐτὴν μᾶλλον ἢ τὴν οὐ προσφυῆ. — Σύνταξις. Τὸ δὲ φυᾷ, ἀντὶ τοῦ τὸ μὲν φύσει, τουτέστι τὸ μὲν ἀπὸ φύσεως ἅπαν κράτιστον, ἤγουν ἄριστον, δειξιώτατον· διὰ τὸν Ἐφάρμοστον τοῦτο λέγει·

πολλοὶ δὲ δι' ἀρετῶν, ἤγουν ἐπιτηδευμάτων δεδιδαγμένων παρὰ ἀνθρώπων, δόξαν ὥρμησαν ἑλέσθαι, ἤτοι λαβεῖν· χωρὶς δὲ Θεοῦ, τουτέστι τῆς φύσεως, ἕκαστον πρᾶγμα οὐ σκαιότερόν ἐστιν, ἀντὶ τοῦ οὐκ ἄπρεπες, σεσιγημένον, ἤγουν ἄπρακτον ὑπάρχον· τουτέστιν ἕκαστον δὲ πρᾶγμα χωρὶς φύσεως πρεπωδέστερόν ἐστιν, εἰ σεσιγημένον ἐστίν· εἰσὶ γὰρ ὁδοὶ ἄλλαι, πρὸς ἃς ἔχει δηλονότι τις εὐφυῶς, περαίτεραι, ἀντὶ τοῦ δυνάμεναι μᾶλλον ἀνύεσθαι ὁδῶν ἑτέρων, πρὸς ἃς οὐκ ἔχει δηλονότι τις εὐφυῶς· οὐχ ἅπαντας δὲ ἅμμε, ἀντὶ τοῦ ἡμᾶς, μία μελέτη, ἤγουν ἓν ἐπιτήδευμα, δυνατόν ἐστι θρέψαι, ἀντὶ τοῦ οὐ δυνατὸν δέ ἐστι πάντας ἡμᾶς ἐν ἑνὶ ἐπιτηδεύματι τραφῆναι, ἤγουν τὸν βίον ἀνῦσαι, τουτέστιν ἐν ἑνὶ ζῆσαι ἐπιτηδεύματι.

153. Πολλοὶ δὲ διδακταῖς] Πολλοί δέ, φησίν, δόξαν ἑαυτοῖς ἠθέλησαν περιποιήσασθαι ἀπὸ διδακτῶν ἀρετῶν, καὶ ὥρμησαν καὶ ἔσπευσαν ἐπὶ τοῦτο προελθεῖν.

156. Ἄνευ δὲ Θεοῦ σεσιγαμένον.] Τὸ ἄνευ δὲ Θεοῦ γινόμενον οὐ σκαιότερόν φησιν ἀλλ' ἐκ τῶν ἐναντίων βέλτιον σιωπώμενον· οἷον, μετὰ Θεοῦ τις παραγενόμενος εἰς τοὺς ἀγῶνας, οἷος ὁ Ἐφάρμοστος, ὑμνείσθω· ὁ δὲ παρὰ Θεόν τι πράσσων, ὡς αὐτόθεν μηδὲ νικᾷν μέλλων εὐλόγως ἂν καὶ οὐ σκαιῶς σιωπῷτο. Ἄλλως· ἕκαστον δέ, φησί, πρᾶγμα τὸ χωρὶς Θεοῦ πραττόμενον οὐ σκαιότερόν ἐστι σιωπώμενον· οἷον, σοφώτερόν ἐστι τὸ γὰρ μὴ κατὰ Θεὸν πρασσόμενον δεῖ σιγᾶν καὶ μηδενὸς λόγου ἀξιοῦν· ἀντὶ τοῦ καλόν ἐστί τινα παρὰ βούλησιν Θεοῦ νικήσαντα μὴ ὑμνεῖσθαι. Ἄλλως· ἀπὸ κοινοῦ τὸ κλέος λεκτέον, ἵν' ᾖ τὸ δὲ ἄνευ Θεοῦ καὶ χωρὶς Θείας φύσεως προγινόμενον κλέος, τοῦτο σεσιγημένον καὶ μὴ θρυλλούμενον οὐκ ἔστι σκαιότερον οὐδὲ μέμψεως ἄξιον, ὡς τοῦ ἐναντίου μέμψιν ἔχοντος, τοῦ μὴ ἐπαινεῖν τοὺς φύσει ἀγαθούς, ὅπερ ἑαυτὸν λέγει ποιεῖν· δύναται δὲ καὶ οὕτω νοεῖσθαι· ἕκαστον δὲ πρᾶγμα, ὃ μὴ κατὰ φύσιν ἐστί, τοῦτο σεσιωπημένον οὐκ ἔστι σκαιόν· ἐὰν γὰρ νόθον ἂν ἐμφανίζηται, τότε τὴν ἀδοξίαν προστρίβεται, τουτέστι πᾶν πρᾶγμα παρὰ φύσιν γινόμενον οὐχ οὕτως ἐστὶ σιγηθὲν ἀηδές ὡς φαινόμενον· φανὲν γὰρ πλοῦτον ἐρυθριάσει καὶ ὑβρισθήσεται· Θεὸν δὲ τὴν φύσιν λέγει.

157. Οὐ σκαιότερον χρῆμα.] Διατί οὐκ ἔστι σκαιότερον τὸ θαυμάζειν τοὺς ἄνευ Θεοῦ μοίρας τι πράττοντας, ἑαυτοὺς δὲ ἐπιτρέποντας; ὅτι εἰσὶν αἱρετώτεραι καὶ προτιμότεραι

τινες ἐπιτηδεύσεις ἐπιτηδεύσεων, οἷον αἱ προσφυεῖς ἑκάστῳ καὶ οὐκ ἐναντιούμεναι κατὰ γένεσιν καὶ φύσιν.

158. Ἐντὶ γὰρ ἄλλαι ὁδῶν δ' ὁδοὶ ἕως μελέτα] Δεῖ ἕναστον τὴν δεδομένην αὐτῷ ἐκ θεῶν ὁδὸν, ταύτην εἶναι καὶ μὴ παραβιάζεσθαι. Ὅμηρος· (Ἰλιάδ. ν, 730, 732.)

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
Ἄλῳ δ' ἐν στήθεσσι τίθει νόον.

ἕτεραι δὲ ἀμείνονες, παρασκμότεραι, εὐοδώτεραί εἰσιν ὁδοί, δι' ὧν τις δύναται περαιῶσαι· ὃ ἐστιν, εἰ μὴ πέφυκας πρὸς τὸ παγκράτιον, πάλην ἄσκει ἢ ἄλλο τι, πρὸς ὅ,τι ἂν εὐφυῶς ἔχοις· ὁ γὰρ ἑλόμενός τι ὡς τι τηρῆσαι πάντων, ἕκεῖ εὐκλεὴς ἔσται. — Ἴθουν, μὴ ὧν τις παλαιστρίτης καλὸς μετερχέσθω ἄλλην τέχνην· εἰσὶ γὰρ πολλαί· μία γὰρ οὐχ ἅπαντας ἡμᾶς θρέψει τέχνη· ἴθουν, οὐκ ἔστε δυνατὸν πάντας παλαιστρίτας εἶναι, αἱ σοφίαι δὲ μεγάλαι εἰσὶν ἡ ὑψηλαί, ὡς εἶναι τὴν ἐπ' αὐτῶν ὁδὸν δυσχερῆ· ἴθουν, τὸ κατορθῶσαί τινα ἀρετὴν δυσχερὲς ὑπάρχει.

149. Ὁδοὶ περαίτεραι.] Πρακτικώτεραι, ἀνυστικώτεραι.

160. Μία δ' οὐχ ἅπαντας.] Οὐ γὰρ μία μελέτη οὐδὲ τὸ ἓν ἐπιτήδευμα πάντας ἡμᾶς δύναται τρέφειν· μελέτη δὲ ἄσκησίς ἐστι καὶ ἐπιτήδευμα.

161. Σοφίαι μὲν ἀπειναί.] Δυσέφικτοι· τουτέστι ἐφ' ὕψους καὶ προβάσεως κεῖνται αἱ σοφίαι, ὥστε εἶναι τὴν ἐπ' αὐτὰς ὁδὸν δυσχερῆ ἡ οὕτως· ὑψηλόν ἐστι καὶ ἐν μετεώρῳ κείμενον τὸ ἀρετὴν ἔχον· ὡς Ἡσίοδος· (ἔργ. 287.)

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

ἡ οὕτως· αἱ μὲν σοφίαι ὑψηλαί εἰσι καὶ πόρρω καὶ δυσχερεῖς. † Σύνταξις. Σοφίαι μὲν ἀπειναί.] Αἱ σοφίαι μὲν, ἤγουν αἱ λογικαὶ τέχναι αἰπειναί, ἤτοι ὑψηλαί· τοῦτο δὲ τὸ ἄθλον, ἤγουν τὸ γέρας, τουτέστι τὸν ὕμνον προσφέρων, ὦ νοῦ, δηλονότι τῷ Ἐφαρμόστῳ, ὦρυσαι, ἀντὶ τοῦ βόησον ὄρθιον, ἤγουν ὀξὺ, ὑψηλὸν καὶ μετὰ θάρρους, τόνδε τὸν ἄνδρα, τουτέστι τὸν Ἐφάρμοστον, ἀπὸ μοίρας δαίμονος γεγονέναι εὔχειρα, γενναῖον τὰς χεῖρας, δεξιόγυιον, ἤτοι ἐπιτήδειον, εὔστροφον κατὰ πᾶν τὸ σῶμα, ὁρῶντα ἀλκὴν τουτέστι παράστημα γενναῖον ἔχοντα, ὅστις νικῶν ἔπεστε φάνωσεν, ἤγουν ἐκόσμησε δαιτί, τουτέστι δι' ἑορτῆς, τὸ βωμὸν τὸν Αἰάντειον τοῦ Οἰλιάδου, ἀντὶ τοῦ τὸν βωμὸν τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Οἰλέως· πρὸς τὸ σημαινόμενον τοῦ κτητικοῦ ἡ ἀπόδωσις· τὸ τοιοῦτο δὲ σύνηθες καὶ τῷ

πεζῷ λόγῳ. Αἴας ὁ Λοκρὸς ἐν Τροίᾳ ἀποθανὼν τιμᾶται ἐν τῇ Λοκρίδι ἴσα θεῷ· κενοτάφιον γὰρ τούτου ἐνταῦθα ἐποίησαν μέσον τοῦ τόπου, ἔνθα οἱ τῆς ἐπ' αὐτῷ πανηγύρεως ἀγῶνες τελοῦνται· ἐνίκησεν οὖν ἐνταῦθα Ἐφάρμοστος θεῖον εἰπεῖν, ἐπεστεφάνωσε τὸν βωμὸν τοῦ Ὀϊλίδα Αἴαντος. Ὀϊλέως γὰρ υἱὸς ὁ Αἴας. Αἰάντειον εἶπε πρὸς τὸν βωμόν.

162. Τοῦτο δὲ προσφέρων ἄεθλον.] Τὸ τῆς ἐμῆς σοφίας ἐπιτήδευμα· τὸν ἄθλον, αὐτὴν τὴν σοφίαν· ἑαυτῷ ὁ Πίνδαρος παρακελεύεται καί φησιν· ὅμως δὲ τοῦτο ἀπὸ τῆς σοφίας ἄθλον προσφέρων καὶ ἐπληρῶν, τὸν ὕμνον, μέγα καὶ ὑπερφυὲς ἀναβόησον μετὰ εὐθαρσίας· τί δὲ ἀναβόησον; τοῦτον δαιμονίᾳ, λείπει μοίρᾳ, γεγενῆσθαι δυνατὸν ἐν ταῖς χερσὶ καὶ παντὶ τῷ σώματι ἐπιδέξιον κατὰ πᾶν μέλος, ἵνα κοῦφος ᾖ καὶ εὔστροφος παλαιστὴς, ὃς καὶ τῷ βλέμματι ἀλκὴν καὶ δύναμιν ἐμφαίνει· τὸν ὕμνον δὲ λέγει ἔμπαθλον τοῦ νικηφόρου. — Τοῦτο δέ.] Τὸ τοῦτο πρὸς τὸ γεγάμεν ἔχει τὴν δύναμιν εὖτω· προσφέρων, ὦ Θυμὲ ἄθλον καὶ ὥσπερ βραβεῖον τῆς νίκης τὸν ὕμνον τῷ Ἐφαρμόστῳ Θαρσέων καὶ Θαῤῥῶν καὶ μὴ ἀμφιβάλλων ὥρυσαι καὶ μετὰ βοῆς ὕψωσον ὄρθιον τοῦτο, γεγάμεν καὶ ὑπάρξαι τόνδε τὸν ἄνδρα τοιόνδε καὶ τοιόνδε.

163. Θαρσέων.] Θαρσῶν φώνησον ἀνατεινάμενος, ὦ Θυμὲ, ὅτι θεῖα μοῖρα ἐγένετο πρὸς ἄθλησιν οὗτος· περὶ δὲ τοῦ νενικηκότος ὁ λόγος — Ὄρθιον ὥρυσαι.] Ὀξὺ καὶ μέγα· Ὅμηρος (Ἰλ. λ, 11.) Ὄρθι' Ἀχαιοῖσι δὲ μέγα σθένος· λέγει δὲ πρὸς τὸν χορὸν περὶ τοῦ νενικηκότος· βόησον ἀνατεταμένον Θαρσῶν, ὅτι θεῖα μοῖρα ἐγένετο πρὸς ἄθλησιν οὗτος ὁ ἀνήρ· ἢ πρὸς ἑαυτὸν λέγει ὅτι ὥρμησα ὀξέως.

164. Δαιμονίᾳ γεγάμεν.] Ἀντὶ τοῦ θεία μοῖρα γεγονέναι.

165. Δεξιόγυιον.] Τὸν Ἐφάρμοστον λέγει· μετὰ γὰρ σῶμα ἔχει καὶ ὑγιῆ τὰ μέλη· ἐπιδέξιον κατὰ πᾶν μέλος καὶ βλέποντα ἀνδρικῶς. — Δεξιόγυιον.] Ἐπιτήδειον εἰς τὰ μέλη. — Ὁρῶντ' ἀλκάν.] Βλέποντα ἀνδρεῖον.

166. Αἰάντειόν τ' ἐνδαιτὶ Ἰλιάδα.] Ὅστις ἀνὴρ καὶ ἐν τῇ τοῦ Αἴαντος τοῦ Ὀϊλέως παιδὸς πανηγύρει καὶ ἐν τῷ ἐπωνύμῳ αὐτοῦ ἀγῶνι νικήσας θυσίαις καὶ στέμμασι τὸν Αἰάντειον βωμὸν κατεκόσμησε· τὰ Αἰάντεια δὲ ἐν Ὀποῦντι ἄγεται, ἃ νικήσας ἐστεφάνωσε τὸν Αἰάντιον βωμὸν ἐν πανηγύρει. Αἰάντιον· τὸ ἑξῆς· Αἰάντειον βωμὸν ἔστερε νικῶν

ἐν δαιτὶ, τουτέστιν ἐν τῷ ἀγῶνι τοῦ Ὀϊλέως παιδὸς· ἀπὸ δὲ τοῦ ι τὸ ὄνομα εἶπεν· ὡς τὰ ἐν Ὀποῦντι Αἰάντεια νενικηκότος καὶ ἐστεφανωκότος τὸν Αἴαντος βωμόν· ἄγεται δὲ ταῦτα τῷ Λοκρῷ Αἴαντι ἐν Ὀποῦντι.

167. Ἰλιάδα.] Τοῦ Ὀϊλέως παιδὸς τοῦ Αἴαντος τοῦ Λοκροῦ· ἄνευ δὲ τοῦ ϱ εἴρηκε τὸν Ἰλιάδα, ὡς ποὺ φησι καὶ Ἡσίοδος.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Ι' (ΙΑ').

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ἑνδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἓξ. Τὸ ά ἰαμβέλεγος, τῆς τελευταίας εἰς τὴν ἀρχὴν μετατεθείσης. Τὸ β' ὅμοιον τῷ πρώτῳ, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ γ' τὸ αὐτὸ παρὰ τὸν τελευταῖον πόδα. Τὸ δ' μικτὸν ἐκ διμέτρου τροχαϊκοῦ καὶ ἡμίσεος ἔπους. Τὸ ε τραχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς Ἴαμβον, Πινδαρικῷ ἤθει. Τὸ ϛ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον ἢ ἰαμβέλεγος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων δέκα. Τὸ ά ἐγκωμιολογικόν. Τὸ β' δίμοιρον ἔπους. Τὸ γ' ἰαμβέλεγος παρὰ τὴν πρώτην συλλαβήν. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε τὸ αὐτό. Τὸ ϛ' τροχαϊκὸν δίμετρον καταληκτικὸν τὸ αὐτὸ Εὐριπίδειον. Τὸ ζ' ἐγκωμιολογικόν· ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸν δάκτυλον. Τὸ η χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον· Τὸ θ' Εὐριπίδειον. Τὸ ι τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

НБ ОНУ імені І.І. Мечникова

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου εἴδους· ἔστι δὲ μιᾶς στροφῆς. Παλαιόν.

Τοῦ ἑνδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάττα κώλων ἓξ. Τὸ πρῶτον προσῳδιακὸν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον ἀκατάληκτον, ἓξ ἐπιτρίτου δευτέρου, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ β' ὅμοιον, πλὴν τρίμετρον καταληκτικόν· οἱ δὲ λέγοντες ὡς ἰαμβέλεγοι καὶ ἀμφότερά ἐστι τὰ κῶλα, μετατιθεμένης τῆς τελευταίας τούτων συλλαβῆς ἐν τῇ ἀρχῇ, οὔ μοι δοκοῦσι καλῶς λέγειν· ἐπεὶ μηδ' ἐν ἄλλοις κώλοις τοιοῦτό τι κεκαινοτόμηται. Τὸ γ' ὅμοιον, πλὴν δίμετρον ἀκατάληκτον. Τὸ δ' ἀσυνάρτητον ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἡμίσεος ἔπους· τρίμετρον γάρ ἐστι δακτυλικὸν τὸ ἥμυσυ τοῦ ἔπους. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς ἴαμβον καταλῆγον Πινδαρικῷ ἔθει· τοῦτο γὰρ ἐν τοῖς τροχαϊκοῖς ἔθος αὐτῷ. Τὸ ς' ἰαμβέλεγος, ἤτοι ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν· εἰ δὲ βούλει, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἓξ ἰάμβων καὶ ἀναπαίστων. Ἐπὶ τὸ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἡ ἐπῳδὸς κώλων δέκα. Τὸ πρῶτον ἐγκωμιολογικὸν ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β' δίμοιρον ἔπους· οἱ γὰρ δ' πόδες τῶν ἓξ δίμοιρον. Τὸ τρίτον ἰαμβέλεγος, ὅμοιον τῷ ς' τῆς στροφῆς. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε' ὅμοιον τροχαϊκόν. Τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑρθημιμερὲς, ὃ καλεῖται Εὐριπίδιον ἢ ληκύθιον. Τὸ ζ' ἐγκωμιολογικὸν Πινδαρικῷ ἔθει· ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸ ἀντὶ μιᾶς τῆς τελευταίας συλλαβῆς τοῦ ἰαμβικοῦ ἔχειν δύο. Τὸ η' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ' ὅμοιον τῷ ς'. Τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ. — Τῷ αὐτῷ τόκος.] Τόκος γέγραπται, ἐπειδὴ ἐν προσθήκης μέρει τελευταῖον γέγραφε, διδοὺς ὡς ἂν τόκον, διὰ τὸ μὴ παρὰ τὸν τῆς νίκης καιρὸν γεγραφέναι τὸν ἐπίνικον, καθάπερ καὶ ἐπὶ δανεισμάτων τὸ προστιθέμενον ἐκτὸς τοῦ ἀρχαίου· τόκος δὲ κέκληται παρὰ τὸ ἐπιτετέχθαι καὶ ἐπιγεγενῆσθαι τῷ ἀριθμῷ τοῦ δανείσματος.

1. Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα χρῆσις.] Ὁ λόγος· ἔστι καιρὸς τοῖς ἀνθρώποις, φησίν, ὅτε πλείστη χρεία γίνεται ἀνέμου, οἷον ἐπὶ τῶν πλεόντων μάλιστα συμβαίνει ἔστι δὲ ὅτε καὶ οὐρανίων ὄμβρων τοῖς γεωργοῦσι χρεία· οὕτω δηλονότι καὶ τοῖς ἀθληταῖς ἐγκωμίων. Ἄλλως· ἔστιν ὅτε τοῖς ἀνθρώποις πολλὴ χρεία ἐστὶν ἀνέμου, οἱονεὶ τοῖς πλέουσι· καὶ ἔστιν ὅτε πλείστη χρεία ἐστὶν ὄμβρων καὶ ὑετῶν, οἱονεὶ τοῖς γηπονοῦσιν. — Ἔστιν ἀνθρώποις.] Ἔστι καιρὸς ὅτε ἐστὶ τοῖς ἀνθρώποις χρεία πλείστη ἀνέμων, ἔστι δὲ καιρὸς ὅτε ἐστὶ χρεία αὐτοῖς ὑδάτων οὐρανίων ὀμβρίων, τουτέστι τῶν ὄμβρων, τῶν παίδων τῆς νεφέλης, ἤγουν οἵτινες ὄμβροι παῖδές εἰσι τῆς νεφέλης.

3. Παίδων Νεφέλας.] Παῖδας νεφελῶν τοὺς ὄμβρους φησίν.

4. Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι.] Εἰ δέ τις, φησί, μὴ κατὰ κενὸν πονήσει, διὰ δὲ τῶν πόνων ἀθλήσας τοῦ ἀθλήματος τῆς νίκης τύχοι, τούτῳ προσδεῖται ὕμνων· οὗτοι γὰρ αὐτῷ ἀρχὴν ποιοῦνται τῶν ὑστέρων πρὸς αὐτὸν καὶ περὶ αὐτοῦ ἐσομένων λόγων. Ἄλλως· ἐπειδὴ ἡδυτάτοις μέλεσιν ἐχρήσατο, μελιγάρυες ὕμνοι, φησί, τῶν ὑστέρων λόγων ἀρχαί εἰσι· δι' αὐτοὺς γὰρ καὶ οἱ ὕστεροι μνημονεύουσι τῶν προγενεστέρων, ἢ ταῖς ἀρεταῖς οἱ ὕμνοι συνηρμοσμένοι εἰσὶ τῶν ὑμνουμένων. Ἄλλως· εἰ δέ τις πονήσας εὐτυχῆ πράσσει καὶ νικήσει, τούτῳ οἱ ἡδεῖς οὗτοι ὕμνοι τῶν ὑστέρων ἐπαίνων ἀρχὴ γίνονται καὶ πρόφασις, ἀντὶ τοῦ οἱ ὕμνοι οὗτοι αἴτιοι γίνονται τοῦ καὶ αὖθις μνημονεύεσθαι τοῦ νικηφόρου τὰ κατορθώματα, τῶν ὑστέρων μετὰ ταῦτα λόγων ἤτοι ἐπαίνων μελλόντων λέγεσθαι, τοῦ ὕμνου τὴν ἀρχὴν καὶ τὴν πρόφασιν διδόντος. — Εἰ δέ τις εὖ πράσσοι, ἤγουν εὐτυχοίη, νικῴη μετὰ κόπων, οἱ ἡδύφωνοι ὕμνοι τέλλεται, ἀντὶ τοῦ τέλλονται, ἤγουν γίνονται αὐτῷ ἀρχαί, τουτέστι ῥίζαι, αἰτίαι τῶν ὑστέρων λόγων ἤτοι φημῶν, τουτέστι τοῦ ἐπικρατῆσαι ὕστερον τὴν φήμην τῆς νίκης, καὶ πιστὸν ὅρκιον, ἤγουν καὶ βεβαία ἀσφάλεια γίνονται οἱ ἡδύφωνοι ὕμνοι ταῖς

μεγάλοις κατορθώμασιν αὐτοῦ· οὗτος δὲ ὁ ἔπαινος ὁ δι' ἐμμελῶν ποιημάτων δηλονότι, ἀφθόνητος, ἤγουν ἄπειρος τῶν κακῶν τοῦ φθόνου, τουτέστιν ἀκαταπόνητος ἢ ἀδιάβλητος ἀνάκειται, ἀντὶ τοῦ διαμένει τοῖς Ὀλυμπιονίκαις· ἐπεισὶ δὲ διπλοῦν ἔρη τὸν ὕμνον γίνεσθαι τοῖς νικηταῖς, τὸν μὲν ἐγχράρως ἀπὸ τῶν ποιητῶν, τὸν δὲ ἀπὸ φήμης τῶν ἄλλων ἀνθρώπων, διὰ τοῦτο τούτῳ τῷ προοιμίῳ ἐχρήσατο τῶν ἀνέμων καὶ τῶν ὄμβρων· παρεικάζει δὲ τὴν μὲν τῶν ἄλλων φήμην ἀνέμοις, ὡς ἀστάτοις· τοιαύτη γὰρ ἡ φήμη ἀνυπόστατος· τὸν δὲ ἔγγραφον ὕμνον ὄμβρῳ, οὗ μόνον ὡς τὴν γῆν πιαίνοντι καὶ θάλλειν ποιοῦντι τὰ σπέρματα, ἀλλὰ καὶ ὡς στασίμῳ καὶ ἐπὶ πλεῖστον καιρὸν διαμένοντι· τοιοῦτον δὲ καὶ ὁ ὕμνος· θάλλειν γὰρ ποιεῖ τὸν ὑμνούμενον καὶ εἰς μακροὺς διαμένειν χρόνους. — Μελιγάρυες.] Γλυκύφωνοι.

5. Ὕστερον.] Μεγίστων. — Τέλλεται.] Ἀντὶ τοῦ τέλλονται οἱ ὕμνοι ἑνικὸν ἀντὶ πληθυντικοῦ.

Σημείωσαι ἐνταῦθα τὸ τέλλεται· οὐδεὶς γὰρ οὔτε τῶν προγενεστέρων οὔτε τῶν ἔπειτα ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς ὀνόμασι τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο ὥσπερ οὗτος· ἡμεῖς δὲ, εἰ καὶ μὴ ἐν ἄλλοις ταυτηνί τὴν παρανομίαν οὗτος ἐποίει, εἴποιμεν ἄν, πρὸς τὸ πιστὸν ὅρκιον ἀποδεδόσθαι τὸ τέλλεται οὕτως· οἱ μελιγάρυες ὕμνοι ἀρχαὶ καὶ προφάσεις τῶν ὑστέρων ὑπὲρ αὐτοῦ λόγων καὶ πιστὸν ὅρκιον τέλλεται ταῖς μεγάλαις αὐτοῦ ἀρεταῖς.

6. Καὶ πιστὲν ὅρκιον μεγάλαις ἀρεταῖς.] Σύνθημα, ὁμολόγημα· δύναταί τις ὀμόσαι νενικηκέναι τὸν Ἀγησίδαμον ἀκούων τοῦ ὕμνου. Ἄλλως· ἀντὶ τοῦ οἱ ὕμνοι οὐ γὰρ ἀπολείπουσιν αὐτοὺς οὐδέποτε συμπαρόντες, ἀλλ' ἀεὶ μένειαν αὐτοῖς πορίζουσιν· καὶ τὸ μέγιστον, ὅτι ἀλλότριος τῶν διὰ φθόνου ἐπιβουλευόντων ὁ ὕμνος ἐστὶν· εἰκόνα μὲν γὰρ καὶ ἄγαλμα καθέλοι ἄν τις διὰ φθόνον, ὕμνον δὲ ῥηθέντα οὐκ ἄν τις ἀφανίσειεν.

7. Ἀφθόνητος.] Πολυφθόνητος.

8. Ἄγκειται.] Ἀνάκειται. — Οὗτος ἄγκειται.] Ἤγουν ὁ διὰ ὕμνων αἶνος· καὶ γὰρ οἱ τοῖς νικηφόροις παρὰ τῶν ἄλλων ἀνιστάμενοι ἀνδριάντες ἢ ὑπὸ χρόνου ἢ ὑπὸ βασκάνων τινῶν καθαιροῦνται· ὁ δὲ διὰ λόγων ὕμνος, ἕς τ' ἂν ἄνθρωποι ὦσιν, ἀθάνατος μένει. — Τὰ μὲν ἀμετέρα γλῶσσα.] Ὕμνος ἀφθόνητός ἐστιν ἔπαινος, καὶ ἀνάκειται τοῖς Ὀλυμπιονίκαις· ταῦτα οὖν τὰ κατορθώματα καὶ τὰ ἐγκώμια τῶν ἐν Ὀλυμ-

πία νενικηκότων καὶ ἡ ἡμετέρα γλῶσσα καὶ Μοῦσα περιέπειν καὶ ἀνυμνεῖν βούλεται. — Τὰ μὲν ἀμετέρα.] Τὰ μὲν, ἀντὶ τοῦ τὸ μὲν, ἤγουν τὸ τῶν ὕμνων, ἡ ἐμὴ γλῶσσα ἐθέλει ποιμαίνειν, ἀντὶτοῦ διοικεῖν, οἰκονομεῖν· ἐκ βοηθείας δὲ Θεοῦ πᾶς ἀνὴρ ἀνθεῖ ἐσαεὶ, ἀντὶ τοῦ λαμπρός ἐστιν, εὐδοκιμεῖ ἐπὶ σοφαῖς διανοίαις· γέγωτκε νῦν, ὦ Ἀγησίδαμε, παῖ τοῦ Ἀρχεστράτου, ὅτι ἕνεκα τῆς σῆς πυγμαχίας, τουτέστι τοῦ ἀγῶνος τῆς πυγμῆς, ἣν σὺ ἠγωνίσω, ὑμνήσω κόσμον, ἀντὶ τοῦ ὕμνον ἡδυμελῆ, τουτέστιν ἐξ ἡδέων μελῶν συγκείμενον, ἐπὶ τῷ στεφάνῳ τῆς ἐλαίας τῆς χρυσῆς, ἀντὶ τοῦ τῆς τιμίας, τῆς καλλίστης ἀλέγων, ἤγουν ἐν φροντίδι ποιούμενος, τουτέστιν ὑμνῶν τὴν γενεὰν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων

10. Ἐκ Θεοῦ δ' ἀνήρ.] Κατὰ δὲ βούλησιν δαίμονος ἴσως καὶ αὐτῷ τῷ τρόπῳ σοφὸς διὰ παντὸς ἀνθεῖ ταῖς γνώμαις· ἀπὸ γὰρ Θείας μοίρας μουσικός τις καὶ ἔξοχος λάμπει, ὁμοίως ὥσπερ καὶ σὺ νενίκηκας, τοῦτο δὲ πρὸς τὰ ἴδια ἐγκώμια κατασκευάζει, λέγων ἑαυτὸν διὰ παντὸς σοφῶς πράξειν· καὶ ἡμεῖς, φησι, καὶ οἱ ὕμνοι καὶ οἱ ἐγκωμιάζοντες τῆς τῶν Θεῶν ἐπινοίας δεόμεθα. — Θεοῦ.] Δυνάμεως.

11. Ἴσθι νῦν Ἀρχεστράτου παῖ.] Ἴσθι δὴ οὖν καὶ γίνωσκε, ὦ Ἀγησίδαμε, ὅτι τῆς σῆς πυγμῆς ἕνεκεν τὸν κόσμον τὸν διὰ τοῦ στεφάνου κελαδήσω· λέγει δὲ, τὸν ὕμνον ἀναδοήσω τῆς καλλιστεφάνου ἐλαίας.

13. Κόσμον. Ὠδήν. — Κόσμον ἐπὶ στεφάνῳ.] Λείπει τὸ δεξάμενον· τὸν ὕμνον λέγει· παρεῖται δέ τι εἰς τὸ τοῦ λόγου πλῆρες· πληρωθείη δ' ἂν οὕτω· χρυσέας ἐλαίας σε κόσμον δεξάμενον κελαδήσω, τοὺς Ἐπιζεφυρίους φροντίδος ἀξιῶν Λοκροὺς διὰ σέ. Κελαδήσω δὲ τὸν κόσμον τῆς νίκης σου, τῶν Ἐπιζεφυρίων Λοκρῶν φροντίδα ποιούμενος καὶ μνήμην· γένη δὲ καὶ ἔθνη τῶν Λοκρῶν εἰσι τρία, Ἐπιζεφύριοι, Ὀζόλαι, Ἐπικνημίδιοι· τούτων οἱ μὲν Ἐπιζεφύριοί εἰσι Λοκροὶ ἐν τῇ Ἰταλίᾳ, οἱ δὲ Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, οἱ δ' Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ, ὅθεν ὁ Ὀϊλέως Αἴας, ὑπῆρχε καὶ τὴν ἐπωνυμίαν ἔσχε τὴν τοῦ Δοκροῦ.

15. Ἀλέγων.] Ἐν φροντίδι ἔχων, μεμνημένος, ἀνυμνῶν· ἀλέγων· ὑμνῶν· καὶ Ἀλκαῖος· Οὐκ ἐγὼ λύκον ἐν Μούσαις ἀλέγω παρὰ τὸ ἀλέγειν καὶ φροντίδα ποιεῖν. — Ἀλέγων.] Φροντίζων· φημίζων.

16. Ἔνθα συγκωμάξατε.] Ἐν ταύτῃ οὖν τῇ Λοκρίδι τῶν

Ἐπιξεφυρίων συγκωμάσατε καὶ συγχορεύσατε, ὦ Μοῦσαι· ἐγγυήσομαι δὲ ἀφίξεσθαι ὑμᾶς πρὸς στρατὸν μὴ ἄξενον, ἤτοι κακόξενον, μηδὲ καλῶν ἄπειρον, ἀλλὰ πάντων καλῶν πεπειραμένον· ἐκεῖ δὲ συγχωρεύσατε, ὦ Μοῦσαι· ἐγγυῶμαι γὰρ ὑμῖν, μηδαμῶς τὸν στρατὸν αὐτῶν ἢ τὸν δῆμον κακόξενον εἶναι καὶ μὴ χαίροντα μουσικῇ —Ἔνθα συγκωμάζατε.] Ἔνθα, ἤγουν ἐν τοῖς Λοκροῖς, ὦ Μοῦσαι, συγκωμάσατε, τουτέστιν ὁμοῦ χορεύσασαι ὑμνήσατε, ἀπελθοῦσαι δηλονότι ἐκεῖσε· ἐγγυήτομαι, ἤτοι βεβαιώσομαι μὴ εἰς στρατὸν ψυγόξενον, ἤγουν διώκοντα τοὺς ξένους, τουτέστιν ἄξενον, αὐτὸν τὸν τῶν Λοκρῶν δηλονότι ἀφίξεσθε, ἤγουν παραγενήσεσθαι, ἀπελεύσεσθαι ὑμᾶς, μηδὲ ἀπείρατον, ἤτοι ἀδόκιμον, ἀμέτοχον καλῶν, ἔργων δηλονότι· εἰς ἀκρόσοφον δὲ, τουτέστιν ἄκρως σοφὸν στρατὸν βεβαιῶ ἀπελθεῖν ὑμᾶς, καὶ αἰχμητὴν, ἤγουν αἰχμὴν εἰδότα μεταχειρίζεσθαι, ἤγουν πολεμιστήν· τὸ γὰρ ἐμφυὲς ἦθος, τὸν ἔμφυτον τρόπον, ἤτοι τὸν φυσικὸν, οὔτε ἡ ἀλώπηξ ἡ αἴθων, ἤγουν ἡ διάπυρος, ἡ τοὺς τρόπους θραστηρίας, οὔτε οἱ λέοντες οἱ μεγαλόκηροι διαλλάξαιντο, ἤγουν διαλλάξουσι, μεταβαλοῦσιν· ἀποροῦσιν ἐνταῦθα, πῶς πρὸς τὸ φυγόξενον καὶ τὸ ἀπείρατον στερήσεις ἔθηκεν, εἰς δὲ τὸ ἀκρόσοφον καὶ τὸ αἰχμητὰν οὔ· καί φαμεν ὅτι ὃν τρόπον ἔχει τὸ, οὔτε τόδε καὶ τόδε, οὕτω καὶ ἐνταῦθα ἐγγυάσομαι καὶ ὑποσχεθῶ ἀφίξεσθαι καὶ ἐλθεῖν ὑμᾶς εἰς στρατόν μιν καὶ αὐτὸν, τὸν τῶν Λοκρῶν δηλονότι, οὐκ εἰς φυγόξενον οὐδὲ καλῶν ἄπειρατον εἰς ἀκρόσοφον δὲ καὶ αἰχμητήν.

17. Φυγόξενον.] Ἄριλον· μισόξενον· διώκοντα τοὺς ξένους. — Φυγόξενον.] Φυγαδεύοντα τοὺς ξένους, κακόξενον.

19. Ἀκρόσοφον. Τὸν εἰς ἄκρον ἐληλυθότα σοφίας. — Τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ] Τὸ γὰρ ἦθος τὸ ἐκ τῆς φύσεως οὐκ ἂν μεταβάλοι οὔτε ἡ δολία ἀλώπηξ οὔτε οἱ φοβεροὶ λέοντες· τοῦτο δὲ ὡς φύσει ὄντας αὐτοὺς πρὸς ἀρετὴν ἐπιτηδείους, καὶ οὐχ' οἵοντε μεταβληθῆναι· διὰ τοῦτο οὖν, φησὶ, καὶ ἐγγυῶμαι αὐτούς. Ἄλλως· τούτοις ὑπακουστέον, ὅτι οὐδὲ οἱ Λοκροὶ τὸ συγγενικὸν μετέβαλον, ἀλλ' ὡς ἀπ' ἀρχῆς αἰχμηταί, τῶν προσεδηλωμένων ἀρετῶν μετέχοντες ἐκ φύσεως, ὥσπερ οὖν ὁ λέων οὐ μεταβάλλει τὸ γενναῖον οὐδὲ ἡ ἀλώπηξ, τὸ σοφὸν, οὕτως οὐδὲ οἱ Λοκροὶ τὸ ἔμφυτον ἦθος μεταβάλλονται.

20. Αἴθων.] Καυστικὴ κοκκίνη. — Αἴθων ἀλώπηξ.] Διάπυρος, δολία τῇ διανοίᾳ· ἢ αἴθων παρόσον λαμπουρὶς κα-

λεῖται ἡ ἀλώπηξ· πανοῦργον ζῷον ἡ ἀλώπηξ, ὁ δὲ λέων δυναμικώτερος· ἀλλ' οὐκ ἀλλάξει τὸ ἦθος τὸ ἔμφυτον.

21. Ἐρίβρομοι.] Μεγαλόφωνοι.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΑ' (Γ.)

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ δεκάτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων ἡ. Τὸ ἀ Ἀσκληπιάδειον ἀντισπαστικὸν ἀκατάληκτον, τοῦ πρώτου ἀντισπάστου ἀπὸ διβραχέος ἀρξαμένου. Τὸ β' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἀπὸ ἰάμβου καὶ λῆγον εἰς ἴαμβον. Τὸ γ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, ὁ τρίτος δάκτυλος πανταχοῦ. Τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διηρημένου τοῦ πρώτου ποδός. Τὸ ε καταληκτικὸν πενθημιμερές, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὅ ἐστι Φερεκράτειον παρὰ συλλαβήν. Τὸ ζ' ἐπιωνικὸν τρίμετρον καταληκτικόν· ἡ πρώτη συζυγία Ἰωνική, ἡ δευτέρα ἰαμβική, εἶτα τροχαῖος οἰκεῖος τῇ Ἰωνικῇ, καὶ συλλαβή. Τὸ ή Γλυκώνειον, ὅπερ ἔλυσεν ἐν τῷ Πέρνε Κτέατον ἀμύμονα, ἐννεασύλλαβον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων θ'. Τὸ ά χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ πρώτη συζυγία ἰαμβική ἐστι, τοῦ δευτέρου ποδὸς ἀναλυομένου, εἶτα χοριάμβος, εἶτα πους

ἁπλοῦς. Τὸ β' προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ πρῶτος τροχαῖος, τοῦ ἑνὸς ποδὸς λελυμένου, εἶτα Ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χοριάμβος. Τὸ γ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον λελυμένον. Τὸ δ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικῆς συζυγίας λελυμένον. Τὸ ε Ἰωνικὸν τετράμετρον καταληκτικὸν, τοῦ τρίτου παίωνος ἀντὶ τοῦ ἀπ' ἐλάσσονος κειμένου καὶ τροχαίου καὶ συλλαβῆς. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ Ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ποδὸς ἡμίσεος. Τὸ η ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δεύτερος ποὺς ἀνάπαιστος, ὁ τέταρτος τρίβραχυς. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς συζυγίας.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ δεκάτου εἴδους· ἔστι δὲ στροφῶν ε.

Τοῦ δεκάτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ἡ. Τὸ πρῶτον ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀσκληπιάδειον ἀπὸ τοῦ εὑρόντος ἢ καταχρησαμένου αὐτῷ· σύγκειται δὲ ἐκ δύο ἀντισπάστων καὶ δύο ἰάμβων, ἀλλ' ὁ πρῶτος ἀντίσπαστος οὐκ ἔστι καθαρός· τρέπεται γὰρ εἰς τὰ εἰρημένα τοῦ δισυλλάβου σχήματα, καὶ ἔστιν ἐνταῦθα παίων τρίτος τὸ δεύτερον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἐξ ἰαμβικῆς συζυγίας καὶ καταλῆξαν εἰς ἴαμβον. Τὸ γ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τὸν τρίτον ἔχον πόδα δάκτυλον. Τὸ δ' τροχαϊκὸν, τοῦ πρώτου καὶ τρίτου ποδὸς διαλελυμένου εἰς τρίβραχυν. Τὸ ε προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον σπονδείου ἀρχομένου. Τὸ ς' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον· οἱ δέ φασι Φερεκράτειον ἐνδέον μιᾷ συλλαβῇ. Τὸ ζ' Ἰωνικὸν τρίμετρον καταληκτικόν· ἡ πρώτη Ἰωνική, ἡ β' ἰαμβικὴ καὶ ἡ γ' τροχαϊκή. Τὸ η ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον· διέλυσε δὲ τὸν ἀντίσπαστον εἰς τὸ Πέφνε Κτέατον ἀμύμονα, ποιήσας τὸ κῶλον ἐννεασύλλαβον. Ἑφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων θ'. Τὸ α χοριαμβικὸν τρίμετρον

βραχυκατάληκτον, οὗ ἡ πρώτη συζυγία ἰαμβικὴ, τοῦ δευτέρου ποδὸς διαλελυμένου εἰς τρίβραχυν, εἶτα χοριάμβου, εἶτα πους ἁπλοῦς. Τὸ δεύτερον προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ἡ πρώτη συζυγία τροχαϊκὴ, τοῦ πρώτου τροχαίου διαλυομένου εἰς τρίβραχυν, εἶτα Ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χοριάμβος. Τὸ τρίτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τινὰς τῶν ποδῶν ἔχον λελυμένους· ἐμοὶ δὲ δοκεῖ Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν τὸν δεύτερον ἔχον πόδα πεντασύλλαβον, ἤτοι ἰαμβικὴν συζυγίαν διαλελυμένου τοῦ δευτέρου ποδὸς, τὴν δὲ τρίτην Ἰωνικὴν καταληκτικήν. Τὸ δ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς πρώτης συζυγίας ἰαμβικῆς λελυμένης εἰς ἴαμβον καὶ ἀνάπαιστον, τῶν δ' ἄλλων Ἰωνικῶν. Τὸ ε' Ἰωνικὸν τετράμετρον καταληκτικὸν, τοῦ τρίτου παίωνος ἀντὶ Ἰωνικοῦ κειμένου τοῦ ἀπ' ἐλάσσονος, εἶτα Ἰωνικῶν, καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ στ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων· ἐμοὶ δὲ δοκεῖ ὡς ἰαμβέλεγός ἐστι τοῦτο τὸ κῶλον· ἐκ γὰρ δύο ἰάμβων καὶ συλλαβῆς καὶ ἐκ δύο δακτύλων καὶ συλλαβῶν σύγκειται· εἰ δ' ἓν τισι τῶν κώλων καὶ τριβραχυς εὑρηται, ἀλλ' οὐκ ἔστι τρίμετρον, ἀλλὰ δάκτυλος· κοινὴ γὰρ συλλαβὴ τὰ τέλη τῶν λέξεων ἐν τῷ δακτυλικῷ λελόγισται. Τὸ ζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ἡμίσεος ποδὸς ἀδιαφόρου. Τὸ η' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δ' πους ἀνάπαιστος, ὁ δὲ τέταρτος τρίβραχυς. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς εἰς Ἰωνικὴν συζυγίαν. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ.] Ἔθνη Λοκρῶν εἰσι τρία. Ἐπιζεφύριοι πρὸς τῇ Ἰταλίᾳ, Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ· ἐνίκησε δὲ οὗτος ὁ Ἀγησίδαμος τὴν ἑβδομηκοστὴν τετάρτην Ὀλυμπιάδα· οὗτος ἐνίκησεν ἕκτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα.

1. Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι.] Ὁ λόγος πρὸς τὰς Μούσας, ἢ πρὸς τοὺς τοῦ χοροῦ· ἔοικεν ὁ Πίνδαρος πρὸ πολλοῦ συνθέμενος γράφειν αὐτῷ τὸν ἐπίνικον ἐν λήθῃ γενέσθαι, αὖθις δ' ἀποδοὺς αὐτῷ σὺν τόκοις ὥσπερ τι χρέος

παλαιὸν διαλύσασθαι, προσθεὶς ἕτερόν τι ᾠδάριον· τὸ δὲ ἑξῆς· ἀνάγνωτέ μοι, ἀντὶ τοῦ ἀναμνημονεύσατε καὶ ἀναγνωρίσατε, ὦ Μοῦσαι, ἐν ᾧ χωρίῳ τῆς φρενός μού ἐστιν ὁ Ἀγησίδαμος· ὡς δὲ προδιαθέμενος ἤδη τὸν ἐπίνικον νῦν ἀναμνήσεως δεῖν αὐτῷ φησι· καὶ Σοφοκλῆς ἐν Τριπτολέμῳ. Θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους· ἔστι δὲ τροπικῶς ταῦτα. Ἄλλως· ἀναγνωρίσατέ μοι καὶ εἰς μνήμην τὴν ἐμὴν ἀγάγετε τὸν Ὀλυμπιονίκην τὸν τοῦ Ἀρχεστράτου υἱὸν καὶ εἴπατε, ἐν ποίῳ μέρει μου τῆς διανοίας κεχάρακται· τρία μέρη φασὶν εἶναι τῆς φρενὸς, λογιστικὸν, μνημονευτικὸν καὶ φανταστικὸν, καὶ τὸ μὲν λογιστικὸν ἐστιν ἐν τῷ ἐγκεφάλῳ, τὸ δὲ φανταστικὸν ἐν τῷ μετώπῳ, τὸ δὲ μνημονευτικὸν μέσον τῶν δύο· ἔχουσι δὲ ἀμφότερα, τό τε λογιστικὸν καὶ φανταστικὸν ὥς τι ταμεῖον τὸ μνημονευτικὸν, καὶ ἐναποτιθεῖσιν ἐν αὐτῷ, ἅπερ ἐκεῖνο μὲν φαντάζεται, ἐκεῖνο δὲ, ἤγουν τὸ λογιστικὸν, λογίζεται· ἐκ δὲ τούτου, ἤγουν τοῦ μνημονευτικοῦ ἔχομεν μνημονεύειν, ἅπερ ἀνέγνωμεν καὶ ἅπερ ἐθεασάμεθα· διά τοι τοῦτο καὶ ὁ Πίνδαρος εἶπεν, ἀναγνωρίσατέ μοι, ὦ Μοῦσαι, ἐν ποίῳ μέρει τῆς φρενὸς γέγραπται, ἤγουν κεχάρακται ὁ παῖς τοῦ Ἀρχεστράτου, ἤγουν ὁ Ἀγησίδαμος· χρεωστῶν γὰρ αὐτῷ ὕμνον γλυκὺν, ὦ Μοῦσαι, ἐπελαθόμην μέχρι τοῦ παρόντος. Ἄλλως· ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ προοιμίου ὁ Πίνδαρος δῆλός ἐστιν, ὅτι πρὸ πολλοῦ μὲν ἠξίωτο γράψαι, ὑπερθέμενος δὲ νῦν ὡς ἐξ ὑπομνήσεως ἀποδοῦναι βούλεται τὸν ὕμνον· πόθι φρενός· ἐν ποίῳ μέρει τῆς ἐμῆς φρενὸς ἀπόκειται, διὰ τὸ μῆκος τοῦ χρόνου· γράφεται δὲ καὶ ἐγγέγραπται, οἱονεὶ ἐγκεχάρακται. — Ἔοικεν ὁ Πίνδαρος ἐκ πολλοῦ συνθέμενος γράψειν αὐτῷ τὸν ἐπινίκιον ὀλιγορῆται διά τινα περιπέτειαν· νῦν οὖν ὥσπερ τι χρέος ἀποδίδωσιν αὐτῷ τὸν παρόντα ὕμνον· ἐπεὶ δὲ τὸ χρέος γεγονὸς χρόνιον ἀπαιτεῖ καὶ τόκον, προστίθησι μετὰ ταῦτα καὶ ᾠδάριόν τι ὥσπερ τινὰ τόκον· τὸ δὲ ἀνάγνωτε οὐχ ὡς φασί τινες, ἀντὶ τοῦ ἀναγνωρίσατε, ἀλλ' ἐπειδὴ γέγραπται λέγει, διὰ τοῦτο ἀνάγνωτε εἶπε· τὰ δὲ γεγραμμένα ἀναγινώσκεται· φασὶ δέ τινες, ὅτι πρὸς τὰς Μούσας πάσας ποιεῖται τὸν λόγον· ἐγὼ δὲ φημι πρὸς τὴν Μοῦσαν καὶ τὴν Ἀλήθειαν, εἰ καὶ ὕστερον ταύτας ἐπιβοᾶται.

5. Ὦ Μοῖσα, ἀλλὰ σὺ θυγάτηρ.] Σὺ τοίνυν, ὦ Μοῦσα, καὶ σὺ τοῦ Διὸς θυγάτηρ Ἀλήθεια, ταῖς ἴσαις καὶ δικαίαις χρεῖν ἀποκωλύσατε καὶ ἀπείρξατε ἀπ' ἐμοῦ τὴν ἐπίπληξιν

καὶ τὴν ἐπιτίμησιν, ἣν ἄν τις εἰς ἐμὲ ποιήσαιτο, ὡς εἰς τὸν ξένον μου καὶ φίλον ἡμαρτηκότα, ὅτι ἐψευσάμην καὶ ἐθράσυνα πληρῶσαι τὸν ὕμνον· ἀλιτόξενον οὖν ἐνιπὴν φησι τὴν διαμαρτάνουσαν εἰς τοὺς ξένους, ὅτι ξένου αὐτῷ ὄντος τοῦ Ἀρχεστράτου ψευσάμενος ἤλιτεν εἰς αὐτὸν, ὅ ἐστιν ἥμαρτεν· τὴν Ἀλήθειαν Διός φησι Θυγατέρα εἶναι· ἐπὶ τούτῳ πρέπει ἀληθεύειν. Οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον. (Ἰλιάδος α, 526.) — Ὦ Μοῖσα, ἀλλὰ σύ.] Ἐπειδὴ ποιήσειν αὐτ εἰπὼν οὐκ ἐψεύσθη ἀλλ' ἐπελάθετο, διὰ τοῦτό φησιν· ὦ Μοῦσα καὶ ὦ Ἀλήθεια, ἀντὶ τοῦ ὦ λόγοι τῆς ἐμῆς ποιήσεως, ἀληθῶς ὡς ὑπεσχόμην ἐπαινέσοντα αὐτὸν μὴ συγχωρήσητε ψευδομένου αἰτίαν λαβεῖν με· τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι, ὦ παρόντες ὀλιγόντι, ἤγουν ἀναγνόντες ὥσπερ ἐν βιβλίῳ γράμματα, εἰς μνήμην ἀγάγετέ μοι τὸν υἱὸν τοῦ Ἀρχεστράτου, τὸν Ἀγησίδαμον τὸν Ὀλυμπιονίκην, ἐν ποίῳ μέρει τῆς ἐμῆς μνήμης ἐστὶ γεγραμμένος, ἤτοι ἀποκείμενος· γλυκὺ γὰρ μέλος ἀντὶ τοῦ ἡδὺν ὕμνον χρεωστῶν αὐτῷ ἐπελαθόμην· ἀλλ' ὦ Μοῦσα σὺ καὶ ἡ Ἀλήθεια ἡ Θυγάτηρ τοῦ Διὸς ἐρύκετον, ἤγουν ἐρύκετε, κωλύετε, παύετε ὀρθῇ χερὶ, ἤγουν δικαίᾳ, ἀντὶ τοῦ κωλύετε διὰ τῆς χειρὸς δικαίως, τὴν ἐνιπὴν, ἤγουν τὴν ἐπιτίμησιν τῶν ἀνθρώπων τὴν ἕνεκα τῶν ψευδῶν τὴν ἀλιτόξενον, τουτέστι τὴν ὀνειδῆ προτρέρουσαν ἡμῖν ἕνεκα τῆς εἰς τὸν φίλον ἁμαρτίας· ἑκαθεν γὰρ ἤγουν πρὸ πολλοῦ χρόνου ἐπελθὼν, τουτέστι παραγενόμενος· ἐνστὰς ὁ μέλλων χρόνος, ἤτοι ὁ ἀποκείμενος, ὁ συμπεφωνημένος, τὸ ἐμὸν χρέος βαθὺ, τουτέστι τὸ πολὺ, κατήσχυνεν, ἤγουν ἤλεγξεν, ἐπονειδιστὸν ἔδειξεν· ὅμως δὲ δυνατός ἐστιν ὁ τόκος, ἤγουν ὁ ὕμνος ὁ ἐπὶ τῷ ὀρειλομένῳ ὕμνῳ προστεθησόμενος, λύσαι τὴν ἐπιμομφὴν, τουτέστε τὴν πολλὴν μέμψιν τῶν ἀνθρώπων, τὴν ὀξεῖαν, ἤγουν τὴν ὀξέως κινουμένην, τουτέστι τὴν μετ' ὀργῆς καὶ ἀγανακτήσεως κινουμένην. — Θυγάτηρ.] Ποιήσεις.

7. Εἴπερ ἐπιλέλησμαι Ἀγησιδάμου καὶ γέγονα ῥᾴθυμος καὶ ἀχάριστος.

8. Ἐνιπάν.] Τὴν φωνὴν — Ἀλιτόξενον.] Τὴν τοὺς ξένους βλάπτουσαν· ὅτι καὶ οὗτος εἰς Ἀρχεστράτου υἱὸν ξένον ὄντα ἤλιτεν. — Ἀλιτόξενον.] Τὴν ὀνειδιστικὴν τῶν ἀνθρώπων, τὴν προφερομένην· ἁμαρτάνουσαν εἰς τοὺς φίλους.

9. Ἑκαθεν.] Ἀπὸ μακρόθεν. — Ὁ μέλλων χρόνος.] Ὁ

προσδοκώμενος μετὰ τὴν ὑπόσχεσιν ἔσεσθαι, καθ' ὃν ἀποδίδωσι τὸν ἐπινίκιον ὁ μελλητικός· ἢ οὕτως· ὁ γὰρ ἐκ πολλοῦ διαστήματος χρόνος παραγενόμενος· τουτέστιν ἀφ' οὗπερ ὑπεσχόμην, πρὸς τοῦτο ἔκαθεν τὸ ἐμὸν χρέος καταισχύνει, οἷον βαθὺ αὐτὸ καὶ πολὺ ποιήσει χρέος καὶ αὐξηθησόμενον τόκοις· ἢ οὕτως· ὁ γὰρ ἐπιγενόμενος χρόνος μετὰ τὴν ὑπόσχεσιν πολὺς ὢν καταισχύνει τὸ ὄφλημα· διὰ δὲ τούτου σημαίνει, ὅτι πολὺς ὁ μεταξὺ χρόνος ἐγένετο, εἴπερ ὁ μέλλων χρόνος οὐκ ἐγγύθεν ἀλλὰ μακρόθεν ἐλήλυθεν, ἡνίκα μνησθεὶς ἐπιτέλει τὴν ἐπαγγελίαν· ὁ δὲ νοῦς· οὐδὲ γὰρ ὡρισμένως οὐδὲ καθὼς ὑπεσχόμην, ἀλλὰ πόρρω τῆς προθεσμίας ὁ τότε ὡρισμένος καὶ τότε μέλλων, ὁ προσδοκώμενος χρόνος αἰσχύνης ἀξίαν μηνύει μου τὴν ὑπόσχεσιν καὶ ὀφειλὴν βραδύνας. — Ὁ μέλλων χρόνος.] Τὸ μέλλων λέγει ὡς πρὸς τὸν καιρόν, καθ' ὃν ὑπέσχετο ὑμνῆσαι· ὁ γὰρ μετ' αὐτὸν ἐπιὼν χρόνος ὡς πρὸς αὐτὸν μέλλων ἦν.

10. Βαθὺ χρέος.] Μέγιστον ὄφλημα· τὸν ὕμνον λέγει.

11. Ὅμως δέ γε λῦσαι δυνατός.] Προθυμούμενον τὸν τῶν ὄντων ἔτι μορφὴν δυνατὸς ὁ τόκος ἐστὶ λῦσαι· εὔξεται γὰρ τὴν ἠρεθισμένην, ἢ τὴν εὐεπίφορον· ὁ δὲ ὀφειλὸν ἀποδοὺς μετὰ τόκων ἄμεμπτος γίνεται· φιλοκερδεῖς γὰρ οἱ ἄνθρωποι.

12. Τόκος]. Ὄζος τοῦ ὕμνου τούτου.

13. Νῦν ψᾶφον ἑλισσομέναν.] Ἀλληγορικῶς ταῦτα λέγει· προσυπακουστέον δὲ ἔξωθεν τοιοῦτόν τι· ᾠδῶμεν, θεωρήσωμεν, μή ποτε κῦμα τὴν ψῆφον δινουμένην ἐπιῤῥέον κατακλύσῃ· τινὲς δὲ πρὸς τὸ κατὰ τὸν ὕμνον νοούμενον πνεῦμα· παραβάλλει δὲ ἀλληγορῶν τῷ τῆς θαλάσσης ῥεύματι τὴν ἑαυτοῦ δύναμιν· ὡς γὰρ ψῆφον ἐπ' αἰγιαλὸν κυλινδουμένην ἐκβρασσόμενον τὸ κῦμα κατακλύζει, τὸν αὐτὸν τρόπον, φησί, κἀγὼ τὴν ἐπικυλιομένην καὶ ἐπιφερομένην μοι μέμψιν ἐκκλύσω καθάπερ ψῆφον· ῥεῦμα οὖν λέγει τῶν ὕμνων τὸ ῥεῦμα· ἢ οὕτως· νῦν τὴν τῶν ἀνδρῶν μορφὴν ὥσπερ ψῆφον δινουμένην κατακλύσει τὸ τῶν ὕμνων ῥεῦμα ὡς κῦμα. Ἄλλως· νῦν τὴν παρὰ τῶν ἀνθρώπων μέμψιν κατακλύσει ὁ ὕμνος ὡς ψῆφον κῦμα, ὅταν τὸν κοινὸν λόγον, τουτέστι τὸ ποίημα πρὸς χάριν ἀποτίσωμεν· λείπει γὰρ τὸ ὡς· προσυπακουστέον δὲ τὸ ὡς, ἵν' ᾖ· ὡς ψῆφον ἑλισσομένην, οὕτω καὶ τὸ κῦμα κατακλύσει αὐτήν. Ἢ οὕτως· ὥσπερ τὸ κῦμα κατακλύζει τὴν ψῆφον, οὕτω καὶ τὸν ἐπίνικον ἀποδώσομεν· ἰδίωμα δὲ ἐστι Πινδάρῳ οὕτως ἐλλείπειν τὸ ὡς. Ἄλλως· νῦν

οὖν σκοπήσωμεν, ὅπως καθάπερ ψῆφόν τινα κυλιομένην τὸ τῆς Θαλάσσης κῦμα περικλύζει καὶ ἵστησιν, οὕτω στήσωμεν τὸν παρὰ τῶν πολλῶν ψόγον· καὶ σκοπήσωμεν, ὅπως τὸν κοινὸν τοῦ παντὸς γένους καὶ πάσης τῆς πόλεως ἔπαινον προσφιλῶς καὶ κεχαρισμένως ἀποτίσωμεν. Ἄλλως νῦν σκοπήσωμεν, ὅπως τὸ ἡμέτερον κῦμα ῥέον, τουτέστιν ἡ ἡμετέρα ποίησις, κατακλύσει τὴν ἐλισσομένην ψῆφον, τουτέστι τὴν καθ' ἡμῶν ἐλισσομένην λοιδορίαν. — Νῦν ψῆφον.] Νῦν σκοπήσωμεν δηλονότι, ὅπως τὸ κῦμα τὸ ῥέον κατακλύσει, ἤγουν κατακαλύψει τὴν κυλιομένην παρὰ τῷ αἰγιαλῷ ψῆφον· συμβολικὰς ὁ λόγος, ἀντὶ τοῦ νῦν σκοπήσωμεν, ὅτως ἡ δύναμις τῶν ἡμετέρων λόγων ἀποκρύψει τὴν φερομένην καθ' ἡμῶν τῶν ἀνθρώπων μέμψιν, ὅπως τε κοινὸν ὕμνον πάσῃ τῇ πόλει δηλονότι ἀποδώσωμεν εἰς χάριν ἀφορῶντες, ἤγουν δύναμιν ἐπαγωγὸν, φίλην, τουτέστι φιλουμένην· ἔχομεν δὲ δηλονότι εὐπορίαν λόγων· νέμει γάρ, ἤγουν δικεῖ τὴν πόλιν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων τὴν πατρίδα τοῦ Ἀγησιδάμου ἀτρέκεια, τουτέστιν ἀλήθεια, καὶ διὰ φροντίδος ἐστὶν αὐτοῖς, ἤγουν τοῖς Λοκροῖς, ἡ Καλλιόπη, τουτέστι καὶ ποιητικοί εἰσι, καὶ ὁ Ἄρης, ἤγουν ὁ πόλεμος, ὁ χαλκῷ, ἤτοι ὅπλοις ὠχυρωμένος, μέλει αὐτοῖς τοῖς Λοκροῖς, τουτέστι καὶ πολεμικοί εἰσιν. — Ἑλισσομέναν.] Κυλιομένην. — Ἑλισσομέναν.] Πληθυνομένην.

14. Ὅπα κῦμα.] Οἱ μὲν ὅπου, οἱ δὲ ὅπερ· τινὲς τὸ ὅπα ἀντὶ τοῦ ὡς νῦν παραλαμβάνουσιν.

15. Κοινὸν λόγον.] Ἕτεροι μὲν τὸν περὶ τῶν πολλῶν λόγον, οἱ δὲ τὸν ὕμνον ἤκουσαν, ἤτοι ὅτι πλείονες αὐτοῦ μεθέξουσι νικηφόροι ἢ ὅτι διὰ πολλῶν ἔσται στομάτων· ὅπα· ὅπως τὸν ὕμνον ἀποτίσομεν προσφιλῶς τε καὶ κεχαρισμένως τῷ ἐγκωμιαζομένῳ. Ἀρίσταρχος κοινὸν λόγον τὸν ὕμνον, οὗ πολλοὶ ἐπιθυμοῦσι· πολύκοινος γὰρ καὶ εὐεπίφορός ἐστιν εἰς τὸ λέγειν· πάγκοινον λόγον. — Τὸ κοινὸν λόγον ἀντὶ τοῦ πάγκοινον τοῖς μετιοῦσι νῦν τε καὶ ἐξύστερον· ἔχει δὲ τὰ ὅπα τὴν δύναμιν πρὸς τὸ τίτομεν εἰς φίλαν χάριν· τὸ δὲ κοινὸν λόγον ὕστερον λέγει. — Λόγον.] Τῆς παρούσης ᾠδῆς.

17. Νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν.] Ἀντὶ τοῦ εὐνομεῖται· διὸ δεῖ χαρίζεσθαί με τὸν ὕμνον· ἡ νέμει, οἱονεὶ ἔχει νομὴν καὶ δίδωσι λαβὰς ἡ πόλις τῶν Λοκρῶν πρὸς τὸ ἐγκωμιάζειν· διὸ ἐπήνεγκε· μέλει τέ σφισι Καλλιόπα καὶ

χάλκεος Ἄρης· καὶ γὰρ καὶ ἐν τῇ μουτικῇ διαφέρει κἂν τοῖς καταπόλεμον· διὸ καὶ ἁρμᾶς διδωσι τοῖς βουλομένοις· ἡ οὕτω· νέμει γάρ, ἀντὶ τοῦ νέμεται καὶ ἔστιν ἐν τῇ ἀληθείᾳ, τουτέστι μεθ' ἑαυτῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις· οὐ δεῖ οὖν, φησὶν, οὐδὲ ψεύδεσθαι· τραχεῖα δὲ εἰκότως ἂν λέγοιτο, λοφώδης οὖσα καὶ ἐπιθαλαττίδιος· αὐτὸς γάρ φησιν. Οἵ τ' ἀργείλορον πὰρ Ζεφυρίοιο κολώναν· καὶ ὃ βούλεται λέγειν, ἔστι τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται· διατί δὲ, φησὶν Ἀριστοτέλης· ἐπειδὴ γὰρ ἐχρῶντο τῷ Θεῷ, πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμὸς, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμὴν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους ξυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους· γνωσθεὶς τε καὶ ἐρωτηθεὶς, πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι· διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη· οὐκ ἀπὸ σκοποῦ δὲ μουσικοὺς εἶπε τοὺς Λοκρούς, ἀλλ' ὅτι ἐστί τις ἁρμονία Λοκριστὶ προσαγορευομένη, ἣν ξυναρμόσαι φασὶ Ξενόκριτον τὸν Λοκρόν. Καλλίμαχος· Ὃς Ἰταλὴν ἔρρασθ' ἁρμονίην. Ἄλλως· ἡ ἀτρέκεια νέμει τὴν πόλιν τῶν Λοκρῶν, ἀντὶ τοῦ ἐπαληθεύει ἡ τῶν Λοκρῶν πόλις· διὸ καὶ ἐμοὶ τὴν πρὸς αὐτοὺς ἀλήθειαν φυλακτέον ἐστὶ γράφοντι τὸν ἐπίνικον καὶ ἀποδόντι Δηγειδάμῳ· ὁ δὲ Δίδυμός φησιν ἔχειν λόγον καὶ τὴν ἡμετέραν γραφὴν, Νέμει γὰρ ἀτραχεῖα πόλις Λοκρῶν· ἐπεὶ γὰρ περὶ χάριτός ἐστιν ὁ λόγος, φησὶν. Ἀπονέμει γὰρ ἡ τραχεῖα πόλις τὴν χάριν· τινὲς οὕτως· οὐδὲν ἀντιχαρίζεσθαι ἡ τῶν Λοκρῶν πόλις· τὸ δὲ φίλαν ἐς χάρν, εἰς χάριν φησὶ τοῦ νενικηκότος, ἵν' ᾖ δῆλον, ὅτι καθαρεῖ καὶ ἀποτρίψει τὸ ὄφλημα. — Νέμει.] Κυβερνᾷ. — Πόλιν Λοκρῶν.] Λοκροὶ Ἐπιζεφύριοι, Λοκροὶ Ἐπικνημίδιοι, Λοκροὶ Ὀπούντιοι, Λοκροὶ Ὀζόλαι, τέσσαρα γὰρ γένη Λοκρῶν· τὸ Καλλιόπη λέγει, ἢ ὅτι καὶ παρ' αὐτοῖς ἡ ποιητικὴ χάρις ἐσπουδάζετο, ἢ ὅτι νίκας ποιοῦντες τοὺς ποιητὰς εἰς ὕμνον ἐγείρουσιν.

18. Ἐπιζεφυρίων.] Τῶν Λοκρῶν τρισσὰ εἰσιν ἐν Ἑλλάδι ἔθνη, Ἐπικνημίδιοι καὶ Ὀζόλαι καὶ Ἐπιζεφύριοι. Ἐπικνημίδιοι μὲν οἱ μετὰ τοῦ Ὀιλέως Αἴαντος εἰς Ἴλιον παραγενόμενοι, οἷς τὸ ὄνομα ἀπ' ὄρους Κνημίδος, ὅπου κεῖνται. Ὀζόλαι δὲ ὑπέρκεινται, καὶ αὐτοὶ ἀπὸ τῶν φευγόντων Κενταύρων ἐλλιθήσαν Ὀζόλαι· τρίτον δὲ Ἐπιζεφύριοι Ἰταλοὶ μίαν πόλιν καὶ οὐκ ἐθνηδὸν οἰκοῦντες, ἀπὸ δὲ ἄκρας ὑπερ-

κειμένης Ἐπιζεφυρίας ἐκλήθησαν Ἐπιζεφύριοι· ὧν εἷς ἐστιν ὁ νενικηκώς. — Καλλιόπα.] Ἡ ποίησις.

19. Τράπε Κυκνεία μάχα.] Ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μέγιστος Ἡρακλῆς παροπλίσαντος Ἄρεος τὸν Κύκνον· ἐμαχέσατο δὲ Ἡρακλῆς, ὅτι κακόξενος ἦν Κύκνος υἱὸς τοῦ Ἄρεος, καὶ ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν ἀπεκαρατόμει τοὺς παριόντας ξένους, ναὸν τῷ Ἄρει βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ παριόντι ἐπιβουλεῦσαι ἠθέλησε· συστάσης οὖν αὐτοῖς μάχης ἔφυγε δείσας Ἡρακλῆς συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ, ἀλλ' ὕστερον αὐτὸν μόνον γενόμενον ἐνίκησεν ὁ Ἡρακλῆς καὶ ἀπέκτεινε. Στησίχορος ἐν τῷ ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ· τοιγάρτοι διὰ τὸ καὶ τὸν Ἀγησίδαμον ἀπολήγοντα ἤδη ὑπὸ Ἰολάου ἀλείπτου ἀνερρῶσθαι, εἰκότως ταῦτα ἐπηγάγετο· ἐχέτω οὖν, φησί, τῷ Ἰόλᾳ Ἀγησίδαμος χάριν, ὡς Ἀχιλλεῖ Πάτροκλος παρορμήσαντι εἰς τὸν πρὸς τοὺς βαρβάρους πόλεμον· διὰ τὸν Ἀγησίδαμον δὲ εἰκότως ἡ ἱστορία· οὗτος γὰρ καταλύειν ἤδη προῃρημένος ὑπὸ τοῦ ἀλείπτου ἀνερρώσθη παραθήξαντος αὐτόν· ἔοικε δὲ ὁ Ἀγησίδαμος ἡττῆσθαι πρῶτον, εἶτα ὕστερον ὑπὸ Ἰολάου παροξυνθεὶς νενικηκέναι· τῷ Ἰολάῳ, φησὶν οὖν, χάριν ἐχέτω ὁ Ἀγησίδαμος, ὥσπερ Ἀχιλλεῖ Πάτροκλος· καὶ εἰ ἐνικήθης, μήσοι μέλετω· τράπε γάρ, καὶ τὸ ἑξῆς. — Ἱστορία. Τράπε δὲ Κυκνεία. Κύκνος ὁ Ἄρεως υἱὸς ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν τοὺς παριόντας ἐκαρατόμει, βουλόμενος ἐκ τῶν κεφαλῶν Ἄρει νεὼν ἀνεγεῖραι· παριὼν οὖν καὶ Ἡρακλῆς καὶ ὑπὸ τούτου ἐπιβουλευθεὶς μάχην συνῆψεν αὐτῷ, βεβοηθηκότος δὲ Ἄρεως τῷ παιδὶ τραπεὶς ἀνεχώρησεν· ἀλλ' ὕστερον μόνον Κύκνον εὑρὼν ἀπέκτεινε· λέγει οὖν τὴν Ἡρακλέους τροπὴν εἰς παραμυθίαν Ἀγησιδάμου ὀκλάσαντος μὲν ἐν τῷ τῆς πυγμῆς ἀγῶνι καὶ τὸν ἀντίπαλον ἂν παρὰ μικρὸν νικῆσαι ποιήσαντος, εἰ μὴ ὁ ἀλείπτης αὐτοῦ Ἴλας ἰδὼν Ἀρτος ἐνέβαλε· διὸ καὶ ἐνίκησεν. — Τράπε δέ.] Ἤγουν εἰς φυγὴν ἐκίνησε καὶ τὸν Ἡρακλέα τὸν ὑπερβολικῶς ἰσχυρὸν ἡ μάχη ἡ Κυκνεία, ἤγουν ἡ τοῦ Κύκνου τοῦ υἱοῦ Ἄρεως, ἣν μετὰ τοῦ Κύκνου συνεκρότησεν ὁ Ἡρακλῆς· τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Ἀγησίδαμος ὑπαστάλη ἐν αὐτῷ τῷ ἀγῶνι, εἶτα ὑπὸ τοῦ Ἴλα τοῦ ἀλείπτου ἀναρρῶσθεὶς ἐνίκησε· διὸ ἐπάγει· τοὺς πύκτας δὲ ἐν τῇ Ὀλυμπιάδι νικῶν ὁ Ἀγησίδαμος τῷ Ἴλᾳ φερέτω χάριν, ἤγουν εὐχαριστίαν, ὥσπερ ὁ Πάτροκλος

τῷ Ἀχιλλεῖ ἔφερε ὀλιγόστι, ὅτε ἔτρεπε τοὺς Τρῶας μετὰ τῶν ὅπλων αὐτοῦ· παρορμήσας δ' ἂν ἀνὴρ σὺν παλάμᾳ, ἤγουν σὺν βοηθείᾳ Θεοῦ, ἄνδρα πρὸς ἀρετὴν, πρὸς πελώριον, τουτέστιν ὑψηλότατον, ὥρμησεν, ἀντὶ τοῦ ἀνεβίβασεν, ὕψωσε κλέος· ὀλίγοι δέ τινες, ἀντὶ τοῦ οὐδέ τινες ἔλαβον χαρὰν χωρὶς πόνων, λέγω φῶς τῷ βιότῳ, τουτέστι τῇ παρούσῃ ζωῇ, ἔργων πρὸ πάντων, ἀπὸ πάντων φημὶ τῶν ἔργων.

21. Ἴλα φερέτω χάριν.] Οὕτω, φησί, τῷ Ἰόλα χάριν ἐχέτω ὁ Ἀγησίδαμος ὁ πύκτης, ὥσπερ Πάτροκλος τῷ Ἀχιλλεῖ· τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς ἐκείνου. Ἄλλως· ὡς Ἡρακλέα τραπέντα ἀνέῤῥωσεν ἡ Ἀθηνᾶ, οὕτω καὶ τὸν Ἀγησίδαμον ὁ Ἰόλας· φερέτω οὖν χάριν, ἤτοι ἐχέτω χάριν τῷ Ἰόλᾳ τῷ ἀλίπτῃ αὐτοῦ Ἀγησίδαμος πύκτης, ὡς Πάτροκλος τῷ Ἀχιλλεῖ· τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς αὐτοῦ· ὁ γὰρ Ἀχιλλεὺς τοῖς ἰδίοις ὅπλοις κοσμήσας Πάτροκλον καὶ περιθαρσύνας ἔπεμψεν εἰς τὸν πόλεμον.

23. Φύντ' ἀρετᾷ.] Τὸν φύντα πρὸς ἀρετὴν σὺν Θεοῦ παλάμᾳ παροξύνας τις πρὸς μέγα κλέος ὁρμῆσαι ποιήσειεν ἄν. — Τὸ ἀρετῇ ἢ πρὸς τὸ θήξας, ἵν' ᾖ, παρακινήσας ἐν ἀρετῇ, ἢ πρὸς τὸ ὁρμῆσαι, ἵν' ᾖ, ὁρμῆσαι ἐν ἀρετῇ πρὸς κλέος μέγα ἢ τῇ ἑαυτοῦ ἢ τῇ ἐκείνου.

24. Πελώριον.] Τὰ δύο μία ἐστὶ περίοδος ιζ' συλλαβῶν.

26. Ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες.] Οὗτος μὲν οὖν, φησί, μετὰ πόνου ἔλαβε τὴν νίκην· ὀλίγοι δέ τινές εἰσιν οἱ χωρὶς πόνου νικήσαντες· ἢ οὕτως· οὐδένες χωρὶς πόνου χαράν τινος ἔσχον ἔργου· ἢ οὐδένες πρὶν ἐνεργῆσαί τι νικῶσι· τὸ ὀλίγοι ἀντὶ τοῦ οὐδείς· (Ἰλ. ε, 800)

Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

ἢ δὲ νίκη τῷ βίῳ αὐτῶν ἐστι φάος· τὸ χάρμα τὸ ἀπὸ τῆς νίκης ἀπάντων ἐτῶν τοῦ βίου φάος εἴρηκεν.

28. Ἀγῶνα δ' ἐξαίρετον.] Ἐμὲ δὲ παρώρμησαν αἱ τοῦ Διὸς Θέμιδες ὑμνῆσαι τοῦτον τὸν ἀγῶνα· Θέμιδες δὲ Διὸς ὁ κατὰ Θεσμὸν τῆς πενταετηρίδος πληρωθεὶς χρόνος· ἢ οὕτως· ἐμὲ προτρέπουσιν αἱ Διὸς Θέμιδες ᾄσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ. Ἄλλως· τὸ ἑξῆς· ἀγῶνα Διὸς Θέμιτες ὧρσαν· ἐπεὶ μετὰ δικαιοσύνης ἀγωνίζονται· ἀντὶ τοῦ Θέμιδες· Δωρικὴ δὲ ἡ κλίσις. Ὅμηρος· (Ἰλιάδ. σ, 87.) Θέμιστη δὲ καλλικαρίῳ· προτρέπουσί με ᾄεῖσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τῶν Ὀλυμπίων· δηλονότι δικαίως ᾄδεται. — Ἀγῶνα δ' ἐξαίρετον.] Τὸν ἀγῶνα δὲ

τὸν ἐξαίρετον, ἀντὶ τοῦ τὸ κατασκεύασμα τὸ ἐν Ὀλυμπίᾳ, ἔνθα ὁ ἀγὼν ἐτελεῖτο, ὑμνῆσαι ὦσαν, ἤγουν διήγειραν ἐμὲ, δηλονότι αἱ Θέμιτες, ἤγουν αἱ νομοθεσίαι τοῦ Διὸς, αἱ κατὰ νόμους συνήθειαι· τοῦ Διὸς δὲ λέγει αὐτὰς, ἐπειδὴ βασιλέα πάντων αὐτὸν ἐνόμιζε, βασιλέως δὲ τὸ νομοθετεῖν· ἤγουν τὸν ἀγῶνα, ἢ ἰσχὺς τοῦ Ἡρακλέους, περιφραστικῶς ὁ Ἡρακλῆς, ἐκτίσατο, ἀντὶ τοῦ ἔκτισε, κατεσκεύασε, πλησίον τοῦ ἀρχαίου μνήματος τοῦ Πέλοπος· ἐπεὶ, ἤγουν ἀφ' οὗ τὸν Κτέατον τὸν ἀμύμονα, ἤτοι τὸν ἄψογον, ἐφόνευσε, τὸν υἱὸν τοῦ Ποσειδῶνος· ἐφόνευσε δὲ τὸν Εὔρυτον τὸν ἀδελφὸν αὐτοῦ· ἵνα πράσσοιτο, ἤγουν ἀπαιτοίη τὸν Αὐγείαν ἅλοντα ἑλὼν τὸν μισθὸν τὸν ὑπέρβιον, τὸν ὑπερβολικῶς πολὺν, ἀπὸ μεταφορᾶς τῶν ὑπερβολικῶν τὴν ἰσχὺν, τὸν λάτριον, τουτέστι τὸν ὑπὲρ τῆς δουλείας τῆς ἐξαιρέσεως τῆς κόπρου· συνεμάχουν γὰρ οὗτοι ἤτοι ὁ Κτέατος καὶ ὁ Εὔρυτος, τῷ Αὐγείᾳ οὐ προθυμουμένῳ δοῦναι τῷ Ἡρακλεῖ τὸν συμπεφωνημένον μισθόν· ἦσαν δὲ οὗτοι μητρὸς μὲν τῆς Μολιόνης, ἀφ' ἧς καὶ Μολιονίδαι ἐλέγοντο, πατρὸς δὲ λόγῳ μὲν τοῦ Ἄκτορος αὐτοὺς ἔλεγον, τῇ δ' ἀληθείᾳ Ποσειδῶνος ἐνόμιζον· Κτέατος καὶ Εὔρυτος Μολιόνης καὶ Ποσειδῶνος υἱοί· ὅτε δὲ ὁ Ἡρακλῆς μετὰ Τυρινθίων κατ' Αὐγείου ἐστράτευσε, συμμαχοῦντες οὗτοι Αὐγείᾳ ἔν τινι τόπῳ τῆς Ἠλιάδος λοχήσαντες τοῦ στρατοῦ τὸ πλεῖστον διέφθειραν, ἔπειθ' ὕστερον αὐτοὺς Ἡρακλῆς εἰς τὸν ἀγῶνα μέλλοντας ἐπιέναι λοχήσας καὶ αὐτὸς ἐν τάξι λόχμαις τῶν Κλεωνῶν, τούτους ἀπέκτεινε· μονωθέντος οὖν Αὐγείου πρῶτον μὲν τὴν πόλιν αὐτοῦ πορθεῖ, ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ.

29. Ὃν ἀρχαίῳ σάματι.] Τὸ μνῆμα τοῦ Πέλοπος τὸ αὐτὸ τῷ βωμῷ· οὐ γὰρ ἑτέρωθι μὲν ὁ Πέλοψ, ἑτέρωθι δὲ ὁ βωμὸς, ἀλλ' ἓν καὶ τὸ αὐτὸ χωρίον ἐστὶ σῆμα καὶ βωμός· ἐξάριθμον δὲ, ἐπεὶ τῶν δώδεκα θεῶν ἓξ βωμοὺς κατεσκεύασεν. Ἄλλως· ὄντινα ἀγῶνα πλησίον τοῦ ἀρχαίου σήματος καὶ τάφου ἓξ βωμῶν ἀριθμὸν ἔχοντα ἐθύσατο καὶ κατασκεύασεν ὁ Ἡρακλῆς, ἡνίκα τοὺς τοῦ Ποσειδῶνος ἀνεῖλε παῖδας Κτέατον καὶ Εὔρυτον, ἵνα δυνηθῇ τῆς ὑπηρεσίας μισθὸν κομίσασθαι παρὰ τοῦ Αὐγείου πλεῖστον ὄντα, καὶ παρὰ ἄκοντος αὐτὸς ἑκὼν Βωμῶν ἐξάριθμον· ἐν τοῖς ἓξ βωμοῖς δώδεκα θεοῖς Ἡρακλῆς ἔθυεν, περὶ ὧν εἴπαμεν· ἓξ γὰρ βωμοὺς ἔκτισεν Ἡρακλῆς, ἡνίκα τοὺς Ποσειδῶνος παῖδας ἐφόνευσεν· ἐλάτρευσε γὰρ αὐτῷ ὁ Ἡρακλῆς ἐκπορήσας

τὴν ἐν τῇ αὐλῇ κόπρον· ὑπέρβιον δὲ, τὸν πολύν· ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰσπράξηται τὸν Αὐγέαν. Ἄλλως. Κτέατος καὶ Εὐρυτος ἀδελφοί, τῇ μὲν δοκεῖν Ἄκτορος καὶ Μολιόνης, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος καὶ Μολιόνης· οὗτοι δὲ συνεστρατεύσαντο Αὐγείᾳ, καὶ ἐπειδὴ εἰς τὸν μισθὸν τῆς ἐκχύσεως τῆς ὄνθου ἠδικεῖτο ὁ Ἡρακλῆς, ἀποναθάρας μὲν τὴν κόπρον, ἀποστερούμενος δὲ τοῦ συμφωνηθέντος μισθοῦ, λοχήσας ἐν Κλεωναῖς τοῦ Ἄργους ὁ Ἡρακλῆς ἀνεῖλεν, ἵν' εὐαλώτερος αὐτῷ μονωθεὶς ὁ Αὐγείας γένηται· ἦν δὲ ὁ μισθὸς ἡ δεκάτη τῶν βοῶν· ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰσπράξηται τὸν Αὐγέαν· λάτριον δὲ μισθον, τὸν ἀντὶ τῆς λατρείας καὶ ὑπηρεσίας.

30. Πάρ.] Σύναψον τὴν παρὰ μετὰ τοῦ ὀρχαίῳ σάμασι.

31. Βίη.] Δύναμις. — Οὕτως ἄμεινον γράφεσθαι· βίη Ἡρακλέος· οἱ γὰρ γράφοντες ἕτερον οὐκ ὀρθῶς γράφουσιν.

34. Ὡς Αὐγέαν.] Τὸ ὡς ἀντὶ τοῦ ἕως. § τὸ ὡς ἀντὶ τοῦ ἵνα. — Ὡς πράσσοιτο.] Τὸ ὡς ἡ ἀντὶ του ἐπεί, ἵν' ἢ τὸ πράσσοιτο ἀντὶ τοῦ ἔπρασσεν, ἡ ἀντὶ τοῦ ἵνα, ἵν' ἢ πρὸς τὸν μέλλοντα· τὸ δὲ ὑπέρβιον πρὸς τὸν Αὐγείαν συναπτέον. — Λάτριον.] Τὸν ἐν τῇ λατρείᾳ γενόμενον· ἐλάτρευσε γὰρ τῷ Αὐγέᾳ ἐκβαλὼν τὴν ἐν τῇ αὐλῇ κόπρον. — Λάτριον.] Δεδουλευμένον.

36. Λόχμαισι δὲ δοκεύσας.] Δασέσι τόποις· ὁ νοῦς· ἐπιτηρήσας γὰρ αὐτοὺς ἐν τοῖς συνδένδροις τόποις τῶν Κλεωνῶν ἀνεῖλεν ὁ Ἡρακλῆς ἐνεδρεύσας καὶ λοχήσας, διότι πρώην ποτὲ τὸ στράτευμα αὐτοῦ τὸ ἐκ τῶν Ἀργείων ἐν τῇ πόλει τῶν Ἠλείων καθεζόμενον ἐπολέμησαν αὐτοὶ οἱ ὑπερήφανοι παῖδες τῆς Μολιόνης. — Λόχμαισι δέ.] Ὁ δὲ ἀντὶ τοῦ γάρ· ἦγουν ἐν συνδένδροις γὰρ τόποις ὑποκάτω τῶν Κλεωνῶν, πόλις δὲ τοῦ Ἄργους αἱ Κλεωναὶ, ἐφόνευσε καὶ ἐκείνους ὁ Ἡρακλῆς, τουτέστι τὸν Κτέατον καὶ τὸν Εὔρυτον, ἐφόβῳ ἦγουν ἐνέδρᾳ, δοκεύσας καὶ ἐπιτηρήσας, διότι πρότερον αὐτοὶ οἱ Μολίονες οἱ ὑπερφίαλοι, ἤγουν οἱ ὑπερβολικῶς ὑπερήφανοι, στρατὸν Τιρύνθιον, ἤτοι Ἀργεῖον, καθήμενον ἐν ταῖς κοιλάσι τῆς Ἠλιδος ἐπόρθησαν, ἀντὶ τοῦ ἔρθειραν.

37. Ὑπὸ Κλεωνᾶν.] Δωρικῶς, ὑπὸ Κλεωνῶν· ἔστι δὲ ἄνομα πόλεως Ἀργολικῆς· τινὲς δὲ, δῆμον Λακωνικόν· ἐδάμασε δὲ Εὔρυτον καὶ Κτέατον ἀποκτείνας αὐτοὺς πορευ-

μένους ἐπὶ τὸν Ἰσθμιακὸν ἀγῶνα· ἤτοι ἀπέκτεινεν αὐτοὺς ἐν ὁδῷ δὲ, ἀντὶ τοῦ λόχῳ καὶ (Λ. α, 151.) Ὅμηρος· Ὁδὸν ἐλθέμεν, ἀντὶ τοῦ ἐνέδραν ἐλθεῖν· ἀπέκτεινε δὲ αὐτοὺς πορευομένους εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα· τὸ δὲ, ὅτι πρόσθε ποτὲ, τὴν αἰτίαν ἀποδιδοὺς τοῦ γεγενημένου ὁ Πίνδαρός φησιν· ἐν ὁδῷ, ἢ ὑφὲν ἐνόδῳ, ἀντὶ τοῦ τῇ ἐνέδρᾳ.

39. Ὅτι πρόσθε ποτὲ Τιρύνθιον.] Τουτέστιν ὅτι πολλοὺς συστρατεύσαντας αὐτῷ ἀπέκτειναν· οἱ δὲ ἀποθανόντες ἐν τῇ μάχῃ εἰσὶν οὗτοι· Τελαμὼν, Χαλκώδων καὶ Ἰφικλῆς ὁ πρεσβύτατος αὐτοῦ ἀδελφός. Ἄλλως· Τιρύνθιον, ἀντὶ τοῦ Ἀργεῖον· Τίρυνς γὰρ πόλις Ἄργους· ὅτι δὲ ἐν τῷ πρὸς Αὐγείαν πολέμῳ ὁ Ἡρακλῆς ὑπὸ τῶν Μολιονιδῶν ἄλλους ἔφυγε, διὸ μηνίσας αὐτοῖς τὸν περὶ Κεσώνας συνεστήσατο λόχον, φησὶ Μνασέας ὁ Παταρεύς ὅτε Αὐγέᾳ ἐπολέμει Ἡρακλῆς διὰ τὸν μισθὸν τῆς κόπρου, εἶχε πολλοὺς συμμάχους Τιρυνθίους, οὓς οἱ Μολιονίδαι ἐφόνευσαν βοηθοῦντες Αὐγέᾳ.

42. Ὑπερφίαλοι.] Ἄδικοι. — Καὶ μὰν ξεναπάτας βασιλεύς.] Ξεναπάτην αὐτὸν φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην· ἀλλὰ μὴν καὶ ὁ περὶ τοὺς φίλους ἀπατηλὸς Αὐγείας, ὁ τῶν Ἠλείων βασιλεύς, ἐθεάσατο οὐ πολὺ ὕστερον τὴν ἑαυτοῦ πατρίδα εἰς πλῆθος κακῶν ἐμβαλλομένην, τοῦτο μὲν πυρὶ, τοῦτο δὲ σιδήρῳ, καὶ εἰς ῥεῦμα ἄτης ἐγκαθίσασαν· εὐ μετὰ πολὺ τῆς ἰδίας ἀπάτης καὶ ἀδικίας. Ἄλλως· μετ' οὐ πολὺν χρόνον Αὐγείας εἶδεν ἁλισκομένην τὴν πατρίδα. — Καὶ μὰν ξεναπάτας.] Καὶ μὴν ὁ βασιλεὺς τῶν Ἐπειῶν, ἤτοι τῶν Ἠλείων, ἦγουν ὁ Αὐγείας ὁ ξεναπάτας, τουτέστιν ὁ τοὺς φίλους ἀπατῶν, τοῦτο δέ φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην αὐτοῦ ὄπισθεν, ἤγουν ὕστερον μετὰ ταῦτα, οὐκ ἐπὶ πολὺν χρόνον εἶδε τὴν πατρίδα, τὴν ἑαυτοῦ πόλιν τὴν πολυκτέανον, ἤτοι τὴν πολυκτήμονα, τὴν πολυθρέμμονα, ὑπὸ στερεοῦ πυρὸς, ἰσχυροῦ, θραστηρίου, καὶ ὑπὸ πληγῶν σιδήρου καθιζουσαν, ἀντὶ τοῦ καταδυομένην, εἰς βαθὺ ῥεῦμα βλάβης.

44. Πολυκτέανον.] Πλούσιον.

45. Πλαγαῖς τε σιδήρου.] Διὰ τὸ κατασκάπτεσθαι ὑπὸ τῶν σκαφέων τὴν πορθουμένην πόλιν καίεσθαι.

46. Βαθὺν ἐς ὀχετὸν ἄτας.] Κατὰ περίφρασιν ἄτην, εἰς ῥεῦμα ἄτης ἐμπεσοῦσαν· ἴζουσαν δὲ, ἐπικαθημένην· τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος (σελ. 444.) οὕτω·

Τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος, ὄζος Ἄρηος,
Φυκτέας ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν.

καθεζομένην εἰς τὸν βαθὺν ὀχετὸν τῆς ἄτης τῆς ἑαυτοῦ. Ἄλλως· εἰς βάθος κακῶν. — Ἶζοισαν.] Καθημένην.

47. Νείκος δὲ κρεισσόνων.] Ὅ ἐστι· τὸ τῶν κρεισσόνων νείκος οὐ ῥᾴδιον ἀποθέσθαι· ἐπὶ γὰρ τοῖς κρείττοσι κεῖται τὸ ὅταν θέλωσι πολεμεῖν· καὶ Ὅμηρος· (Ἰλιάδ. α, 80)

Κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ.
Ἄλλως· ἀδύνατον γάρ ἐστι τῷ ἥττονι τὸ τῶν ὑπερεχόντων κράτος ἐκλῦσαι. — Νεῖκος δέ.] Ὁ δὲ ἀντὶ τοῦ γάρ· ἤγουν τὴν φιλονεικίαν γὰρ τὴν πρὸς τοὺς ἐπικρατεστέρους κινηθεῖσαν ἀποθέσθαι, ἀντὶ τοῦ ἐκφυγεῖν ἐπιτιθεμένην δηλονότι καὶ βλάπτουσαν· ἡ ἀπόθεσις γὰρ ἐπὶ βάρους λέγεται· ἄπορον, ἤγουν ἀμήχανον, ἀδύνατον· καὶ ἑκεῖνος, ἤγουν ὁ Δύγειας, δι' ἀβουλίαν, τουτέστι μωρίαν, ὕστατος, ἤγουν τελευταῖον περὶ τὸ τέλος τῆς ἁλώσεως, τουτέστι τῆς πορθήσεως τῆς ἑαυτοῦ πόλεως συναντήσας, ἤγουν συγκρούσας τῷ Ἡρακλεῖ δηλονότι, θάνατον χαλεπὸν οὐκ ἐξέφυγεν. — Κρεσσόνων.] Ἀνδρειοτέρων. — Ἄποθέσθ' ἄπορον.] Ἀμήχανον· διὸ καὶ Δύγειαν οὐχ οἷόντ' ἦν τὴν Ἡρακλέους μάχην ἀποφυγεῖν καὶ μὴ ὑπὸ τούτου τετιμωρῆσθαι.

48. Κἀκεῖνος ἀβουλίαις.] Ὁ γοῦν Δύγειας διὰ τὴν οἰκείαν ἄνοιαν περὶ τὰ τελευταῖα τῆς ἁλώσεως, περιτυχὼν τῷ Ἡρακλεῖ οὐκ ἠδυνήθη τὸν μέγιστον καὶ χαλεπώτατον θάνατον ἐκφυγεῖν· ἀντὶ τοῦ ὕστατος τῆς ἁλώσεως ἀπέθανε· τουτέστι μετὰ τὸ ἁλῶναι τὴν πόλιν ἀπώλετο διὰ τὴν ἑαυτοῦ ἀβουλίαν.

49. Ἀντιάτας.] Περιτυχὼν τῷ Ἡρακλεῖ.

51. Ὅ δ' ἄρ' ἐν Πίσᾳ ἔλσας.] Ἐν χωρίῳ τινὶ χωριζομένῳ τῆς Ὀλυμπίας κατὰ τὴν τῶν γεωγράφων βουλὴν σταδίους ς'. ὁ δὲ νοῦς· ὁ δὲ δὴ τοῦ Διὸς ἰσχυρότατος υἱὸς Ἡρακλῆς, συναγαγὼν καὶ κατασχὼν ἐν τῇ Πίσᾳ, ἤτοι ἐν τῇ Ἠλίδι, τὸν ὅλον αὐτοῦ στρατὸν καὶ τὴν πᾶσαν λεῖαν, σὺν τοῖς λοιποῖς κατεσκεύαζε τὸ θεῖον τοῦ Διὸς ἄλσος. Ἄλλως· ἐν Πίσᾳ ἔλσας.] Συνδήσας, συγκλείσας, κατασχὼν, καθιδρύσας. — Ὅ δ' ἄρ ἐν Πίσᾳ.] Ὁ δὲ υἱὸς τοῦ Διὸς ὁ ἰσχυρὸς, ἤγουν ὁ Ἡρακλῆς, ἐν τῇ Πίσᾳ ἔλσας, τουτέστι συναγαγὼν, κατασχὼν, ὅλον τε τὸν στρατὸν καὶ πᾶσαν τὴν λεῖαν, ἤγουν τὴν λαφυραγωγίαν, ἐσταθμᾶτο, ἀντὶ τοῦ κατεμέτρει χάριν τοῦ πατρὸς αὐτοῦ τοῦ μεγίστου, ἤγουν τοῦ Διὸς ναὸν ἃ-

γαν Θεῖον, ἀντὶ τοῦ τόπον εἰς κατασκευὴν ναοῦ καταπολὺ Θείου· περιπήξας δὲ, ἤγουν περιορίσας, περικυκλώσας, τὴν Ἄλτιν μὲν, τουτέστι τὸ ἱερὸν, οὗτος ὁ Ἡρακλῆς ἐν καθαρῷ τόπῳ ὁηλονότι διέκρινεν, ἤτοι διεχώρισε· τὸ δὲ κύκλῳ τῆς Ἄλτεως πέδον, ἤγουν χωρίον, ἐποίησε θείπνου κατάλυσιν, ἤγουν καταγωγὴν, ἀνάπαυσιν, τιμήσας τὸν πόρον τοῦ Διὸς εἰ, περιγραστικῶς ἀντὶ τοῦ τὸν Διὸς, μετὰ τῶν δώδεκα Θεῶν τῶν βασιλέων, καὶ πάγον, ἤγουν ὄρος Κρόνου, τουτέστι Κρόνιον λόφον προσερθέγξατο, ἤτοι προσηγόρευσεν, ὠνόμασε παντα τὸν τόπον ὁηλονότι· πρότερον γὰρ νώνυμος, ἤτοι ἄδοξος, ἕξω ὕμνου, ἤτοι κλέους, προσηγορίας ὁηλονότι ἡ χώρα, ἣν ἐβασίλευεν ὁ Οἰνόμαος, εὑρέχετο πολλῇ νιφάδι, τουτέστιν ἐκαλύπτετο τῇ σιωπῇ, ὥςπερ ὑπὸ πολλῆς καταφερομένης χιόνος.

52. Λεῖαν.] Λίχμαλωσίαν. — Λεῖαν γράφε καὶ μὴ λαῖαν διὰ τὸ μέτρον.

53. Σταθμᾶτο.] Κατεμετρεῖτο, περιώριζε, περιεσκέπτετο, ἢ κατεσκεύαζεν· ἄλσος δὲ τὸ ἀνιερωμένον τῷ Θεῷ γῆς μέρος, εἰ καὶ ψιλὸν εἴη φυτῶν· σταθμᾶτο· περιεγράφετο, ἐσημειοῦτο, ἐχωρογράφει, ἐποίει· ἄλσος· ὁ σύμφυτος καὶ ἀνιερωμένος τῷ Θεῷ τόπος. — Σταθμᾶτο.] Κατεμοίραζε.

54. Περὶ δὲ πάξας.] Περιπήξας δὲ, φησὶν, ὁ Ἡρακλῆς κύκλῳ τὰ ὅπλα ἐσταθμᾶτο τῷ πατρὶ τῷ μεγίστῳ τὸ ἱερὸν, ἀντὶ τοῦ κατεβάλλετο. Ἄλλως. Ἄλτιν τὸ ἄδυτον· κατὰ δέ τινας τὸν νεὼν, κατὰ δὲ ἑνίους ὄνομα χωρίου· γράφεται δὲ καὶ Ἄλιν, ἵν' ᾖ, τὴν μὲν Ἥλιν καθιέρωσε τῷ Θεῷ, τὸν δὲ κύκλῳ τόπον αὐτῆς εἰς συμπόσιον ἐποίησεν.

55. Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ διέκρινε.] Τὴν μὲν Ἥλιν ἢ Ἄλτιν καθιέρωσε τῷ Θεῷ, τὸ δὲ χωρίον τὸ κύκλῳ τοῦ ἱεροῦ καταλυτήριον ἔταξεν εἶναι τῶν ξένων τῶν ἀγωνιζομένων εἰς εὐωχίαν· τὸ δὲ ὅλον· περιπήξας δὲ καὶ περιγράξας τόπον τὸν μὲν ναὸν καὶ τὸ ἄδυτον αὐτὸ διεχώρισεν ἐν τῷ καθαρωτάτῳ μέρει ἀνὰ τὸ μεσαίτατον, τὸ δὲ εἰς κύκλον τῆς γῆς ἡ τοῦ νεὼ καταγώγιον ἐποίησε καὶ δειπνητήριον τῶν ξένων. Ἄλλως. Ἀριστόδημος γράφει ἀντὶ τοῦ Ἄλιν Ἄλτιν· οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον καλεῖσθαι, καὶ τὸν Δία ἐξ ἐπιθέτου Ἄλτιον, μηδὲ λόγον ἔχειν, τὴν ὑπ' αὐτοῦ ἅρτι πεπορθημένην Ἥλιν ἱερὰν καὶ καθαρὰν ποιῆσαι, ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ἤλιδι, ἀλλ' ἐν Πίσῃ· ἀπῳκίσθαι δὲ τὴν Πίσαν τῆς Ὀλυμπίας σταδίους ἑξ. Δίδυμος δὲ κατὰ χώραν ἐῶν τὴν γραφὴν τὸ

Πίνδαρον τὴν Πίσαν Ἦλιν λέγειν φησίν· οἱ γὰρ Ἠλεῖοι ὑφ' ἑαυτοὺς ποιησάμενοι τοὺς Πισάτας Ἦλιν τὴν Πίσαν μετωνόμασαν· εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἐμποδὼν γράφειν Ἄλιν; καὶ Καλλίμαχος (Ἴαμ. 189.) δὲ τὴν Ἦλιν ἀντὶ τοῦ τὴν Πίσαν Διὸς οἰκίον εἶπεν·

Ἦλιν ἀνάσσεσθαι, Διὸς οἰκίον, ἔλλιπε Φυλεΐ

ἱερὰν δὲ τὴν Ἦλιν, ἀντὶ τοῦ τὴν Πίσαν· καὶ τὸν ἐν Πίσῃ δὲ Δία Ἠλεῖον εἶπε Καλλίμαχος. Ἀλεῖον ὁ Ζεύς· οἱ περὶ Ἀριστόδημον καὶ Λεπτίνην καὶ Διονύσιον γράφουσιν Ἄλτιν· μὴ γὰρ πρέπον ἐστὶ τὴν ἄρτι πεπορθημένην Ἦλιν ἱερὰν γενέσθαι τῷ Διΐ, καὶ λόγον ἔχει τὸ τοῦ Διὸς ἱερὸν ἱδρύσθαι ἐν Πίσῃ· οὐ γὰρ ἐν Ἠλίδι οἱ ἐρχόμενοι ἐπὶ τὴν πανήγυριν θοινῶνται, ἀλλὰ ἐν Πίσῃ· τὸ γὰρ ἐν κύκλῳ τοῦ ἱεροῦ καταγωγίοις διειλημπτο· διῴκισται δὲ ἡ Πίσα τῆς Ὀλυμπίας γ΄ στάδια. Ἄλτιν οὖν γραπτέον· οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον ἐκάλουν. Ἄλτιν, τὸ ἄδυτον τοῦ ναοῦ, ἀπὸ τοῦ ἅλλομαι τὸ πηδῶ, κατὰ ἀντίφρασιν, εἰς ὃν οὐδεὶς ἅλλεται· ἢ εἰσέρχεται τῶν μὴ ἀξίων.

58. Τιμάσας πόρον Ἀλφειοῦ μετὰ δώδεκ' ἀνάκτων Θεῶν.] Καὶ γὰρ αὐτὸς ἐγκαταριθμεῖται τοῖς ιβ΄ Θεοῖς, ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς οὐ δύναται ἐξ ἄλλου ὕδατος γενέσθαι εἰ μὴ ἐκ τοῦ Ἀλφειοῦ. Ἄλλως· Ἀλφειῷ εἰκότως ὡς ἐγχωρίῳ ἔθυσε ποταμῷ· καὶ γὰρ μετὰ τῶν δώδεκα Θεῶν τιμᾶται· μετὰ δὲ τῶν δώδεκα Θεῶν τοὺς βωμοὺς ἐποίησε· βωμοὺς γὰρ ἴδρυσε διδύμους ἓξ, ἐπωνόμασε δὲ τοῦτον τὸν τόπον πάγον Κρόνου, τοπρότερον γάρ, φησίν, οὐδεμίαν εἶχε προσηγορίαν, ἕως ἐβασίλευσεν ὁ Οἰνόμαος, ἀλλὰ κρημνὸς οὖσα καὶ ἀοίκητος ἐξέκειτο τοῖς πολλοῖς ὑετοῖς καὶ ὄμβροις. Ἄλλως· τὸ βρέχετο ἀντὶ τοῦ κατεσιωπᾶτό φησι· συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι· καὶ ἀλλαχοῦ κεῖται· Μηδὲ γὰρ βρεχέσθω· τινὲς δὲ οὕτως· ἐκρύπτετο νεφάδι, τῇ περὶ τὸν Οἰνόμαον ἀδοξίᾳ. Ἄλλως· Τιμάσας πόρον Ἀλφειοῦ· τουτέστι πρῶτον τῷ Ἀλφειῷ ἔθυσεν ὡς ἐντοπίῳ Θεῷ.

59. Μετὰ δώδεκ' ἀνάκτων.] Ἀντὶ τοῦ σὺν δώδεκα Θεοῖς. — Καὶ πάγον Κρόνου.] Μετὰ ταῦτα, φησί, Κρόνιον πάγον προσηγόρευσεν, ὄνομα οὐκ ἔχοντα πρότερον.

61. Ἂς Οἰνόμαος.] Ἀντὶ τοῦ ἑως· καὶ ἔστιν ἐπίρρημα χρονικόν. — Τινές φασιν, ὡς πρὸ τοῦ τὸ δωδεκάθεον τὸν Ἡρακλέα ποιῆσαι, Κρόνιος ἐκαλεῖτο λόφος διὰ τὸ Κρό-

νου ἱερὸν ἐνταυθοῖ εἶναι· ἄλλοι δὲ λέγουσι, μεθ' ὧν καὶ Πίνδαρος, ὡς ἔρημος ἦν ὁ χῶρος, Ἡρακλῆς δὲ τὸ δωδεκάθεον κτίσας Κρόνιον λόφον τὸν τόπον ὠνόμασεν ἀπὸ τοῦ ὑπερέχοντος ὁ γὰρ Κρόνος πατὴρ τῶν θεῶν· δέον εἰπεῖν νωνύμνως νώνυμνον εἶπε πρὸς τὸ μέρος, οὕτως ἧς γὰρ χώρας Οἰνόμαος ἦρχε τοῦτο τὸ μέρος ἐν ᾧ νῦν ἡ Ὀλυμπία, ἐβρέχετο πρόσθεν ἐν πολλῇ νιφάδι νώνυμον, ἤτοι ἀνώνυμον, ἀκλεές· εἰκότως δὲ εἶπε τὸ νιφάδι· λόφος γὰρ ἦν· ἔστι δὲ ἡ τοιαύτη γενικὴ τὸ ἧς πρὸς τὸ νώνυμον, ἵν' ᾖ ἀκλεὲς καὶ ἄδοξον αὐτῆς.

62. Ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ] Ἐν δὴ ταύτῃ τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων καὶ πρώτῃ τελουμένῃ ἑορτῇ παρεγένοντο μὲν αἱ Μοῖραι αἱ τίμιαι καὶ ὁ τὴν ἀλήθειαν πᾶσαν φανερῶν Χρόνος· τοῦτο δὲ εἶπεν ἐνδεικνύμενος, ὅτι εὐμοιρῶς καὶ πολυχρονίως ἡ πανήγυρις τελεσθήσεται. Ἄλλως· ἐν ταύτῃ πρῶτον ἀγομένῃ τῇ ἑορτῇ τῶν Ὀλυμπίων παρέστησαν αἱ Μοῖραι καὶ ὁ Χρόνος τοῖς τόποις· παρείληφε δὲ τὰς Μοίρας καὶ τὸν Χρόνον, ὅτι εὔμοιρός τε ὁ ἀγὼν ἔσοιτο καὶ εἰς ἅπαντα τὸν αἰῶνα. — Ταύτᾳ δ' ἐν πρωτογόνῳ.] Ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τῇ πρωτογόνῳ, ἤγουν τῇ πρώτῃ γενομένῃ, τουτέστι τῇ ἐν πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων, παρέστησαν μὲν, ἤγουν παραγενόμεναι ἔστησαν πλησίον αἱ Μοῖραι, παρέστη καὶ ὁ Χρόνος ὁ μόνος τὴν ἀλήθειαν ἀποδεικνύων φανερῶς· τὸ δὲ σαφὲς ἔμπροσθεν χωρῶν ἐφανέρωσεν, ἀντὶ τοῦ φανεροῖ, δηλοῖ· ταῦτα δέ φησι διὰ τὴν παρακολουθήσασαν τῷ ἀγῶνι εὐδαιμονίαν καὶ τοῦ κλέους βεβαίωσιν· τὰς Μοίρας εἶπε καὶ τὸν Χρόνον παραστῆναι τότε τῇ πανηγύρει, ἵνα εὐδαίμων εἴη καὶ μηδέποτε παύσαιτο.

67. Τὸ δὲ σαφανές.] Τὸ δὲ πρότερον ἀφανὲς ὂν προϊὼν ὁ χρόνος ἐνεφάνισε καὶ φανερὸν ἐποίησεν, ὅπου τὰ λάφυρα τοῦ πολέμου καὶ τὰ ἀπάργματα ἔθυσεν ὁ Ἡρακλῆς· ἢ οὕτω· προϊὼν δὲ ὁ χρόνος τὸ σαφανὲς ἡμῖν κατέδειξεν, ὅπου τὴν τοῦ πολέμου δόσιν, τουτέστι τὰ ἀκροθίνια διαμερίσας τοῖς θεοῖς ἔθυσεν. Ἄλλως· τὸ ἀφανὲς ἰὼν εἰς τὸ πρόσω ὁ χρόνος ἔκδηλον ἐποίησεν· ἕτεροι δὲ οὕτω σαφανὲς, ἵν' ᾖ τὸ σαφὲς, ὑφὲν ἀναγινώσκουσιν, ὡς τὴν ἄνω διάνοιαν· τὸ δὲ ἀληθὲς ὂν καὶ σαφὲς ἀεὶ ὁ χρόνος φανεροῖ· τὸ δὲ, ὅπα τὰν πολέμου δόσιν, ἀντὶ τοῦ ὅπου καὶ ἐν ᾧ τόπῳ διανείμας τὰ λάφυρα λαβών τε τὰς ἀπαρχὰς ἔθυσε, καὶ ὅπως

Σαυμασίως τὴν τοῦ ἀγῶνος ἑορτὴν κατέστησεν ἐν τῇ πρώτῃ Ὀλυμπιάδι καὶ τοῖς ἀγωνίσμασι· πολέμου δὲ δόσιν τὰ λάφυρά φησιν ὅπου τὴν λῆψιν τὴν ἐκ τοῦ πολέμου γενομένην διελών, φησί, τὰ ἀκροθίνια τοῖς Θεοῖς ἔθυσεν· διότι καὶ οὗτος ὁ χρόνος ἀποδέδωκε τὸν ὕμνον, ὃν εἶπεν. Ἄλλως· τὸ δὲ πρότερον ἀσαφὲς κατάδηλον ἐποίησεν ὁ χρόνος, ὅπου Ἡρακλῆς διελὼν ἔθηκε τὰς ἀπαρχὰς τῶν σκύλων ὁ χρόνος, φησί, προῶν τὸν τόπον ἐδήλωσεν, ὅπου τὴν λείαν ἔθηκε κατὰ τὴν πρώτην Ὀλυμπιάδα. — Τὸ δὲ σαφανές.] Τοῦ σαφανές ἐστι μεθερμηνευτικὸν τὸ ὅπα· τὸ δὲ ἀκρόθινα πρὸς τὸ ἔθνον συναπτέον, ἵν' ᾖ τὸ διελὼν πρὸς τὴν τοῦ πολέμου δόσιν. — Ἰών.] Πορευόμενος.

68 Ὅπα ταν πολέμου δὲ δόσιν.] Ὀπηνίκα δὲ τὴν ὥρειαν τοῦ πολέμου ὁ Ἡρακλῆς δηλονότι, διαχωρίσας τὰ ἀκροθίνια, ἤγουν τὰ ἐξαίρετα ἔθυε, καὶ εὐθὺς τὴν πενταετηρίδα ἑορτὴν, ἤγουν τὴν διὰ πέντε ἐτῶν τελουμένην κατέστησεν, ἤτοι ἔταξε, τελεῖσθαι ἐποίησεν ἐν Ὀλυμπιάδι πρώτῃ· τουτέστιν ἐν τῇ πρώτῃ ἑορτῇ καὶ ἐν ταῖς πρώταις δηλονότι νικηφορίαις ἡ νίκαις· τίς δὴ ἐκληρώσατο στέφανον ποταίνιον, ἤγουν πρόσφατον, ἐναγώνιον χερσὶν, ἀντὶ τοῦ ἔργοις χειρῶν, τουτέστι διὰ πυγμῆς ἢ δισκεύσεως ἢ τοιούτου τινὸς, καὶ ποσὶν, ἀντὶ τοῦ ἔργοις ποδῶν, ἤτοι διὰ δρόμων, καὶ ἅρμασιν, ἤγουν διὰ ἁρμάτων, ἀντὶ τοῦ καὶ διὰ ἱππηλασίας· ἐν ὄλβῳ θέμενος ἑαυτὸν δηλονότι, καθελὼν, ἀντὶ τοῦ ἑλὼν, ἤτοι λαβὼν καύχημα ἔργῳ, τουτέστι δι' οἰκείας νίκης, διὶ οἰκείων ἀνδραγαθημάτων. — Δόσιν.] Κερδοσύνην.

69. Ἀκρόθινα.] Ἀντὶ τοῦ ἀκροθίνια· ὅπως ἂν τὸν πρῶτον ἐνιαυτὸν καταριθμῶν ἀνέθηκε τὴν πρώτην Ὀλυμπιάδα. — Διελών.] Διαμοιράσας. — Καὶ πενταετηρίδ' ὅπως.] Θυμαστικῶς λέγει καὶ πενταετηρικὴν ὅπως ἄρα ἔστησε καὶ ἐνομοθέτησεν εἶναι τὴν τῶν Ὀλυμπίων πανήγυριν.

72 Τίς δὴ ποταίνιον.] Πρὸς τὴν Μοῦσαν λέγει· ποταίνιον δὲ ἀντὶ τοῦ πρόσφατον· ἐκ δὲ τοῦ παρακολουθοῦντος σημαίνει τὸ πρῶτον· ἐπεὶ ὁ πρῶτος πρόσφατός ἐστιν· τίς οὖν, φησί, πρῶτος ἔλαχε τὸν στέφανον, ὅτε ἔθηκεν ὁ Ἡρακλῆς τὸν ἀγῶνα; Ἄλλως· ποταίνιον Δωρικῶς τὸ πρόσφατον, οἷον τὸν πρῶτον στέφανον. Ἄλλως· τίς οὖν δὴ προσφάτως καὶ ἐν ἀρχῇ νικῆσαι δεδύνηται; ἤτοι διὰ τῶν χειρῶν ἢ ὁρόμῳ ἢ ἅρματι ἐνδόξως μὲν αὐτὸς ἀγωνισάμενος,

τὸ δὲ ἀνταγωνιστοῦ κλέος καθελών. — Ποταίνιον.] Ἔνδοξον.

74. Ἀγώνιον εὖχος καθελών.] Ἄδοξον θέμενος· τὸ ὑπερθατὸν, ἀγώνιον εὖχος καθελὼν τὸ τοῦ ἀνταγωνιστοῦ καὶ τὴν νίκην, τὴν αὐτοῦ εὐχὴν, ἔργῳ ἀποβαλών· ἢ οὕτω συλλαβὼν τὴν εὐχὴν, ὅ ἐστι τὸ καύχημα τὸ τοῦ ἀνταγωνιστοῦ, καθελὼν διὰ τοῦ ἔργου ἔνδοξα θέμενος· ἀντὶ τοῦ ἔνδοξον νομίσας τὸ νικῆσαι, τουτέστι συλλαβὼν τὴν εὐχὴν ἢ καύχημα ἀνταγωνιστοῦ, καθελὼν διὰ τοῦ ἔργου· ἢ οὕτω· τὸ ἀγώνιον εὖχος δόξαν θέμενος καὶ ἔργῳ καθελὼν αὐτό. — Ἐν δόξᾳ θέμενος.] Θέμενος ἑαυτὸν δηλονότι ἐν δόξῃ καὶ τιμῇ, καθελὼν καὶ καταβαλὼν τὸ εὖχος τοῦ ἀνταγωνιστοῦ, ἢτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ, καὶ οὐκ ἐάσας νικῆσαί τε αὐτὸν καὶ καυχήσασθαι — Οἱ γράψαντες ἐν δόξαν οὐ καλῶς γράφουσιν.

76. Στάδιον μὲν ἀρίστευσεν εὐθύτονον.] Εὐθὺ, τὸ μὴ ἔχον καμπὴν, καθάπερ ὁ δίαυλος, τὸν ἁπλοῦν δρόμον· τὸν δὲ Οἰωνὸν Πίνδαρος ὡς ἤδη ἠνδρωμένον νικῆσαί φησι στάδιον παρὰ τὴν πρώτην Θέτιν τῶν Ὀλυμπίων· ἔνιοι δέ φασι παῖδα ὄντα αὐτὸν διεσπαράχθαι ὑπὸ τῶν Ἱπποκόωντος κυνῶν· ἐλθεῖν δὲ οὕτως ὑπ' Ἡρακλέους διὰ τὸ ὀξέως αὐτὸν τρέχειν ὡς πτηνὸν καὶ μὴ καταλαμβάνεσθαι· ὁ δὲ νοῦς· ὁ μὲν τοῦ Λυκιμνίου παῖς Οἰωνὸς τὸ εὐθύτονον καὶ ἀκαμπὲς στάδιον διαδραμὼν ἠρίστευσεν· οὗτος δὲ ὁ Οἰωνὸς ἦλθεν ἀπὸ πόλεως Μιδέας καλουμένης τοῦ Ἄργους, βασιλεύων καὶ ἡγεμὼν λαοῦ ὢν· ἡ δὲ μεταφορὰ τοῦ ἐλαύνων ἀπὸ τῶν ποιμνίων. Ἄλλως· εὐθύτονον στάδιον εἶπε· τοιοῦτον γὰρ λέγεται εἶναι τὸ στάδιον. Ἄλλως παῖς ὁ Λικυμνίου ὅσον ἤδη ἀνδρωθεὶς τὴν πρώτην τῶν Ὀλυμπίων Θέτιν ἐνίκησεν· ἐλαύνων δὲ, τουτέστι προηγούμενος ἦλθε, συνεκπρότησεν εἰς συμμαχίαν Ἡρακλεῖ, ἀπὸ Μιδέας κώμης Ἀργολικῆς, ἔνιοι δὲ πόλεως, ὅθεν καὶ Ἀλκὼ ἡ Λικυμνίου ἀδελφή. — Στάδιον μέν] Τὸ στάδιον μὲν τὸ κατ' εὐθεῖαν εἰς μῆκος τεταμένον διὰ τῶν ποδῶν τρέχων ὁ Οἰωνὸς ὁ υἱὸς τοῦ Λικυμνίου ἠρίστευσεν, ἤγουν ἠνδραγάθησεν, ἄριστος ἐφάνη· ἦλθε δὲ Μιδέαθεν, ἤτοι ἀπὸ τῆς Μιδέας, πόλις δὲ αὕτη τοῦ Ἄργους, στρατὸν ἐλαύνων, τουτέστιν ἄγων, ἐπαγόμενον ἔχων· ὁ δὲ Ἔχεμος ἠρίστευσεν ἐν πάλῃ δοξάζων τὴν Τέγεαν τὴν ἑαυτοῦ πατρίδα· ἔστι δὲ ἡ Τέγεα πόλις Ἀρκαδική· ὁ Δόρυκλος δὲ ἔφερεν, ἀντὶ τοῦ ἤρατο, τὸ τέλος,

ἤγουν τὸ κράτος τῆς πυγμῆς, τουτέστι τὴν ἐν τῇ πυγμῇ νίκην, οἰκῶν τὴν πόλιν τὴν Τίρυνθα· ἐν ἵπποις δὲ τέτρασιν ὁ Σῆμος ὁ ἀπὸ Μαντινέας νικήσας δηλονότι ἠείδετο, ἤγουν ἀνεκηρύττετο· ὁ Φράστωρ δὲ δι' ἄκοντος ἔλασεν, ἤγουν ἀφῆκεν, ἔπεμψεν ἐπὶ τὸν σκοπὸν, τουτέστιν εὐστόχως ἠκόντισεν· ὁ Ἐνικεὺς δὲ τὴν χεῖρα κυκλώσας, ἤγουν κατὰ κύκλον στρέψας, ἔδικε, τουτέστιν ἔβαλλε διὰ πέτρας, ἤτοι ἐδίσκευσεν εἰς μῆκος ὑπὲρ ἅπαντας τοὺς ἀνταγωνιστὰς δηλονότι, καὶ τῇ συμμαχίᾳ, ἀντὶ τοῦ τῷ πλήθει τῶν συναγωνιστῶν παραίθυξε, τουτέστιν ἐνίκησε, διερρίπισε, θόρυβον μέγαν.

79. Πάλα δὲ κυδαίνων.] Ἠρίστευσε πάλῃ κυδαίνων, ὅ ἐστι δοξάζων τὴν πόλιν αὐτοῦ Τέγεαν, ἔστι δὲ πόλις Ἀρκαδίας· δοξάζων δὲ διὰ τὸ ἀναγορευθῆναι ἀπὸ Τεγέας· προυπακουστέον τὸ ἠρίστευσεν· τὴν δὲ πάλην ἐνίκησεν Ἔχεμος Ἀ'ρκὰς τὸ γένος· ὑπὸ δὲ τούτου τοῦ Ἐχέμου τὸν Ἴλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον· ἐγάμησε δὲ τὴν Τιμάνδραν. Ἡσίοδος·

Τιμάνδρην, φησὶν, Ἔχεμος Ἁλιερὴν ποιήσατ' ἄκοιτιν.

83. Ἂν' ἵπποισι δὲ τέτρασιν ἕως Ἁλιῤῥοθίου.] Ἐφ' ἵπποισι δὲ τέτρασιν, ἤτοι τεθριππῳ ἀγωνισάμενος ἐνίκησεν ὁ Ἁλιῤῥόθιος· ὅθεν τινὲς σῆμα Ἁλιῤῥοθίου κατὰ περίφρασιν ἤκουσαν, οἱονεὶ τὸ σημεῖον καὶ ἡ δόξα τοῦ Ἁλιῤῥοθίου, ὡς καὶ Ὅμηρος Ἱερὴ ἰς Τηλεμάχοιο, (Ὀδυσ. β, 409) καὶ Βίη Ἡρακληείη· ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον τὴν Μαντινέαν φησὶν εἶναι ἱερὰν Ποσειδῶνος, καὶ παρατίθεται τὸν Βακχυλίδην λέγοντα οὕτω· Ποσειδάνιον ὡς Μαντινεῖς τριόδοντα χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες· ἐπίσημον γὰρ εἶναι τῶν ἀσπίδων τὸν Ποσειδῶνος τρίοδοντα, ὅτι παρ' αὐτοῖς μάλιστα τιμᾶται ὁ Θεός· ἔσται οὖν τὸ σαφὲς οὕτω καθ' αὑτὸ ἐξωθεν παραλαμβανομένου τοῦ ὀνόματος· ἂν' ἵπποισι δὲ τέτρασιν ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκησε· καὶ ἔστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὰ τοῦ Ποσειδῶνος. Ἁλιῤῥόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνά φησι, καὶ παρατίθεται τὸ Ὁμηρικὸν (Ὀδυσσ. ε, 292.)· Πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων· παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηίδα μαρτυροῦντα τῷ ἥρωϊ τὴν τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν.

Τρίψας δὲ πώλους, ὡς ὁ Μαντινεύς Σῆμος.

Ἄλλως· ἐὰν μὲν γράφηται Σᾶμ' Ἁλιῤῥοθίου, ἔσται αὐτὸς ὁ Ἁλιῤῥόθιος ἦκαν, ὡς ἂν ἐπίσημος ἐγένετο ὁ Ἁλιῤῥόθιος νικῶν· ἐὰν δὲ Σᾶμος ὁ Ἁλιῤῥοθίου, φανερὸν, οἷον Σᾶμος

ὁ Ἀλιῤῥόθιου ἐνίκησεν. Ἀριστόδημος δέ φησι, μὴ δύνασθαι συγχρονεῖν Ἀλιῤῥόθιον τὸν κατὰ Κέκροπα Ἡρακλεῖ, ἀλλὰ μηδὲ Ἀρκάδα εἶναι, ἀλλ' Ἀθηναῖον· Σῆμον δέ τινα οὗν νενικηκέναι ἅρματι, ὡς φησι Δίφιλος ὁ τὴν Θησηΐδα ποιήσας ἔν τινι ἰαμβείῳ οὕτω·

Τρέψας δὲ πώλους, ὡς Μαντινεὺς Σῆμος,
Ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

Ἄλλως· Ἀλιῤῥόθιος Μαντινεὺς ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείης· ἔνιοι δὲ γράφουσι Σῆρος Ἀλιῤῥόθιου, οὗ μέμνηται καὶ Ἡσίοδος· (σελ. 446.)

Ἦτοι ὁ μὲν Σῆρον καὶ Ἀλάξυγον, υἱέας ἐσθλούς.

ἦν δὲ ὁ Σῆρος τοῦ Ἀλιῤῥόθιου τοῦ Περιήρους καὶ Ἀλκυόνης. Ἀπὸ Μαντινέας· Μαντινέα πόλις Ἀρκαδίας· σᾶμα· Ἀλιῤῥοθίου· περιφραστικῶς ὁ Ἀλιῤῥόθιος, ἢ σῆμα ἐπίσημος, φανερός· ὁ δὲ λόγος· ἀπὸ Μαντινείας Σῆμος ὁ τοῦ Ἀλιῤῥόθιου πρῶτος ἐνίκα, ἢ ἐπίσημος ὢν Ἀλιῤῥόθιος· τὸ γὰρ ἐνίκα πᾶσι τούτοις ὑπακουστέον· εἶτα ἀρ' ἑτέρας ἀρχῆς, Ἄκοντι Φράστωρ ἔλασε σκοπόν· ἢ οὕτως· ἀν' ἵπποισι δὲ τέτρασιν ἀπὸ Μαντινέας· ἅρμασιν ἐνίκα Θησεύς· σῆμα Ἀλιῤῥοθίου· οἷον ὅμοιος ὢν Ἀλιῤῥοθίῳ τῷ ἀδελφῷ· μετὰ τὴν τῆς Ἥλιδος ἅλωσιν εἰς ἣν τῶν ἀγωνισαμένων ὁ Θησεύς, οὐχ ἅρματι δέ, ἀλλὰ παγκρατίῳ· ἱστορεῖ Ἀρίστιππος.

84. Εἶδετο.] Ἀνεκηρύττετο τὸ τῆς βολῆς σημεῖον. — Οὕτως ἄμεινον γράφεσθαι ἠείδετο· ἐς δ' ἄλλως γράφει, οὐ καλῶς γράφει. — Ἄειδετο.] Ἐδοξάζετο.

85. Ἄκοντι δὲ Φράστωρ.] Ἀκοντίῳ ἀγωνισάμενος ἔῤῥιψε κατὰ σκοποῦ· οἱ δὲ τὸ ἤλασε σκοπὸν ἀντὶ τοῦ τὴν νίκην εὐτύχησε φασίν. — Ἔλασε.] Ἐλέῤῥησε. — Σκοπόν.] Τὸν ἀγῶνα.

86. Μῆκος δ' Ἐνικεὺς ἔδικε πέτρω.] Ἐνικεὺς ὄνομα κύριον, ὡς Τυδεύς· μακρὸν ἐδίσκευε δίσκῳ λιθίνῳ· οὕτως οἱ ἀρχαῖοι· μῆκος δὲ, μακρόν· παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. τ, 131.) Χειρὶ περιστρέψας, φησὶ Χέρα κυκλώσας· ὁ δὲ λόγος· μακρόν τε καὶ ἐπίμηκες ἐδίσκευσεν ὁ Ἐνικεύς· ὅτι δὲ πέτροις τοπαλαιὸν ἐδίσκευον, μαρτυρεῖ Ὅμηρος· Βάμβησεν δὲ λίθος (Ὀδυσ. Θ, 190.)· Μὴ λάθῃς εἰς τὸ μῆκος ἔξωθεν εἰς, ἀλλ' οὕτω λέγε· ὁ Ἐνικεὺς δὲ κυκλώσας τὴν χεῖρα ἐν πέτρῳ ἔδικε καὶ ἔῤῥιψε μῆκος, ἤγουν ἡ τοῦ πέτρου ῥῖψις πολλοῦ μήκους ἐγένετο ὑπὲρ ἅπαντας καὶ ἐπέκεινα πάντων· ὥσπερ δέ φαμεν, ὑβρίζω σὲ ὕβριν, οὕτω καὶ ἔδικε

μῆκος, ἀντὶ τοῦ μακρὰν ἔρριψε ῥίψιν. — Πέτρῳ.] Διὰ τῆς στρογγυλοειδοῦς πέτρας.

87. Ὑπὲρ ἁπάντων.] Πάντας φησὶ τοὺς ἀνταγωνιστὰς τῇ βολῇ παρελθών· τὸ δὲ χέρα κυκλώσας παρὰ τὸ Ὁμηρικὸν (Ὀδυσ. Θ, 189.)

Τὸν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός.

τὸ δὲ καὶ συμμαχίᾳ Θήρυβον, ἀντὶ τοῦ καὶ τοῖς παρεστῶσιν αὐτοῖς συμμάχοις ἔκπληξιν καὶ ταραχὴν ἐνέγκας· μέγαν, διὰ τὸ ὑπερβεβηκέναι τῆς βολῆς θαῦμα· καὶ τοῦτο παρὰ τὸ Ὁμηρικόν· (Ὀδυσ. Θ, 190.)

Κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.

καὶ συμμαχίᾳ, ἀντὶ τοῦ τὸ πλῆθος θαυμάσαν ἀνεβόησεν ἐπὶ τῷ τῆς βουλῆς μήκει· ἢ οὕτω· παρεκίνησε καὶ ἀνήγειρε τὸ τῶν συμμάχων πλῆθος· ἤτοι διὰ τὸ ὑπερβαλέσθαι τοὺς ἄλλους τῷ δίσκῳ διαταραχθῆναι εἰς τὸ πλῆθος· ἀνήγειρε δὲ νικήσας ταραχὴν τοῖς συνοῦσιν· ἐθόησαν γὰρ θαυμάσαντες τῆς βολῆς τὸ μῆκος. — Ὑπὲρ ἁπάντων γράφε καὶ μὴ ὑπὲρ ἁπάντων· οὕτω γὰρ ἔχει πρὸς τὴν σύνταξιν ὀρθῶς.

89. Παρέθηξεν.] Ἐκίνησε, παρώρμησεν.

90. Ἐν δ' ἕσπερον ἔρλεξεν εὐώπιδος.] Τῆς δὲ εὐώπιδος σελήνης τὸ ἑρατὸν φάος κατέλαμψε τὴν ἑσπέραν· ταῦτα γὰρ ἐγίνετο τοῦ ἑσπέρου, καὶ τοῦ σκότου καταυγαζομένου καὶ φαιδρυνομένου ὑπὸ τῆς σεληνιακῆς αὐγῆς· ἑρατὸν δὲ φάος σελήνης· τὸ πανσέληνον. τελεῖται γὰρ κατὰ πληροσέληνον, ὡς αὐτὸς ἐν τοῖς πρώτοις (Ὀλυμπ. Γ', 35.) εἶπεν· ἔδει δὲ οὕτως εἰπεῖν· οὔσης δὲ πανσελήνου ἐτέθη ὁ ἀγών· ὁ δὲ τὸν ἀγῶνα διαθέμενος τότε τοῦτο ἐπήνεγκεν. — Ἐν δ' ἕσπερον ἔρλεξε.] Τὸ ἑσπερινὸν φῶς· ἐν πανσελήνῳ γὰρ ἐτέθη ὁ ἀγών· τοῦτο ἔδει πρῶτον εἰπεῖν, ὅτι πανσελήνου οὔσης ὁ ἀγὼν ἐτέθη· εὐθὺς δὲ καὶ οἱ φαντασθέντες ἄχρι δύσεως ἡμέρας αὐτοὺς ἀγωνίζεσθαι. — Ἐν δ' ἕσπερον ἔρλεξεν.] Ἐν τούτοις δὲ, ἤγουν ἐν ᾧ χρόνῳ ταῦτα ἐγίνετο, ἔρλεξεν, ἤτοι ἀνέλαμψε τὸ ἑσπέραστον φῶς τῆς σελήνης τῆς εὐορθάλμου· ἕσπερον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατὰ τὴν ἑσπέραν· τουτέστιν οὔσης δὲ πανσελήνου ταῦτα ἐτελεῖτο· ἀείδετο δὲ ἀντὶ τοῦ περιηχεῖτο τοῖς ὕμνοις πᾶς ὁ ναὸς, κατὰ τὸν τρόπον, ἀντὶ τοῦ τὸν νόμον τὸν ἐγκωμιαστικὸν, ἐν Θαλίαις, ἤγουν εὐωχίαις ἡδείαις, ἃς ὀηλονότι εὐωχοῦντο οἱ εὐφημοῦντες. —Εὐώπιδος.] Ὡραιοῤθάλμου.

91. Ἑρατόν.] Καλόν.

92. Ἀείδετο.] Ἐκροτεῖτο — Ἀείδετο δὲ πᾶν τέμενος.] Ἐν ταῖς εὐωχίαις δὲ περιῄδετο καὶ ἠχεῖτο τὸ πᾶν τέμενος εὐφημιῶν καὶ ὕμνων λεγομένων· οὗτος γὰρ ἐστιν ἐγκωμιαστικὸς τρόπος· ἢ οὕτως· ἐνεκομιάζετο ἐκ τῶν νικώντων τὸ τέμενος, φησίν· τῶν ἐπινίκων λεγομένων ἔχει ἡ Πίσα — Τερπνῆσι.] Εὐφραντικαῖς.

93. Ἐγκώμιον.] Ἐπαινετικόν.

94. Ἀρχαῖς δὲ προτέραις.] Ταῖς οὖν ἀρχαῖς καὶ τοῖς ἐπιτηδεύμασι τῶν φθανόντων. — Ἀρχαῖς δὲ προτέραις.] Ἑπόμενοι δὲ, ἀκολουθοῦντες ταῖς προτέραις ἀρχαῖς, ἤγουν τῇ παλαιᾷ συνηθείᾳ· πρὸ γὰρ τῶν νικηφόρων τότε ὁ Ζεὺς ὑμνεῖτο· κελαδήσομεν καὶ ὑμνήσομεν τὴν βροντὴν τοῦ ὁρσικτύπου Διὸς καὶ τὸ πυρπάλαμον βέλος· τὸν αἴθωνα καὶ τὸν καυστικὸν κεραυνὸν τὸν ἀρηρότα καὶ ἡρμοσμένον ἐν ἅπαντι κράτει, ἤγουν ᾧ Ζεὺς χρῆται εἰς ἅπασαν χρείαν· κελαδήσομεν χάριν καὶ ὕμνον, ἐπωνυμίαν τῆς ἀγερώχου νίκης· ὁ γὰρ ἐπινίκιος τῆς νίκης ἐπώνυμος· ὥσπερ δὲ φαμεν ὑμνῶ ὕμνον, οὕτω καὶ τὸ κελαδησόμεθα χάριν· τὸ γὰρ πρὸς τὸν Δία κελάδημα χάρις καὶ ὕμνος ἐστίν· οἱ δὲ τὸ εἰς πρὸς τὸ χάριν λαμβάνοντες ἔξωθεν ἀγνοοῦντες λέγουσιν. — Ἀρχαῖς δὲ προτέραις.] Ἀντὶ τοῦ ταῖς τάξεσι δὲ τῆς ἀρχῆς τῆς παλαιᾶς ἀκολουθοῦντες καὶ νῦν ἡμεῖς εἰς χάριν ἐπωνυμίαν, ἀντὶ τοῦ περιώνυμον ἤτοι περίφημον, μεγάλην, τῆς νίκης τῆς ἀγερώχου, τουτέστι τῆς μετεώρου, τῆς ἐξώχου, ὑμνήσομεν τὴν βροντὴν τοῦ Διὸς τοῦ κινοῦντος τοὺς κτύπους τῶν βροντῶν καὶ τὸ βέλος τὸ πυρπάλαμον, ἤγουν τὸ πῦρ προτεῖνον, τουτέστι τὸ πυρῶδες, λέγω τὸν κεραυνὸν τὸν καυστικὸν, τὸν ἀρηρότα, ἤγουν τὸν ἁρμόζοντα, τὸν ἐπικρατοῦντα ἐν ἅπαντι τῷ κράτει αὐτοῦ, ἀντὶ τοῦ ἐν πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ· ἡ μολπὴ δὲ τῶν μελῶν, ἀντὶ τοῦ τῶν ποιημάτων, τῶν ἐγκωμίων, ἤγουν σὺν αὐλῷ ᾀδομένη, χλιδῶσα, ἤγουν τρυφῶσα, ἁβρὰ, ἀντιάσει, τουτέστι ἀπαντήσει ταῖς ἀκοαῖς ἡδονότι, ἅτινα, τουτέστι τὰ μέλη, τὰ ἐγκώμια, διὰ χρόνου μὲν ἐφάνησαν παρὰ τῇ Δίρκῃ τῇ εὐκλεΐ, ἀντὶ τοῦ τῇ εὐκλεεῖ κατὰ συγκοπὴν, ὡς ἐν ἄλλοις εὐκλέα λέγει μορφὰν (Ὀλυμπ. ς', 128.), ἀντὶ τοῦ εὐκλεᾶ, τουτέστι παρὰ ταῖς Θήβαις· τὸν γὰρ εἰπὼν τὸν παρὰ ταῖς Θήβαις τὰς Θήβας ἐδήλωσεν. — Καὶ νῦν ἐπωνυμίαν χάριν.] Καὶ νῦν ἡμεῖς ἀκολουθοῦντες τὴν ἐπώνυμον τῆς νίκης χάριν, τουτέστι τὸν ἐπινίκιον ὕμνον εἴπωμεν· ἢ ἔξωθεν τὴν

εἰς πρόθεσιν λεκτέον, ἵν' ᾖ, εἰς χάριν κελαδήσομεν Θαυμάζοντες τήν τε βροντὴν τοῦ Διὸς καὶ τὸ ἔμπυρον αὐτοῦ βέλος τὸν κεραυνὸν τὸν ἐπὶ πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ ἁρμόδιον καὶ ἐπαρκοῦντα πρὸς τὰς χρείας. Ἄλλως· κρὸς πᾶσαν αὐτῷ δύναμιν ἀρηρότα· ἢ κράτει τῇ νίκῃ, νικῶντα ἀεί· κράτει ἀραρότα, ἡρμοσμένον παντὶ κράτει τοῦ Διός. Ἄλλως· τὴν ὀνομαστὴν βροντὴν καὶ διαβόητον· ἢ οὕτω τὴν νίκην περιφραστικῶς, τὴν διαβόητον· χάριν νίκας, ἀντὶ τοῦ διὰ τὴν νίκην· ἢ οὕτως ἐπίθετον τῆς νίκης ἐπωνύμους ποιούσης, ἢ τῆς ὄνομα φερούσης καὶ κρατούσης ἐν παντὶ κράτει.

95. Ἀγερώχου.] Θαυμαστῆς.

96. Πυρπάλαμον βέλος.] Τὸν κεραυνὸν καὶ ἐκ πυρὸς καὶ ἐκ Διὸς τεχνασθέντα.

97. Ὀρσικτύπου.] Μεγαλοκτύπου. — Κράτει.] Δυνάμει.

99. Χλιδῶσα.] Γλυκεῖα. — Χλιδῶσα δὲ μολπά.] Ἀντὶ τοῦ τρυφῶσα, ἐναβρυνομένη· ὁ δὲ νοῦς· ἡ δὲ μολπὴ ἡ τῶν μελῶν ἁβρῶς καὶ ἡδέως ἐντρυφῶσα τῇ ἡδονῇ ἀπαντήσει πρὸς αὐτόν· ἀντιάζει· ἀπαντιάζει· ὁ δὲ ὕμνος τρυφηλῶς καὶ ἡδέως μετὰ αὐλῶν ῥηθήσεται· τρυφῶσα δὲ ἡ μολπὴ τῶν ἐπέων ἀντιάσει πρὸς τὸν κάλαμον· τοῦτο δέ φησιν, ἐπεὶ μετ' αὐλῶν τὸν ὕμνον ἔλεγον.

100. Ἀντιάξει.] Ὁμοδρομήσει, συναντήσει τῷ αὐλῷ· οἷον ἀντιάσει, ἀνακινήσει. — Ἀντιάξει.] Συμφωνήσει.

101. Τὰ παρ' εὐκλεεῖ Δίρκᾳ.] Ἄτινα μέλη ἐν τῇ ἐνδόξῳ Δίρκῃ, φησί, τουτέστιν ἐν Θήβαις, ἐν πλείοσι μὲν χρόνοις τῆς προσδοκίας ἐφάνη καὶ ἐγράφη, ἀλλ' οὕτως ἐστὶ γλυκὺς ὁ ἐπίνικος τῷ λαοῦντι ὥσπερ παῖς γνησίας γυναικὸς καὶ οὐ παλλακίδος πατρὶ γεννηθεὶς ἤδη γεγηρακότι. Ἄλλως· Δίρκη πηγὴ ἐν Θήβαις· κεχρονικέναι δέ φησι καὶ ἐν ἀρχῇ λέγων ὁ Πίνδαρος, ὅτε διέστηκε τὸ πρῶτον ἀπὸ τῆς ὁμολογίας πρὶν γραφῆναι τὸ ἐγκώμιον· καὶ νῦν ἀπὸ τῆς Δίρκης φησὶ μετὰ πολὺν χρόνον περηνέναι τὰ μέλη καὶ τὰ ποιήματα, ὡς ἐν Θήβαις γεγραφὼς τὸν ἐπίνικον μετὰ πολὺν τῆς ὁμολογίας τῆς περὶ τοῦ γράφειν χρόνον· ἢ οὕτως· ἅπερ μέλη χρόνῳ ἐφάνη ἐν Βοιωτίᾳ, ἐπεὶ μετὰ χρόνον ἔγραψε τὸ ποίημα· ὁ δὲ νοῦς· οὕτω δέ σοι ποθεινὰ καὶ ἡδέα ἔσται τὰ μέλη, φησίν, ὥσπερ τις γνήσιος παῖς ἐκ νομίμης γυναικὸς πατρὶ ποθεινὸς ὁρᾶται εἰς τὸ ἀνάπαλιν τῆς νεότητος ἐλθόντι, τουτέστι γηράσαντι· πάνυ γὰρ τοῦ ἑαυτοῦ πατρὸς

τὸν νοῦν ἐκπυροῖ πρὸς τὸν πόθον κεχαρισμένως φαινόμενος

102. Ἀλλ' ὥστε παῖς] Ἀλλ' οὕτως ἐφάνη τέρψιν ἔχοντα, ὀκνοῦντι πρὸς τὸν νενικηκότα, καθὰ παῖς ποθεινὸς ἀπὸ γυναικὸς γνησίας τῷ πατρὶ φαίνεται γεννηθεὶς αὐτῷ ἤδη εἰς τὸ γῆρας ἀφιγμένῳ· καταπολὺ δὲ Θερμαίνει, ἤγουν ἐξάπτει διεγείρει τὸν λογισμὸν αὐτοῦ πρὸς φιλοφροσύνην· ἐπεὶ ὥσπερ πλοῦτος ὁ λαχὼν, ἤγουν ὁ κληρωσάμενος, ὁ εἰς κλῆρον λαβὼν ποιμένα, ἀντὶ τοῦ δεσπότην ἐπίσακτον ἀλλότριον καταπολὺ μεμισημένος ἐστὶ τῷ ἀποθνήσκοντι, ἀντὶ τοῦ ἐπεὶ ὥσπερ καταπολὺ μεμισημένον ἐστὶ τῷ ἀποθνήσκοντι τὸ εἰς κλῆρον λαβεῖν τὸν πλοῦτον αὐτοῦ δεσπότην ἐπείσακτον ἀλλότριον, οὕτως, ὦ Ἀγησίλαε, καὶ ὅταν ἀνὴρ καλὰ ἔργα πράξας εἰς τὸν σταθμὸν, ἤγουν εἰς τὸν τόπον τοῦ ᾅδου, τουτέστιν εἰς τὸν ᾅδην ἀφίκηται χωρὶς ᾠδῆς, ἤτοι ἐγκωμίων, κενὰ καὶ μάτια κοπιάσας βραχεῖάν τινα τέρψιν παρέσχε τῷ ἀγῶνι, ἀντὶ τοῦ οὐδεμίαν. — Ἐξ ἀλόχου.] Ὡς-περ φαίνεται παῖς ἐκ νομίμου γυναικός τινι πατρί. — Εἰ-κότως εἶπε τὸ ἀλόχου, ἵνα δείξῃ οἰκεῖον αὐτοῦ παῖδα· λέγει δὲ ὅτι, εἰ καὶ μὴ ἡνίκα ἐνίκησας τὸν ὕμνον σοι ἔγραψα, ὅμως νῦν ἀποδιδοὺς μεγίστην εὐφροσύνην παράσχω τοι, καὶ τοιαύτην εἶαν παῖς παρέχει πατρὶ εἰς γῆρας αὐτῷ γεγο-νὼς ἐκ τῆς ἰδίας ἀλόχου· ἔστι δὲ ἡ ἀπόδοσις τῆς παραβο-λῆς εἰς τὸ Καὶ ὅταν, εἰ καὶ δοκεῖ ἀναρμόστως ἀποδοθῆναι· δέον γὰρ οὕτως εἰπεῖν· ὥσπερ ὀψίγονος παῖς ποθεινὸς τῷ πατρὶ, οὕτω καὶ τὸ ὕστερον δοθέν τινι ἐγκώμιον πρέπον ποιῆσαι· ὁ δὲ ἄλλως ἐξήνεγκεν· εὕροις δ' ἂν καὶ παρὰ λογο-ποιοῖς πολλὰ τοιαῦτα.

103. Ἥκοντι.] Φθάσαντι.

105. Θερμαίνει.] Ὁ γεννηθεὶς τοῦ πατρὸς θάλπει τὸν νοῦν. — Φιλότατι.] Εἰς ἀγάπην.

106. Ἐπεὶ πλοῦτος ὁ λαχών.] Διατί δὲ ὁ παῖς ποθεινός ἐστι γηρῶντι; ἐπειδή, φησίν, ἡ περιουσία καὶ ὁ πλοῦτος ἄρχοντα καὶ δεσπότην ἑαυτοῦ λαχὼν ἀλλότριον τοῦ γένους καὶ ἔξωθέν τινα ἐπαχθέντα, λυπηρότατός ἐστι τῷ ἀποθνή-σκοντι· τὸ δὲ ἥκοντι νεότατι, εἰς τὸ ἔμπαλιν τῆς νεότητος, τὸ γῆρας, ἤδη ἐληλυθότος, καθ' ὃν καιρὸν οὐκ ἔστιν οἷος ἄλλο γεννῆσαι. Ἄλλως· τοῦτο ἐν τῷ καθόλου λέγει, ἐπεὶ ὁ πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν τὸν διαδεξάμενον, τῷ καταλιπόντι, ὅ ἐστι τῷ ἀποθνήσκοντι, στυγερώτατός ἐστι καὶ ἀλλότριος· διὰ δὲ τούτου σημαίνει, ὅτι ἐάν τις ἔχῃ πλοῦ-

τὰν ἄτεκνος ἀποθνήσκων καὶ διάδοχον μὴ καταλιπών, ἐπώδυνος αὐτῷ γίνεται Ἄλλος· τὸν μὴ κατὰ γένος διάδοχον ἔχοντα, παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδος ε, 158)· Χωρησταὶ δὲ διὰ κτῆσιν διατέοντο· τὸ δὲ θνάσκοντι κοινῶς πρὸς ἀμφότερα, ἀλλότριον θνήσκοντι καὶ στυγερώτατος· πάνυ γὰρ ἀλγοῦσιν οἱ τοῖς μὴ προσήκουσι διαδόχοις χρώμενοι· ὥσπερ οὖν, φησί, λυπηρόν ἐστι τῷ τελευτῶντι τῷ ἀλλοτρίῳ τινὶ χρήσασθαι κληρονόμῳ, οὕτως ἀλγεινόν ἐστι καὶ ὅταν κάλλιστα μὲν εἴῃ διαπεπραγμένος τις, ἄνευ δὲ ἐπαίνου καταλείψῃ τὸν βίον, ὦ Ἀγησίδαμε, ματαίως μαχθήσας, ὡς μηδὲ βραχύ τι τερπνὸν καὶ ἡδὺ ἀποκερδάναι ἐκ τῶν πόνων — Λαχών.] Πεσὼν εἰς κληρονομίαν.

108. Θνάσκοντι.] Καταλιμπάνοντι τὸν πλοῦτον.

109. Καὶ ὅταν καλὰ ἕρξαις.] Καὶ ὅταν τις, φησί, καλὰ ἐπιτελέσας ἔργα δίχα καὶ χωρὶς ὕμνου ἀποθάνοι ἄλλης τῷ μόχθῳ βραχύ τι ἔδωκε τερπνόν, τουτέστι βραχύ τι ἑτέρωθι τῷ μόχθῳ, ὅσον παραχεῖμα, παρ' αὐτὴν τὴν νίκην· ὠκέτι γὰρ αὐτοῦ τελευτήσαντος μέμνηταί τις· βραχύ τι τερπνόν, ἀντὶ τοῦ οὐδέν, οὐδὲ ὀλίγον, οὐδὲ τὸ ἐλάχιστον.

110. Ἅιδα σταθμόν.] Τὸν οἶκον, ἢ τὸν ᾍδην περιφραστικῶς.

111. Ἵκηται.] Ἔλθῃ, ἀπέλθῃ.

112 Τερπνόν.] Εὐφραντόν.

113. Τὶν δ' ἀδυεπής τε λύρα.] Σοὶ οὖν, φησί, πᾶν εἶδος μουσικῆς ἀνεγείρει, ἄνω ποιεῖ ἢ διαποικίλλει τὴν χάριν· καὶ γὰρ τὸ πάσσειν ποικίλλειν ἐστί· καὶ παστὸς, διὰ τὸ πεποικίλθαι· παὰ τὸ Ὁμηρικὸν (Ἰλιάδος γ, 126.)· Πολέας δ' ἐνέπασσεν ἀέθλους· ἀναποικίλλει σοι καὶ παρέχει τὴν ᾠδονὴν ἥ τε λύρα καὶ αὐλός· τὶν δὲ ἀντὶ τοῦ σοί, Δωρικῶς. — Τὶν δ' ἀδυεπής.] Σοὶ δὲ ἡδυεπής τε λύρα, ἀντὶ τοῦ ἡδύφωνος ἀναπάσσει, τουτέστιν ἐπιπάσσει, ἐνστάζει χάριν, ἀντὶ τοῦ μέλος χάριεν, ἤγουν τὸ ἐπαγωγὸν ἔχον, καὶ τερπνὸς αὐλὸς ἀναπάσσει χάριν· ἔχουσι δέ σοι, ἀντὶ τοῦ φέρουσι, παρέχουσιν αἱ Πιερίδες, ἤτοι αἱ Μοῦσαι αἱ Θυγατέρες τοῦ Διὸς, κλέος εὐρὺ, ἤγουν ἐπὶ πολὺν τόπον παραπεμπόμενον· ἐγὼ δὲ συνεφαπτόμενος, ἤγουν συνεργῶν, συλλαμβανόμενος αὐταῖς ταῖς Μούσαις ὀλονότι, σὺν σπουδῇ ἀμφέπεσον, ἀντὶ τοῦ περιπτύσσομαι, τὸ περιαδόμενον καὶ εὐκλεὲς ἔθνος τῶν Δοκρῶν· καταβρέχων δὲ μέλιτι, ἀντὶ τοῦ κοσμῶν ὕμνῳ ἡδεῖ τὴν πόλιν αὐτῶν τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότη-

τος ἀνδρῶν· τὸν υἱὸν τοῦ Ἀρχεστράτου, ἤγουν σὲ ἤνεσα, ἀντὶ τοῦ ἐπαινῶ, ὃν εἶδον, ἀντὶ τοῦ ἔγνων νικῶντα ἔργῳ τῆς ἰσχύος τῶν χειρῶν, τουτέστι πυγμῇ ἐν Ὀλυμπίᾳ κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ἠγωνίζετο δηλονότι, κατὰ τὴν ἰδέαν τε, ἤγουν τὸ εἶδος, τὴν μορφὴν καλὸν ὄντα, ἤτοι εὐειδῆ, ὥρᾳ τε, ἤγουν ἀκμῇ ἡλικίας κεκραμένον, τουτέστι συνόντα, ἥτις ποτὲ, ἤγουν ἡ ὥρα, ἅμα τῇ Ἀφροδίτῃ ἄλαλκε τῷ Γανυμήδει, ἤγουν ἐβοήθησεν ἀποσοβήσασα τὸν ἀναιδῆ θάνατον, τουτέστι τὸν ἄκαμπτον, τὸν φθοροποιόν· ἀναιδὴς γὰρ οὗτος κυρίως, ἐπεὶ οὐδενὸς αἰδῶ φυλάττει. Κυπρογενεῖ, τῇ Ἀφροδίτῃ· τουτέστιν ὡραῖος ὢν καὶ ὑπὸ Διὸς ἁρπαγεὶς συνουσίας χάριν ἀθάνατος γέγονεν.

114. Ἀναπάσσει.] Ἀναπέμπει, ἀναβάλλει, ἀναποικίλλει.

115. Τρέφοντι δ' εὐρὺ κλέος.] Αὔξουσι δέ σου τὸ κλέος αἱ Μοῦσαι καὶ οἱ λόγοι· ἀθάνατοι γὰρ οἱ διὰ τῶν λόγων ἔπαινοι. Ἄλλως· ἔχουσι δὲ αἱ Μοῦσαι μέγιστον κλέος τῶν νικησάντων.

117. Ἐγὼ δὲ συνεφαπτόμενος σπουδῇ.] Καὶ αὐτὸς δὲ ἐγὼ ἐν τῇ σπουδῇ συνεφαπτόμενος τῶν Μουσῶν, συλλαμβανόμενος καὶ συνεργῶν τρέφω σου τὸ κλέος καὶ αὔξω, εἴς τε τὸ τῶν λόγων ἐμαυτὸν ἐμβάλλων καὶ ὡσανεὶ μέλιτι πιαίνω τὴν πόλιν καὶ ἡδέως διατίθημι ὑμνῶν. — Συνεφαπτόμενος.] Συνακολουθῶν. — Σπουδῇ.] Τῇ σπουδῇ τῶν Μουσῶν.

118. Κλυτόν.] Ἔνδοξον. — Ἀμφέπεσον.] Κατήντησα. — Ἀμφέπεσον μέλιτι καταβρέχων.] Ὥρηται αὐτῷ τῷ ποιήματι, φησί, καταβρέχων, τουτέστιν ὑμνῶν.

119. Παῖδ' ἐρατόν.] Ταῦτα κομματικὰ καθ' ἑαυτὸν λέγει.

120. Ἐρατόν.] Ἐπιθυμητόν. — Τὸν εἶδον.] Ἀντὶ τοῦ ἔγνων.

121. Κρατέοντα.] Νικῶντα. — Χειρὸς ἀλκῇ.] Ἀντὶ τοῦ πυκτικῇ.

122. Κεῖνον κατὰ χρόνον.] Τὴν βραδυτῆτα τοῦ ἐπινίκου καὶ νῦν ἐπιδείκνυται· οὐ γὰρ ἐν ᾧ καιρῷ ἐνίκησεν, ἔγραψε τὸν ὕμνον· καὶ τῷ κάλλει τοῦ σώματος, φησὶν, ἀναλόγως συγκεκραμένον καὶ φαιδρυνόμενον τῇ τούτου ὥρᾳ, ἥτις ὥρα τῆς ἡλικίας, φησὶ, ποτὲ τὸν ἀναιδῆ θάνατον ἀπεκώλυσε τοῦ Γανυμήδους ἅμα τῇ Ἀφροδίτῃ· καὶ γὰρ δι' αὐτὴν καὶ διὰ τὸ κάλλος ἀθάνατος ἐγένετο. Ὅμηρος (Ἰλ. υ, 234.)·

Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν.
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

—]δέᾳτε καλόν.] Καὶ τῇ ὥρᾳ τοῦ σώματος ἐναβρυνόμενον αἰ τῷ κάλλει.

123. Κεκραμένον.] Τεθραμμένον.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΒ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ δωδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων Ϛ'. Τὸ ά ἰαμβέλεγος, λειπούσης τῆς πρώτης συλλαβῆς ἢ τοῦ τέλους μετακειμένου ἐπὶ τὴν ἀρχήν· Τὸ β' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ γ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὅμοιον τῷ·

Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην.

Τὸ έ Πινδαρικὸν ἐκ Στησιχόρου, τρίμετρον ἀκατάληκτον. Τὸ ϛ' ἰαμβέλεγος, τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετακειμένου Τὸ ζ' Εὐριπίδειον. Τὸ ἡ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ' Εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ

Ἡ ἐπῳδὸς κώλων ί. Τὸ ά ἐγκωμιολογικόν. Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' Εὐριπίδειον. Τὸ δ' ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ έ προσοδιακὸν δίμετρον καὶ συλλαβή. Τὸ ϛ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' ἰαμβέλεγος, τῆς πρώτης ἀφῃρημένης ἢ τοῦ τέλους μετακειμένου. Τὸ ἡ Πινδαρικὸν ἀπὸ Στησιχόρου. Τὸ θ' Στησιχόρειον. Τὸ ί τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

НБ ОНУ им. І.І. Мечникова

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου εἴδους· ἔστι δὲ μιᾶς στροφῆς.

Τοῦ δωδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων ἐννέα. Τὸ πρῶτον προσοδιακὸν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου δευτέρου, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ· οἱ δὲ λέγοντες τοῦτο ἰαμβέλεγον, καινοτομοῦντες ἃ οὐκ ἔξεστιν, οὐ καλῶς μοι δοκοῦσι λέγειν. Τὸ δ' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριάμβου. Τὸ γ' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὃ καλεῖται Ἀρχιλόχειον. Τὸ ε προχαϊκὸν τρίμετρον ἀκατάληκτον Στησιχόρειον τῷ Πινδαρικῷ ἔθει· ἰαμβον γὰρ ἔχει ἐν τῇ τελευταίᾳ χώρᾳ. Τὸ ς', ὡς ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστιν ὅμοιον τῷ πρώτῳ· ἐκ τῶν αὐτῶν γὰρ ποδῶν σύγκειται, πλὴν τρίμετρόν ἐστιν ἀκατάληκτον· ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ ζ' Εὐριπίδειον ἢ ληκύθιον· τροχαϊκὸν γάρ ἐστιν ἑρθημιμερές. Τὸ η προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς· τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑρθημιμερές. Τὸ θ ὅμοιον τῷ ς'. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Ἐπῳδὸς κώλων ί.

Τὸ ά ἐγκωμιολογικὸν δἰπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' Εὐριπίδειον ἢ ληκύθιον. Τὸ δ' ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε προσοδιακὸν, ὅμοιον τῷ η τῆς στροφῆς, καὶ ἀναπαιστικὸν ἐκ σπονδείου ἑρθημιμερές. Τὸ ς' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς, πλὴν ἐκ τροχαϊκῆς συζυγίας ἀρχόμενον. Τὸ η τροχαϊκὸν Στησιχόρειον ὅμοιον τῷ πέμπτῳ τῆς στροφῆς σὺν τῷ Πινδαρικῷ ἔθει. Τὸ θ' Στησιχόρειον καθαρὸν τρίμετρον ἀκατάληκτον. Τὸ ί ὅμοιον τῷ ς'. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

НБ ОНУ імені І.І. Мечникова

Ἐργοτέλει Ἱμεραίῳ.] Ἐργοτέλης Κρὴς μὲν ἦν τῷ γένει πόλεως Κνωσσοῦ, ὃς ἠγωνίσατο ἑβδομηκοστὴν ἑβδόμην Ὀλυμπιάδα καὶ τὴν ἑξῆς Πυθιάδα εἰκοστὴν ἐννάτην· στασιαζομένης δὲ τῆς πόλεως φυγὰς εἰς Ἱμέραν πόλιν Σικελιωτικὴν ἀπῆλθε, καὶ καταλαβὼν πάλιν τὰ ἐν Σικελίᾳ πράγματα στασιαζόμενα πρὸς Γέλωνος καὶ Ἱέρωνος, ἐκδεξάμενος εἰρήνην ἐνίκησε· διὸ πρὸς τὴν εἰρήνην ἀποτείνεται ἐν τῷ προοιμίῳ ὡς αἰτίαν γενομένην τῷ νικηφόρῳ τῆς νίκης. Ἱμέραν δὲ νῦν τὴν πόλιν αὐτὴν λέγει, ἔστι δὲ καὶ ποταμός· ἐκ ταύτης δὲ τῆς Ἱμέρας καὶ Στησίχορος ὁ μελοποιὸς ἦν δὲ ὁ Ἐργοτέλης υἱὸς Φιλάνορος, καὶ ἐπολιτογραφήθη ἐνταῦθα. — Ἐργοτέλει.] Ὀλυμπιάδα μὲν ἐνίκησεν οὗ, καὶ τὴν ἑξῆς κθ' Πυθιάδα, Πυθιάδα δὲ καὶ κέ, καὶ Ἴσθμια ὁμοίως· αὐτὸς δὲ ὁ Ἐργοτέλης ἦν μὲν τὸ γένος Κρὴς Κνώτιος, φυγαδευθεὶς δὲ ἐντεῦθεν ἀπῆλθεν εἰς Ἱμέραν πόλιν τῆς Σικελίας, ἐξ ἧς ἦν ὁ Στησίχορος, ὁ μελοποιός, καὶ πολίτης γραφεὶς ἐνταῦθα ἤθλησεν· διὰ δὲ τοῦ προοιμίου εὔχεται ἀεὶ τὴν Ἱμέραν ἐλευθέραν εἶναι καὶ ἀνυπόστατον ἄλλοις· φανερὸν δὲ καί, ὅτι διὰ τοῦτο τὴν Τύχην προτασσομένην Διὸς ἐλευθερίου παῖδα, ἣν καὶ παρακαλεῖ ἀμφιπολεῖν τὴν Ἱμέραν.

Ἐργοτέλης Κρὴς ὢν τὸ γένος καὶ τῆς πόλεως αὐτοῦ Κνωσσοῦ στασιαζομένης ἀπῆρεν εἰς Ἱμέραν πόλιν Σικελίας, ἔνθα καὶ ἑτέραν στάσιν εὑρὼν, Γέλωνος καὶ Ἱέρωνος ἐπιπεπαυμένων τῆς μάχης εἰρήνη ἐγένετο· ἀπελθὼν οὖν οὗτος εἰς Ὀλυμπίαν ὁδίχον δρόμον νικᾷ· ἔστι δὲ ὁ ὁδίχος εἶδος δρόμου· κατὰ τὴν οὗ Ὀλυμπιάδα· εἶτα νικᾷ καὶ Πύθια καὶ Ἴσθμια· ἀποτείνεται οὖν Πίνδαρος πρὸς τὴν Τύχην τὴν τὴν εἰρήνην ποιήσασαν, εἶτα πρὸς τὰς ἐλπίδας, δεικνὺς ἐντεῦθεν ὡς οὐδεὶς οἶδε τὸ μέλλον ἐπελθεῖν αὐτῷ· τοῦτο δὲ ἐποίησε διὰ τὸν Ἐργοτέλην ἐξελθόντα μὲν τῆς πατρίδος αὐτοῦ διὰ στάσιν, ἵνα πρὸς εἰρηναῖον χωρίον γένηται, εὑρόντα δὲ καὶ τὴν Σικελίαν στασιαζομένην.

1. Λίσσομαι.] Παρακαλῶ — Λίσσομαι παῖ Ζηνὸς Ἐλευθερίου.] Τὴν Εἰρήνην Ἐλευθερίου Διὸς ὑποτίθεται Θυγατέρα διὰ τὴν ἐνοῦσαν τοῖς εἰρηνεύουσιν ἐλευθερίαν· ἔστι δὲ ὡς τὸ Χρύσην ἀμφιβέβηκας (Ἰλιάδος α, 37.)· ἱκετεύω οὖν σε, ὦ τοῦ Ἐλευθερίου Διὸς παῖ Τύχη Σώτειρα, σώζουσα, περὶ τῆς μεγαλοσθενοῦς πόλεως τῆς Ἱμέρας καλουμένης· ἔστι δὲ Ἱμέρα πόλις Σικελίας· Ἀμφιπόλει δὲ, περιπόλει, σῶζε· εὔχεται δὲ μὴ ὑποταγῆναι τὴν Ἱμέραν μηδενὶ· καταλυθέντων τῶν

περὶ Ἱέρωνα, ἀθλήσας ἤδη ἐνίκησεν· ὅθεν λέγει τὸν Ἐλευθέριον Δία ἐπὶ τῶν Σικελιωτῶν κατελευθερωθέντων τῆς τυραννίδος. — Λίσσομαι παῖ Ζηνός·] Ὦ Τύχη σώζουσα τοὺς ἀνθρώπους, ἥγουν φυλάττουσα, περιέπουσα, θύγατερ τοῦ Διὸς τοῦ Ἐλευθερίου, τουτέστι τοῦ ἐφόρου τῆς ἐλευθερίας. Διὸς δὲ Ἐλευθερίου θυγατέρα λέγει αὐτήν, ἐπεὶ ἐδόξαζον αὐτὴν ὑψοῦν τε καὶ ἀπαλλάττειν δουλείας καὶ φυλάττειν τῶν ἐλευθέρων τὴν ἐλευθερίαν· λίσσομαι, ἥγουν ἱκετεύω ἀμφὶ τῇ Ἰμέρᾳ τῇ πόλει, ἀντὶ τοῦ περὶ τῆς Ἰμέρας τῆς πόλεως τῆς εὐρυσθενοῦς, τουτέστι τῆς πολλὴν ἐχούσης δύναμιν· ἢ οὕτως· ἱκετεύω ἀμφιπόλει, ἥγουν περιπόλει, περίεπε, ἐπίσκοπῆς ἀξίου τὴν Ἰμέραν τὴν πόλιν τὴν πολλὴν ἔχουσαν δύναμιν· ὑπὸ σοῦ γὰρ κυβερνῶνται ἐν τῇ θαλάσσῃ αἱ ταχεῖαι νῆες καὶ ἐν τῇ χέρσῳ, ἀντὶ τοῦ τῇ γῇ οἱ πόλεμοι, οἱ λαιψηροί, ἥγουν οἱ σφοδροί· τὴν ὁρμὴν καὶ δραστήριοι· ὑπὸ σοῦ κυβερνῶνται καὶ αἱ ἀγοραὶ αἱ βουληφόροι, τουτέστιν οἱ τόποι, ἔνθα αἱ βουλαὶ διδονται, ἤτοι τὰ βουλευτήρια.

4. Τὶν γὰρ ἐν πόντῳ.] Σοί, Δωρικῶς· διὰ σὲ γάρ, φησί, καὶ νῆες ἐν τῇ θαλάσσῃ ἰθύνονται· ἐπεὶ καὶ αἱ νῆες ἐν τύχῃ τινὶ κινοῦνται· ὁμοίως δὲ καὶ αἱ δημηγορίαι γίνονται. — Κυβερνῶνται.] Βοηθοῦνται καὶ οὐκ εἰς κλύδωνα πίπτουσιν ἢ πεσοῦσαι ταχέως ἀπαλλάττονται.

5. Λαιψηροί τε πόλεμοι.] Τουτέστι κοῦφοι καὶ ἀνόητοι, διὰ τὸ ἀνοήτως ποιεῖν ὁρμᾶν τοὺς μαχομένους ἐν τῷ πολέμῳ, ἤτοι ὅτι ὀξέως ἡ ὀργὴ τῶν ἀνθρώπων διανίσταται, ἐξ ἧς ὁ πόλεμος· ψευδῆ δὲ μεταμώνια εἶπεν ἀντὶ τοῦ μετέωρα καὶ αἰρόμενα· τὸ δὲ τάμνουσαι ἀπὸ μεταφορᾶς τῶν νεῶν εἴληπται· ὥσπερ γὰρ αἱ νῆες τρέχουσιν, οὕτω καὶ αἱ τῶν ἀνθρώπων ἐλπίδες ἀνὰ πολλὰ πράγματα φέρονται καὶ κυλίονται, καὶ οὐδὲν ὧν ᾠήθησαν ἀληθὲς εὑρίσκουσι· τοῦτο δὲ πρὸς τὸν ὑμνούμενον, ἐπεὶ φυγὰς γενόμενος καὶ νομίσας δυστυχεῖν ἐνίκησε παρὰ προσδοκίαν· ἢ ὑπὸ σοῦ· διὰ τὴν Τύχην οὖν φησι καὶ τὰς ἐν ἀνθρώποις ἐλπίδας ἐκκλείεσθαι· διὰ σὲ, ὦ Τύχη, πάντα γίνονται· αἱ γοῦν τῶν ἀνθρώπων ἐλπίδες πολλάκις ἀντιστρόφῳ τῇ προσδοκίᾳ χρησάμεναι μάτην διεξῆλθον καὶ περισσῶς ἠλπίσθησαν. — Εἰ μὲν ἄρθρον πρὸς τὸ λαιψηροὶ λάβῃς ἔξωθεν, οὕτως ἐρεῖς· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ λαιψηροὶ πόλεμοι, ἥγουν οἱ λαιψηρῶς καὶ κούφως καὶ ἀνοήτως τοῖς ἀνθρώποις γινόμενοι, ἢ οἱ λαιψηρῶν καὶ ταχυτάτων καὶ σπουδαίων

ἀνθρώπων δεόμενοι· εἰ δὲ χωρὶς τοῦ ἄρθρου, οὕτως· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ πόλεμοι· ποταποί; λαιψηροὶ καὶ ταχεῖς· ἦγουν ταχέως παύονται· οὕτω δὲ ἐρεῖς καὶ τὸ βουλαφόροι καὶ χωρὶς ἄρθρου καὶ μετὰ ἄρθρου· τοῦτο δὲ λέγει, ἐπεὶ εἰρήνης ὑπὸ τύχης γινομένης βουλευτήρια καὶ δικαστήριά ἐστιν. — Λαιψηροί.] Μεγάλοι.

6. Αἴ γε μὲν ἀνδρῶν.] Ὃ ἄν τις ἐλπίζοι, οὐκ εὐθέως ἀποβαίνει, οὐδὲ εὐθυποροῦσιν αἱ ἐλπίδες, ἀλλὰ ποτὲ μὲν εἰς ὕψος φέρεται τὰ προσδοκώμενα, ὁτὲ δὲ ῥίπτεται καὶ ταπεινοῦται. — Αἴ γε μὲν ἀνδρῶν.] Αἴ γε μὴν ἐλπίδες τῶν ἀνθρώπων κυλίνδονται, ἤγουν ἐν τῇ στροφῇ τοῦ χρόνου συμφέρονται, τέμνουσαι, ἀντὶ τοῦ ἐλπίζουσαι, λογιζόμεναι πολλὰ ἄνω ἔσεσθαι, τὰ δὲ δὴ κάτω, ψευδῆ μεταμώνια ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ψευδῶς, ματαίως· σύμβολον δὲ, ἤγουν σημεῖον προγνωστικὸν ἀσφαλὲς οὕπω τις κατενόησεν ἀπὸ τοῦ Θεοῦ περὶ τῆς ἐσομένης πράξεως, ἤγουν τύχης· τῶν δὲ μελλόντων, ὁ δὲ ἀντὶ τοῦ γὰρ, ἤγουν αἱ φραδαὶ γάρ, τουτέστιν αἱ γνώσεις τῶν μελλόντων τετύφλωνται, ἀντὶ τοῦ ἀφανεῖς, ἀδήλοί εἰσιν. Αἱ δὲ ἐλπίδες κυλίνδονται καὶ δίκην τροχοῦ περιφέρονται, τέμνουσαι καὶ ποιοῦσαι πολλὰ τῶν ἀνδρῶν ἄνω, τὰ δὲ, καὶ ἄλλα δὲ, κάτω, ψευδῆ μεταμώνια καὶ μάταια· τουτέστιν ἕτερά τις ἐλπίζει καὶ ἕτερά τινα ἀποβαίνει· ἔστι δὲ τὸ ψευδῆ καὶ τὸ μεταμώνια ἑρμηνεία τοῦ ἄνω καὶ κάτω· καὶ γὰρ ἡ τοιαύτη ἀνατροπὴ ψευδεῖς τοὺς ἐλπίζοντας τίθησιν· ἢ τὸ ἐλπίδες πρὸς τὸ ἀνδρῶν συναπτέον.

10. Σύμβολον δ' οὕπω τις ἐπιχθονίων πιστόν.] Τοιγαροῦν, φησὶν, οὐδεὶς τῶν ἀνθρώπων τεκμήριον ἢ σημεῖον δυνάμενον πιστώσασθαι περὶ τῶν ἐλπιζομένων πράξεων εὗρατο παρὰ Θεῶν, ὅτι πάντως ἐκβήσεται κατὰ τόνδε τὸν τρόπον ὡρισμένως. Ἄλλως· οὐδεὶς ἀνθρώπων περὶ πράξεως μελλούσης ἔσεσθαι πιστὸν εὗρε παρὰ Θεῶν σῆμα· σύμβολον, ἀρσενικῶς καὶ οὐδετέρως. Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας, τουτέστι κληδόνας καὶ πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις σύμβολά φησι λέγεσθαι, ὡς Ἀρχίλοχος·

Μετέρχομαί σε σύμβολον ποιουμένη.

χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητραν. — Ἐπιχθονίων.] Ἐπιγείων.

13. Τετύφλωνται φραδαί.] Ἀπρόοπτοί εἰσιν αἱ γνώσεις καὶ ἄφανεῖς αἱ ἀποβάσεις.

14. Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν.] Καὶ γὰρ

τοῖς ἕτερα τῆς γνώμης προσδοκῶσι τὰ ἐναντία συνέβη· τὸ δὲ ἔπεσεν ἀπὸ μεταφορᾶς τῶν κύβων· οἱ μὲν γὰρ τὰ ἐναντία, ἢ ὡς προσεδόκησαν καὶ μετεῖχον τέρψεως, εὗρον, οἱ δὲ χαλεπαῖς καὶ δειναῖς πραγμάτων ζάλαις περιτυχόντες μέγιστον ἀγαθὸν αἱρνιδίως ἀντηλλάξαντο τοῦ προσδοκωμένου κακοῦ· πάντων δὲ τῶν προειρημένων ὁ σκοπὸς τὴν ἀναφορὰν εἰς τὸν Ἐργοτέλη ἔχει· ἐπειδὴ προσδοκήσας ἐκ τοῦ κατὰ Κρήτην πολέμου καὶ τῆς φυγῆς ἀόξεια τὰ μέλλοντα, δι' εὐτυχίαν πολλὴν ὕστερον δόξαν ἐκτήσατο. — Πολλὰ δ' ἀνθρώποις.] Πολλὰ δὲ ἔπεσεν, ἀντὶ τοῦ ἀπέβησαν τοῖς ἀνθρώποις παρὰ προσδοκίαν, ἔμπαλιν δὴ τέρψεως, ἤγουν κατὰ τὸ ἐναντίον τῆς παρούσης αὐτοῖς τέρψεως· οἱ δὲ ἀλγειναῖς ταραχαῖς ἀντικύρσαντες, ἀντὶ τοῦ ἐγκύρσαντες, ἤτοι ἐντυχόντες, ἐν μικρῷ χρόνῳ, ἀντὶ τοῦ ἐν βραχεῖ, εἰς πολὺ ἀγαθὸν ἀπὸ πήματος, ἤτοι ἀπὸ κακοπαθείας, ἀπὸ βλάβης, πεδάμειψαν, ἀντὶ τοῦ μετήμειψαν, ἤτοι μετέπεσον.

15. Ἔμπαλιν μὲν τέρψιος.] Τὰ ἐναντία τῇ τέρψει, τουτέστι τὰ ἀηδῆ· ἔνιοι δὲ ζάλαις περιπεσόντες καὶ πραγμάτων χειμῶσιν ἐν μικρῷ χρόνῳ μετήμειψαν καὶ μετήλλαξαν εἰς βάθη καὶ μέγα ἀγαθὸν παραγενόμενοι· ταύτην δὲ τὴν γνώμην λέγει πολλάκις ὁ Πίνδαρος, ὅτι παρὰ μὲν εὐτυχίαν κακὸν ἐμβαίνειν εἴωθε, παρὰ δὲ δυστυχίαν ἀγαθόν· καὶ γὰρ ὁ Ἐργοτέλης φυγαδευθεὶς καὶ ἔπειτα ἆθλον ἀγωνισάμενος ἐνίκησεν. — Τέρψιος.] Χαρᾶς· εὐφροσύνης.

16. Ἀντικύρσαντες.] Ἀντὶ τοῦ ἐντυχόντες ζάλαις καὶ τρικυμίαις — Ἀντικύρσαντες.] Ἐμπεσόντες.

17. Πήματος ἐν μικρῷ.] Λείπει ἡ ἀντὶ, ἵν' ᾖ· ἀντὶ πήματος· τοῦτο δὲ εἶπε διὰ τὸν Ἐργοτέλην· καὶ γὰρ οὗτος ἐκ πημάτων τῶν περὶ τὴν ἀπόπτωσιν ἀγαθὸν ἔσχε τὴν νίκην.

19. Υἱὲ Φιλάνορος.] Ὁ λόγος πρὸς τὸν Ἐργοτέλην υἱὸν ὄντα Φιλάνορος· λέγει δὲ προδεδηλωκὼς, ὅτι φιλεῖ μεταπίπτειν ἐξ ἀγαθῶν μὲν κακὰ, ἐκ κακῶν δὲ ἀγαθά· ὅτι καὶ Ἐργοτέλης εἰ μὴ ἐφυγαδεύθη, οὐκ ἂν ἠγωνίσατο. — Υἱὲ Φιλάνορος.] Ὦ υἱὲ τοῦ Φιλάνορος Ἐργότελες, ὄντως δὴ καὶ ἡ σὴ τιμὴ τῶν ποδῶν, ἀντὶ τοῦ καὶ ἡ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν ἄδοξος ἂν κατεφυλλορρόησεν, ἤγουν κατεμαράνθη παρὰ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἀντὶ τοῦ τῇ συγγενικῇ, τῇ πατρικῇ, καθὰ ἀλέκτωρ ἔνδον, ἐν τῷ οἴκῳ τὰς μάχας ποιούμενος, ἀφανὴς ἐστι δηλονότι, εἰ μὴ ἡ μάχη ἡ ἀντιάνειρα, τουτέστιν ἡ ἐξ ἐναντιώσεως τῶν ἀνδρῶν γινομένη, ἐτέρησέ

σε τῆς πατρίδος τῆς σῆς τῆς Κνωσίας, ἀντὶ τοῦ τῆς Κνωσοῦ, τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ.

20. Ἐνδιμάχας ἅτ' ἀλέκτωρ.] Τὸν ἀλέκτορα παρείληφε διὰ τὸ κατοικιδίους ποιεῖσθαι τὰς μάχας τὸ ζῷον τοῦτο καὶ μηδὲν λόγου ἄξιον δρᾶν δημοσίᾳ. Θέλει δὲ εἰπεῖν, ὅτι εἰ μὴ ἔρυγεν ἐκ τῆς πατρίδος, οὐκ ἂν ἐστεφανώθη. Ἄλλως· τί οὖν, φησίν, ὦ τοῦ Φιλάνορος υἱὲ, Ἐργότελες; καὶ ἡ σὴ τιμὴ ἀκλεὴς ἂν ἐγένετο, καὶ ἀπεμαράνθη ἂν καὶ ἀπώλετο ἡ τῆς ὀξύτητός σου τῶν ποδῶν δόξα, εἴπερ ἐν τῇ τῶν προγόνων σου ἑστίᾳ παρέμεινας, ἐκεῖ μόνον ἀγωνιζόμενος, ὡσεί τις ἀλέκτωρ ἐνοικιδίοις τοῖς ἔνδον ὄρνισι μαχόμενος, καὶ μὴ ἡ γεγενημένη στάσις καὶ ὁ πόλεμος ὁ ἐν τῇ πατρίδι σου τῇ Κνωσῷ στερήσας σε ἦν τῶν οἰκείων καὶ ποιήσας ἀναχωρῆσαί σε τῆς πατρίδος, ὥστε δυνηθῆναι τὸν Ὀλυμπιάσιν ἀγῶνα νικῆσαι.

21. Συγγόνῳ παρ' ἑστίᾳ.] Ἐν τῇ Κρήτῃ κατοικιδίων ἂν ἔσχε τὴν ἀρετήν· συγγόνῳ, ἐν τῇ συγγενικῇ, τῇ ἀπὸ προγόνων· Κνώσιος γὰρ ἦν· λέγει δὲ, ὅτι καὶ τὸ δόξαν κακῶς γεγενῆσθαι, τὸ τῆς φυγῆς, τοῦτο αὐτῷ ἀγαθὸν προέβη.

25. Νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος.] Ἐκ δὲ ταύτης τῆς αἰτίας, φησὶ, τῆς κατὰ τὴν φυγὴν στερθεὶς ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθίᾳ καὶ ἐν Ἰσθμῷ τὰ Θερμὰ ὕδατα τῶν Νυμφῶν ἐν ἡμέρᾳ ὑψοῖς καὶ ἐπαίρεις τῇ δόξῃ. Ἄλλως· τὰ ἐν τῇ Σικελίᾳ Θερμὰ λουτρὰ τὰ τῆς Ἱμέρας πόλεως λέγεται Ἀθηνᾶν ἀναδοῦναι εἰς ἀπόλουσιν Ἡρακλεῖ· τινὲς δὲ τὰς Νύμφας ἀναδοῦναι αὐτὰ, καθὼς ὁ Πινδαρος· ἵνα ἀπολούσηται, ὅτε τὰς Γηρυόνου βοῦς ἀπελαύνων παρεγένετο· βούλεται δὲ λέγειν ἀπὸ μέρους αὐτὴν τὴν πόλιν· τόπος γὰρ ἐν αὐτῇ τὰ Θερμὰ λουτρὰ τὰ φυσικὰ ἔχων. — Νῦν δ' Ὀλυμπίᾳ.] Νῦν δὲ, ὦ Ἐργότελες, τούτου γενομένου, ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήτας, καὶ δὶς ἐν Πυθῶνι νικήτας, καὶ ἐν τῷ Ἰσθμῷ νικήσας τὰ Θερμὰ λουτρὰ τῶν Νυμφῶν τὰ ἐν τῇ Ἱμέρᾳ τῇ πόλει βαστάζεις, ἤγουν ὑψοῖς, μεγαλύνεις, ὁμιλῶν, τουτέστιν οἰκῶν, ἀναστρεφόμενος παρ' αὐτῇ, τῇ Ἱμέρᾳ δηλονότι, ὥσπερ εἰ ἀνεστρέφου παρὰ τῇ οἰκείᾳ γῇ, ἤγουν τῇ πατρίδι σου τῇ Κνωσῷ. § Ὅτε Ἡρακλῆς λαβὼν τὰς Γηρυόνου βοῦς ἐπανῆει ἐν Σικελίᾳ, αὐτῷ Θερμὰ ὕδατα ἐκ τῆς γῆς ἀναθεδόσθαι Ἀθηνᾶ παρεσκεύασεν, ἵνα λουτροῖς αὐτοῖς χρήσαιτο πλεῖστα καμὼν περὶ τὴν ὁδόν· λέγει οὖν τὸ

Θερμὰ λουτρὰ Νυμφᾶν, ἤτοι τὴν Ἰμέραν πόλιν, συνεκδοχικῶς ἀπὸ μέρους.

28. Παρ' οἰκείαις ἀρούραις.] Λοιπὸν καὶ ὡς ἐν ἰδίᾳ γῇ παροικῶν καὶ οὐδενὸς τῶν ἔξωθεν ἐπιδεόμενος.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΓ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τριςκαιδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τριςκαιδεκάτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων ιά. Τὸ ά ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἀπὸ πρώτου ποδὸς ἀδιαφόρου καὶ τροχαίου· ὁ τρίτος ποὺς παρενομήθη· ὁ γὰρ ἀντίσπαστος ἀπὸ β' τροχαίου, ὅπερ πάσχει κατὰ μέσον. Τὸ β' Φερεκράτειον. Τὸ γ' ἴαμβος τρίμετρος βραχυκατάληκτος· ὁ β' ποὺς ἀπανταχοῦ τρίβραχυς· ὁ δ' ἄτακτος· σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς. Τὸ δ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε διπλῆ περίοδος καὶ διπλοῦς ἴαμβος ἀρχόμενος. Τὸ ς' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικοῦ καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ τροχαϊκῆς συζυγίας τῆς οἰκείας. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ ή ἐπιχοριαμβικὸν, ἀπὸ διποδίας τροχαϊκῆς καὶ χοριάμβου, τῆς τελευταίας καὶ βραχείας οὔσης διὰ τὴν κατάληξιν. Τὸ θ' προσοδιακὸν ἢ ἀναπαιστικόν. Τὸ ι Εὐριπίδειον. Τὸ ια ἡ ἐπιχοριαμβικὸν ἢ τροχαῖος ἐπίτριτος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς καὶ αὐτὴ κώλων ια. Τὸ ά προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς μιᾶς βραχείας οὔσης. Τὸ β' ἐγκωμιολογικὸν.

Τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δ' ὅμοιον τῷ ἡ καὶ τῷ ιά τῆς στροφῆς. Τὸ ε τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' Εὐριπίδειον. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ἡ δακτυλικὸν πενθημιμερές. Τὸ θ' ἐπιωνικὸν ἄτακτον· ὁ γὰρ β' σπονδεῖός ἐστιν, εἶτα ἥμισυ συζυγίας· γίνεται δὲ ἐν τοῖς ἐπιωνικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ·

Ὦ καλλίστη πόλις πασῶν ὅσας Κλέων ἐφορᾷ.

Τὸ ι Εὐριπίδειον. Τὸ ια τροχαϊκὸν δίμετρον ἀκατάληκτον

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ τριςκαιδεκάτου εἴδους· ἔστι δὲ τὸ ᾆσμα στροφῶν πέντε.

Τοῦ τριςκαιδεκάτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ια. Το πρῶτον ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος τρίτου· ἀδιάφορος γάρ ἐστιν ἡ πρώτη συζυγία· ἃ δὲ περὶ τούτου λέγουσιν, οὐ μοι δοκεῖ εὔλογα. Το δεύτερον ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑρθημιμερὲς, ὃ καλεῖται Φερεκράτειον ἐκ διτροχαίου. Τὸ γ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς χορείου τριβραχέος, τοῦ δὲ τετάρτου σπονδείου, ὃν καὶ ἀτάκτως παρὰ τοῖς μελοποιοῖς φασι κεῖσθαι· ἐμοὶ δὲ ἐπιωνικὸν δοκεῖ εἶναι ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δευτέρου, ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ δ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. Τὸ ε περιοδικὸν ἰάμβοις καὶ τροχαίοις, ἀλλὰ τὸ μὲν ἰαμβικόν ἐστι μονόμετρον ἐξ ἀναπαίστου ἀρχόμενον, τὸ δὲ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς δακτύλου· ἐμοὶ δὲ δοκεῖ ἐκ δύο ἰαμβικῶν συγκεῖσθαι κώλων πενθημιμερῶν, καὶ ἔστιν ὥςπερ ἀσυνάρτητον, εἰ καὶ μὴ ἐκ διαφόρων κώλων σύγκειται· εἰ δὲ μὴ παραδίδωσι τοῦτο ὁ μετρικὸς, οὐδὲν θαυμαστόν· τὰ καιριώτερα γὰρ παραδίδωσιν, ὡς ἐγχειριδιον γράφων. Τὸ ς' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς πρώτης συζυγίας ἰαμβικῆς, τῆς δευτέρας Ἰωνικῆς ἀπ' ἐλάσσονος καὶ τῆς τρίτης τροχαϊκῆς. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ ἡ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἔχει δὲ ἔν τισι μὲν τοὺς χοριάμβους καθαροὺς, ἔν τισι δὲ ἰαμβικὴν ἢ τροχαϊκὴν συζυγίαν καὶ τὴν

κατάληξιν ὡσαύτως ἀδιάφορον. Τὸ Θ' προσῳδιακὸν ἐξ Ἰωνικοῦ καὶ χοριάμβου· εἰ δὲ βούλει, ἀναπαιστικόν. Τὸ ί τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον ἐκ δακτύλου ἀρχόμενον· ἐμοὶ δὲ δοκεῖ προσῳδιακὸν εἶναι, ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. Τὸ ιά ἐπιχοριαμβικὸν ἐκ τροχαϊκῆς συζυγίας ἢ ἐπιτρίτου καὶ χοριάμβου. Ἐν ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ιά. Τὸ πρῶτον προσῳδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ β' ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον δακτύλοις μεμιγμένον. Τὸ δ' προσῳδιακὸν ἢ ἐπιχοριαμβικὸν ὅμοιον τῷ ιά τῆς στροφῆς. Τὸ ε Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ἕκτον Εὐριπίδειον. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η δακτυλικὸν πενθημιμερές. Τὸ Θ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον· ἔστι δὲ ὡς φασιν ἀταξία ἐν αὐτῷ· ἡ γὰρ δευτέρα συζυγία ἰαμβικὴ οὖσα ἐν τῇ δευτέρᾳ χώρᾳ σπονδεῖον ἔχει ἀτάκτως· διὸ καὶ ἐπιλαμβάνονται αὐτοῦ ὡς καὶ τὸ παρ' Εὐπόλιδι ἐπιωνικὸν ἐν τῷ Χρυσῷ γένει, τό,

Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

Τὸ ί Εὐριπίδειον. Τὸ ιά τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐν ἑκάστῃ ἐπῳδῇ τὰ συνήθη σημεῖα.

---

1. Τρισολυμπιονίκαν] Παρόσον τρεῖς νίκας αὐτοῖς συμβεβήκει γενέσθαι, τῷ μὲν παιδὶ δύο κατὰ τὴν αὐτὴν ἡμέραν πεντάθλῳ καὶ σταδίῳ ἀγωνισαμένῳ, τῷ δὲ πατρὶ Θεσσαλῷ τοὔνομα πρῶτον ἐν τῇ ξθ' Ὀλυμπιάδι· τὸν τρισολυμπιονίκην οἶκον ἐπαινῶν τὸν πρᾶον μὲν πρὸς τοὺς πολίτας, φιλοξενώτατον δὲ πρὸς τοὺς ξένους εἰς γνῶσιν ἄξω, καὶ ὑμνήσω διὰ τούτων καὶ τὴν εὐδαίμονα Κόρινθον τὴν τοῦ Ἰσθμίου Ποσειδῶνος οὖσαν προπύλαιον καὶ οἰκητήριον, ἥτις ἀγλαοὺς κούρους καὶ ἄνδρας ἔχει· ἀγλαόκουρον γὰρ τὴν εὔανδρον λέγει. Ἄλλως· πρόθυρον καὶ Σύρας εἰώθασι καλεῖν τὴν Κόρινθον διὰ τὴν ἀρχὴν ἢ τέλος εἶναι τῆς Πελοποννήσου τὸν Ἰσθμόν, πρόθυρον δὲ τοῖς εἰς Πελοπόννησον

στελλομένοις. Βακχυλίδης· Ὦ Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι· ἢ οὕτως· ἐπεὶ ἀρχὴ μὲν τοῖς ἀπὸ τῆς Ἑλλάδος εἰς Πελοπόννησον πορευομένοις, ἐσχάτη δὲ τῆς Πελοποννήσου. — Τρισολυμπιονίκαν.] Λέγει τὸν τοῦ Ξενοφῶντος οἶκον, ἐπειδὴ αὐτῷ μὲν τῷ Ξενοφῶντι δύο Ὀλυμπιακαὶ νῖκαι κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένοντο πεντάθλου καὶ σταδίου, κατὰ τὴν οθ' Ὀλυμπιάδα νικήσαντι, τῷ πατρὶ δὲ Θεσσαλῷ μία πρόσθεν. Ἡ Κόρινθος ἐν τέλει μὲν τοῦ Ἰσθμοῦ, ἐν ἀρχῇ δὲ τῆς Πελοποννήσου κειμένη, εἰκότως προπύλαιον τοῦ ἐν Ἰσθμῷ τιμωμένου Ποσειδῶνος τῷ Πινδάρῳ καλεῖται. † Σύνταξις. Τρισολυμπιονίκαν.] Τὸν οἶκον ἐπαινῶν τοῦ Ξενοφῶντος τὸν τρὶς ἐν Ὀλυμπίᾳ νενικηκότα, τὸν πρᾷον τοῖς πολίταις, τοῖς ξένοις δὲ θεράποντα, ἀντὶ τοῦ θεραπευτὴν, γνώσομαι, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἀνάξω τὴν Κόρινθον τὴν πατρίδα τοῦ Ξενοφῶντος τὴν μακαρίαν, τὸ πρόθυρον τῆς Πελοποννήσου δηλονότι τὸ λαμπροὺς ἔχον νέους, τὸ τοῦ Ἰσθμίου Ποσειδῶνος, τουτέστιν ὃ ὁ Ποσειδῶν ὁ ἐν τῷ Ἰσθμῷ τιμώμενος ἔχει κατοικητήριον δολονότι· ἐν τᾷ γὰρ, ἤγουν ἐν ταύτῃ τῇ Κορίνθῳ οἰκεῖ ἡ Εὐνομία, ἤγουν ἡ κατὰ νόμους καλῶς ἐνδιαιτωμένη διοίκησις, καὶ αἱ κασίγνηται, ἤτοι αἱ ἀδελφαὶ αὐτῆς τῆς Εὐνομίας δηλονότι, ἡ Δίκη ἡ ἀσφαλὴς, ἀντὶ τοῦ ἡ ἀσφαλείας ποιητικὴ, τὸ βάθρον, ἤγουν ἡ ἀσφάλεια τῶν πόλεων, καὶ ἡ Εἰρήνη ἡ ὁμότροπος, τουτέστιν ἡ τὴν αὐτὴν αὐτῇ γνώμην ἔχουσα, ταμίαι οὖσαι, ἤγουν πάροχοι πλούτου τοῖς ἀνθρώποις, αἱ χρυσαῖ λέγω, ἀντὶ τοῦ αἱ κάλλισται θυγατέρες τῆς Θέμιδος τῆς εὐβόλου, τουτέστι τῆς δίκαια βουλευομένης.

6. Ἐν τᾷδε γάρ.] Ἐν γὰρ ταύτῃ τῇ Κορίνθῳ, φησὶν, οἰκεῖ ἡ Εὐνομία καὶ ἡ ἀδελφὴ αὐτῆς ὁμότροφος Εἰρήνη, ὡς Ἡσίοδος (Θεογ. 901.)

Δεύτερον ἠγάγετο λιπαρὰν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν.

7. Βάθρον.] Θεμέλιον. — Βάθρον πολίων.] Ἀντὶ τοῦ ἐφ' ὧν πᾶσα πόλις ἀσφαλῶς βέβηκεν.

8. Δίκα.] Κρίσις.

10. Χρύσεαι·] Θεῖαι.

11. Θέμιτος.] Δικαιοσύνης.

12. Ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν.] Ἤτοι εὐκτικῶς εἶπεν, ἀντὶ τοῦ αἱ προειρημέναι θεαὶ ἀπαλεξήσουσι τῶν πόλεων τὴν ὕβριν· ἤτοι βούλοιντο δ' ἂν ἀπαμύνειν τὴν ὕβριν καὶ

НБ ОНУ імені І.І. Мечникова

ἀποκωλύειν. Ἄλλως· Περὶ τῶν Κορινθίων φησίν, ὅτι βούλημά ἐστιν αὐτοῖς καὶ σκοπὸς ἐκκλίνειν τὴν ὕβριν, ἀντὶ τοῦ καθεστῶτές εἰσι καὶ οὐχ ὑβρισταί· ἔνιοι δὲ οὕτω· βούλημα δὲ καὶ σκοπὸν ἔχουσιν αἱ τῆς Θέμιδος θυγατέρες ἀπαλεξεῖν τὴν ὕβριν τὴν τοῦ κόρου μητέρα τὴν θρασείαν. Ἄλλως. Ἐθέλοντι δ' ἀλεξεῖν.] Λί προειρημέναι θεαὶ ἀλεξήσουσι τὴν ὕβριν τῶν πόλεων· οὐκ ὀρθῶς δὲ τὴν ὕβριν τοῦ κόρου μητέρα λέγει, ἀλλὰ τὸ ἀνάπαλιν εἰπεῖν μᾶλλον ἔδει Ὅμηρος·

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται.

Ἐ'θέλουσι δὲ ἀλεξεῖν, ἤγουν ἀποσοβεῖν, διώκειν τὴν ὕβριν, τὴν τοῦ κόρου θυγατέρα δηλονότι, τὴν μητέρα τῶν θρασέων, ἤτοι τῶν ἐπηρμένων λόγων. — Ὕβριν κόρου.] Ὕβριν λέγει τὴν ἀδικίαν καὶ πλεονεξίαν, αἳ πλῆθος πολέμων καὶ σφαγῶν καὶ φόνων καὶ παντίων κακῶν παρασκευάζουσι γίνεσθαι, καὶ πάντων τούτων τοῖς ἀνθρώποις εἰσὶν αἴτιαι. Ὅμηρος δὲ τὸν κόρον πατέρα καλεῖ τῆς ὕβρεως λέγων·

Τίκτει τοι κόρος ὕβριν. † Κόρος λέγεται κυρίως ἐπὶ τοῦ στομάχου, ὅταν ἐμπλησθῇ βρωμάτων· ἀπὸ τούτου δὲ καὶ ἐπὶ τῶν μεγάλης περιουσίας ἀπολαυόντων ἢ τιμῆς ἢ ἑτέρου τοιούτου, καθὸ λέγεται ἐνταῦθα· ὕβρις δὲ ἡ ἀδικία καὶ ἀλαζονεία καὶ ἅπαρσις κατὰ τῶν ὑποδεεστέρων, ἣν ἡ Εὐνομία καὶ ἡ Δίκη καὶ ἡ Εἰρήνη ἀποστρέφεται καὶ διώκει.

14. Ἔχω καλά τε φράσαι.] Ἔχω τοίνυν περὶ τῆς Κορίνθου τὰ κάλλιστα διεξελθεῖν· παρορμᾷ γὰρ τὴν γλῶτταν ἡ τόλμα ἡ εὐθεῖα καὶ πρόσφορος νῦν διηγεῖσθαι περὶ αὐτῶν. Ἄλλως· ἡ ὑπομονὴ καὶ ἡ εὐτολμία τὴν γλῶτταν μου παρορμᾷ λέγειν τὰ ἐπ' εὐθείας καὶ ἐφεξῆς τούτοις πράγμασιν. — † Σύνταξις. Ἔχω καλά τε φράσαι.] Ἔχω καλά τε εἰπεῖν ἐπὶ τῇ Κορίνθῳ, τόλμα τέ μοι εὐθεῖα, τουτέστι καὶ προθυμία εὐθεῖα, ἀντὶ τοῦ δικαία, τὴν γλῶσσάν μου παρορμᾷ εἰς τὸ λέγειν· ἄμαχον δὲ, ἤγουν ἀμήχανον, ἀδύνατον, κρύψαι, ἤτοι σβέσαι, ἐᾶσαι, τὸ συγγενημένον ἐμοὶ φυσικὸν ἦθος· ὑμῖν δὲ ὦ παῖδες, ἀντὶ τοῦ ἀπόγονοι τοῦ Ἀλήτου, τουτέστιν, ὦ Κορίνθιοι, πολλάκις μὲν παρέσχον αἱ Ὧραι αἱ πολυειδῆ ἄνθη προτείνουσαι λαμπρότητα νικηφόρον, ἀντὶ τοῦ νικητικὴν, ὅτ' ἐξόχων ἀνδραγαθιῶν ὑπερελθόντων, ἤγουν νικησάντων ἐν ἱεροῖς, ἤτοι θείοις ἀγῶσιν.

15. Εὐθεῖα.] Ὀρθή. — Ὀρνύει.] Διεγείρει.

16. Ἄμαχον δὲ κρύψαι.] Ἀμήχανον δὲ καὶ ἀδύνατον ἀποκρύψαι τὸ συγγενημένον ἦθος καὶ ἐκ φύσεως; — Τὸ

συγγενὲς ἦθος.] Τὸ ἔμφυτον, ὥστε καὶ Κορίνθιοι ἀγαθοὶ ἐκ φύσεως ὄντες οὐκ ἂν ποτε μεταβληθεῖεν. Ἀλήτης ἀνήρ τις ἡγήσατο Ἡρακλείδαις τῆς πρὸς Πελοπόννησον ἐπανόδου· κατοικήσαντος οὖν ἐν Κορίνθῳ Ἀλήτου ἀπ' αὐτοῦ οἱ Κορίνθιοι καλοῦνται.

17. Ἔμμιν δὲ, παῖδες Ἀλάτα.] Τουτέστιν οἱ Κορίνθιοι. Ἀλήτης γὰρ ἡγήσατο τῆς ἀποικίας τῶν Ἡρακλειδῶν, ὅτε οἱ Ἡρακλεῖδαι κατῆσαν εἰς Πελοπόννησον, καὶ αὐτὸς εἷς ὢν τῶν Ἡρακλειδῶν· ἦν γὰρ Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντύχου τοῦ Ἡρακλέους· οὗτος ἐκράτησε Κορίνθου· διόπερ παῖδες εἶπεν Ἀλήτου τοὺς Κορινθίους ὡς ἀπογόνους. Δίδυμος δέ φησι τὸν Ἀλήτην μὴ οἰκιστὴν τῆς Κορίνθου γεγονέναι, ἀλλὰ βασιλέα ἔτει τριακοστῷ μετὰ τὴν τῶν Δωριέων ἄφιξιν· ὁ δὲ νοῦς· ὑμῖν γάρ, ὦ Κορίνθιοι, τὴν ἀπὸ τῶν νικῶν ἡδονήν τε καὶ τέρψιν παρέσχον αἱ Ὧραι νικηταῖς γενομένοις ἐν τοῖς μεγίστοις καὶ ἱεροῖς ἀγῶσιν, οὐ μόνον δὲ ἐνδόξους διὰ τὰς νίκας τοὺς Κορινθίους αἱ Ὧραι ἐποίησαν, ἀλλὰ καὶ ταῖς καρδίαις αὐτῶν ἐνέβαλον σοφίαν.

19. Ὥπασάν γ' ἄκραις.] Δίτιῶνταί τινες ἀσυνέτως τὸν Πίνδαρον, διότι ὑπερελθόντων εἶπε δέον ὑπερελθοῦσιν εἰπεῖν πρὸς τὸ ὑμῖν· οὗς αὐτὸς ἐάσας τὸ μὲν ὑμῖν νόει, διότι τὸ ὥπασαν δοτικῇ συντάσσεται, τὸ δὲ ὑπερελθόντων οὐ πρὸς τὴν σύνταξιν τοῦ ὥπασάν ἐστιν, ἀλλ' ἐπειδὴ αἰτία ἐστὶ τὸ νικηφόρον ἀγλαΐαν, σχηματίζομεν δὲ τὰς αἰτίας καὶ πρὸς τὴν ὄπισθεν σύνταξιν, εἰ δοτικὴ ἡ αἰτιατικὴ ἐστι, καὶ πρὸς γενικήν· διὰ τοῦτο καὶ νῦν οὐ πρὸς τὸ ὑμῖν, ἀλλ' ὡς αἰτία πρὸς γενικὴν ἀπεδόθη· ὥσπερ ἐστὶ τοῦτο· Πολλῶν πειραθῆναι συνέβη μοι ἁμαρτωλοῦ ὄντος.

20. Ὑπερελθόντων ἱερεῖς.] Νικησάντων, ὑπερβαλόντων καὶ κρεισσόνων γενομένων· ὑπερελθόντων δὲ ἱερεῖς ἐν ἀέθλοις, σχῆμά ἐστιν ἀντὶ τοῦ ὑπερελθοῦσιν· ἄπαν δ' εὑρόντος ἔργον· τοῦ πρώτου εὑρόντος ἰδιόν ἐστιν, οὐχὶ τοῦ μιμησαμένου· παρ' ὑμῖν γὰρ τοῖς Κορινθίοις πολλὰ τῶν ἔργων εὑρέθη· πολλὰ δ' ἐν καρδίαις· ἐπεὶ πολλὰ οἱ Κορίνθιοι ἐτεχνήσαντο ταῖς τῶν Θεῶν γνώμαις ἑπόμενοι· λέγει, ὅτι πολλὰ ἐτεχνήσαντο καὶ εὗρον· διὸ καὶ ἐπιφέρει· πᾶν δ' εὑρόντος ἔργον· πολλὰ οὖν εὗρον οἱ Κορίνθιοι, ὥστε καὶ τὰ ὕστερα εὑρεθέντα ἴδια αὐτῶν νομισθῆναι. Ἄλλως· οὐ μόνον νίκην παρέσχον ὑμῖν αἱ Ὧραι, ἀλλὰ καὶ πλεῖστα σοφὰ διανοήματα· ὁ χρόνος ἐν ταῖς καρδίαις τῶν παρ' ὑμῖν ἀν-

ὀρῶν ἐνέβαλεν· ἀντὶ τοῦ καὶ ἀνδρείους ὑμᾶς ἤνεγκεν ὁ χειμὼν καὶ συνετοὺς καὶ σοφούς· ταῦτα δέ φησιν, ἐπειδὴ Φείδων τις ἀνὴρ Κορίνθιος εὗρε μέτρα καὶ στάθμια, καὶ ἄλλα πολλὰ λέγονται εὑρηκέναι οἱ Κορίνθιοι. — Ὑπερελθόντων χρὴ γράφειν, οὐχ ὑπελθοῦσιν· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς.

21. Πολλὰ δ' ἐν καρδίαις.] Πολλάκις δὲ ἔβαλον ὑμῖν αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν, τουτέστι πολλάκις δὲ ἔβαλον αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν ὑμετέρων σοφίσματα ἀρχαῖα, ἤγουν ἐπινοίας τεχνῶν πρῶτον εὑρημένας, οὕπω πρότερον εὑρημένας, ἅπαν δ' εὑρόντος ἔργον, τουτέστιν ἅπασα δ' ἐργασία τεχνικὴ τοῦ εὑρόντος αὐτὴν τὴν ἀρχὴν ἤτοι τοῦ ἐφευρόντος ἐστίν· αἱ Χάριτες τοῦ Διονύσου, ἤγουν αἱ ἑορταὶ αἱ τὸ ἐπαγωγὸν ἔχουσαι, αἱ παρὰ τοῖς Κορινθίοις ὑμῖν τελούμεναι δηλονότι, σὺν ὕμνῳ διθυράμβῳ βοηλάτῃ, τουτέστι χάριν βοὸς ἀδομένῳ, πόθεν ἀλλοθεν, ἢ παρ' ὑμῶν δηλονότι, ἐξέφανεν, ἤγουν ἐλαμπρύνθησαν; τίς δὲ ἄλλος ἔθηκεν, ἀντὶ τοῦ ἐπενόησε συμμετρίας ἐν κατασκευάσμασιν ἱππείοις, ἀντὶ τοῦ πολεμικοῖς· ἤγουν τίς δὲ ἄλλος ἐπενόησε τὴν ἐν τοῖς ὅπλοις συμμετρίαν; ἢ τις ἄλλος ἐπενόησεν ἐν τοῖς ναοῖς τῶν Θεῶν τὸν βασιλέα τῶν ὀρνέων τὸν διπλοῦν ἤγουν τὸν διπλοῦν ἀετόν, τουτέστι τὸ λεγόμενον ἀέτωμα; ἐν τούτοις δὲ, τουτέστι τοῖς Κορινθίοις ἀνθεῖ, ἀντὶ τοῦ ἀκμάζει, περιφανὴς ἐστι, δύναμις ποιητικὴ ἡδύπνους, ἤγουν ἡδυμελὴς, τερπνὰ προτείνουσα μέλη· ἐν τούτοις δὲ ἀνθεῖ Ἄρης, τουτέστι πολεμικὴ ἐμπειρία νέων ἀνδρῶν, ἐν αἰχμαῖς, ἀντὶ τοῦ ἐν μάχαις ὁλεθρίαις.

23. Τὸ Ὧραι πολυάνθεμοι, καὶ πρὸς τὸ ὕπασαν ἐκληπτέον· παρέχουσι δὲ αἱ Ὧραι τὰς νίκας διὰ τὸ τὰς πανηγύρεις κατὰ περιόδον φέρειν, ἐν αἷς ἀγῶνες καὶ νῖκαι γίνονται· πῶς δὲ ἀρχαῖα σοφίσματα ἐν τοῖς Κορινθίοις ἔβαλον; ἐπειδὴ ἔν τε τῷ ἔαρι καὶ θέρει καὶ τοῖς ἄλλοις καιροῖς ἐμηχανήσαντο τὰ πρόσφορα· δέον δὲ εἰπεῖν, σοφίσματα ἔβαλλον καταρχὰς, ἀρχαῖα εἶπε πρὸς τὸ σοφίσματα.

24. Ἅπαν δ' εὑρόντος ἔργον.] Τοῦ εὑρόντος ἐστὶ δηλονότι· εἰ γὰρ καί τινες τοῖς εὑρεθεῖσι παρὰ Κορινθίων ἐπιδεδωκότες ἐξέλαμψαν, οἱ καταρχὰς εὑρόντες αὐτὰ Κορίνθιοι κρείττους εἰσὶν αὐτῷ τῷ εὑρεῖν.

25. Ταὶ Διονύσου πόθεν ἐξέφανεν.] Αἱ τοῦ Διονύσου, φησὶ, πανηγύρεις πόθεν ἐξέλαμψαν σὺν τῷ διθυράμβῳ, ἀντὶ τοῦ τὸν διθύραμβον προσλαβοῦσαι; ἢ οὕτως· αἱ τῶν διθυράμ-

ἕων χάριτες αἱ τῷ Διονύσῳ ἁδόμεναι πόθεν ἐξεφάνησαν; τοῦτο δὲ ὡς πυρὰ Κορινθίοις πρῶτον εὑρεθέντων εἰς τὸν Διόνυσον διθυράμβων· ὁ Πίνδαρος βοηλάτην τὸν διθύραμβον προσαγορεύει, ἤτοι διὰ τὸ βοῦν εἶναι τῷ νικήσαντι ἔπαθλον· ἱερὸς γὰρ τοῦ Διονύσου· ἢ διὰ τὸ ἐλαύνεσθαι αὐτὸν διὰ βοῆς καὶ λέγεσθαι· ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ ἢ οὕτως ἀκουστέον· αἱ τοῦ Διονύσου διθυράμβων ἐν Κορίνθῳ ἐφάνησαν Χάριτες, τουτέστι τὸ σπουδαιότατον τῶν Διονύσου διθυράμβων ἐν Κορίνθῳ πρῶτον ἐφάνη· ἐκεῖ γὰρ ὡράθη ὁ χορὸς ἀρχούμενος· ἔστησε δὲ αὐτὸν πρῶτος Ἀρίων ὁ Μηθυμναῖος, εἶτα Λάσος ὁ Ἑρμιονεύς. Ἄλλως ὁ λόγος ἐρωτηματικός· ὑπακούεται δὲ δηλονότι ἐν Κορίνθῳ· συνίστησι γὰρ, ὅτι πρῶτος ἐν Κορίνθῳ διθύραμβος εἰσήχθη· ὃς ἦν κύκλιος χορὸς Ἀρίωνος τοῦ Μηθυμναίου συστήσαντος αὐτόν· ἡ δὲ ἀκολουθία· αἱ τοῦ Διονύσου οὖν χάριτες ὁ διθύραμβος ποῦ πρῶτον ἐξεφάνη; οὐκ ἀπὸ Κορίνθου; Ἄλλως· ὅπου, φησὶν, ὤφθησαν αἱ ἐπὶ τῶν διθυράμβων χάριτες, δηλονότι ἐν Κορίνθῳ.

26. Βοηλάτᾳ.] Βοῇ λαμπρᾷ. — Βοηλάτην καλεῖ τὸν διθύραμβον, ἢ διότι τῷ κατορθώσαντι αὐτὸν βοῦς ἐδίδοτο ἆθλον, ἢ διότι ἐλαύνετό τε καὶ ἐτελεῖτο· ὁ δὲ διθύραμβος χορὸς ἦν κυκλικὸς πρὸς τὸν Διόνυσον, ἐλέγετο δὲ διθύραμβος ἀπὸ τοῦ Διονύσου τοῦ ἐκ δύο θυρῶν ἐξελθόντος, ἔκ τε τῆς μητρῴας αὐτοῦ γαστρὸς καὶ τοῦ μηροῦ τοῦ Διός· εὗρον δὲ οἱ Κορίνθιοι πρῶτον τοῦτον ἐν τοῖς Διονυσιακοῖς, ὥσπερ καὶ τὸ μέτρον τοῦ ἱππικοῦ τροχοῦ, τουτέστι τοῦ ἅρματος, ὁπόσον δεῖ γίνεσθαι, ὃν ἵππεια ἔντεα καλεῖ, καὶ τὰ ἐπάνω τῶν ναῶν δίπλα ἀετώματα.

27. Τίς γὰρ ἱππείοις ἐν ἔντεσι μέτρα.] Τουτέστι τὰ ἵππεια μέτρα τοῦ χαλινοῦ· ἀποδιδώκασι δὲ τῷ δοκεῖν τὸν Πήγασον πρῶτον ὑπὸ Βελλεροφόντου ἐν Κορίνθῳ κατεζεῦχθαι. Δίδυμος δέ φησι μήτε τοὺς ἱππικοὺς ὁρόμους μήτε τὰς τῶν ἁρμάτων κατασκευὰς μήτε τὸν χαλινὸν διὰ τούτων δηλοῦσθαι, ἀλλὰ τὸν κιραμεικὸν τροχὸν ἐκ μεταφορᾶς διεχθὲν μετενηνεγμένης· τοῦτο μὲν ὅτι ἵπποις οἰκεῖος ὁ τροχὸς, τοῦτο δὲ ὅτι ἑκατέρωθεν ἐλαύνεται ὑπὸ ποδὸς πτέρνης. Καλλίμαχος. Πτέρνῃ δ' ἵππος ἐλαυνόμενος· καὶ Θεόφραστος δὲ ἐν τῷ περὶ εὑρημάτων Ὑπέρβιον τὸν Κορινθιόν φησιν

εὑρηκέναι τὴν τοῦ κεραμεικοῦ τροχοῦ μηχανήν· μέτρα δὲ αὐτὸν ὁ Πίνδαρος, παρόσον ἐκ κεραμεικοῦ μετροῦμεν· ἔνιοι δὲ ἵππεια ἔντεα ἅρματα καὶ χαλινοὺς, ἀπὸ μέρους τοὺς πολεμικούς· ὅτι δὲ παρ' αὐτοῖς ὁ χαλινὸς εὕρηται, δείκνυσιν ἐν τοῖς ἑξῆς· ὁ δὲ νοῦς οὕτω· τίς γὰρ, φησὶν, ἕτερος εὗρε τὰ μέτρα τὰ ἐν τοῖς ἱππείοις ἔντεσι καὶ ὅπλοις γενόμενα; ἱππείοις δὲ ἔντεσιν εἶπε τοῖς τροχοῖς τοῖς κεραμεικοῖς, ἐπειδὴ ἐπὶ τροχοῦ πλάττεται· ὁ δὲ τροχὸς κοινωνεῖ τῷ ἅρματι τῶν ἵππων. Ἄλλως· ὁ Δίδυμος ἑτέραν ἀποδίδωσιν οὕτως ἔχουσαν· τὴν ἐν πρόθεσιν ἀντὶ τῆς εἰς κειμένην συναπτέον πρὸς τὰ μέτρα· τίς γὰρ τοῖς εἰς τὰ μέτρα ἱππείοις ἔντεσιν ἐχρήσατο πρώτη ἢ σὺ, ὦ Κόρινθε; ἵππεια δὲ ἔντεα τὰ Φειδώνεια ἀγγεῖα ἀκουστέον· ἔντεα γὰρ ἂν εἴη τὰς χοίνικας καὶ τοὺς μεδίμνους λέγων, καὶ ὅσα ἄλλα, οἷον χόες, ψυκτῆρες, κώθωνες, διὰ τὴν κοιλότητα· καὶ Ὅμηρος (Ὀδυσ. η, 232) Ἀμφίπολοι δ' ἐπεκόσμεον ἔντεα δαιτός· τούτων οὖν εἰς τὰ μέτρα ἐντέων εὑρετάς φησιν εἶναι τοὺς Κορινθίους· διατί δὲ ἵππεια αὐτὰ εἶπεν; ὅτι Φείδων ὁ πρῶτος κόψας Κορινθίοις τὸ μέτρον Ἀργεῖος ἦν, τὸ δὲ Ἄργος ἵππειον λέγουσιν οἱ ποιηταί· Εὐριπίδης. (Ιφιγ. 700.) Οτανεὶς Ἑλλάδ' ἵππειόν τ' Ἄργος μόλῃς.

29. Η θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον.] Οἰωνῶν βασιλέα τὸν ἀετόν φησι, λέγει δὲ τὸ κατὰ τοὺς ναοὺς τῶν θεῶν ἀέτωμα· τίς οὖν, φησὶν, ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ὀρνίθων ἐπέθηκε, τὸ λεγόμενον ἀέτωμα; Δίδυμος δέ φησιν, ὅτι διπλᾶ τὰ ἀετώματα, ὄπισθεν καὶ ἔμπροσθεν, διὰ τὸ ἐξ ἀμφοτέρων τῶν μερῶν κατασκευάζεσθαι αὐτά. Ἄλλως· Οἰωνῶν βασιλέα.] Ὁ ἀετὸς οἰωνῶν βασιλεύς ἐστιν ὁ ἐπὶ τῶν ἱερῶν τιθέμενος· τινὲς δὲ τὸ ἀέτωμα, ὥς φησι Δίδυδος παρατιθέμενος Τίμαιον λέγοντα καὶ τοῦτο ἐν ταῖς οἰκοδομίαις αὐτῶν εὕρημα, ταύτην ἀποδοὺς τὴν ἐξήγησιν τῶν προκειμένων.

31. Ἐν δὲ Μοῖσ' ἀδύπνοος] Ποῦ δὲ ἀλλαχοῦ ἡ μουσικὴ ἀνθεῖ τὰ πολεμικά; τοῦτο δὲ διὰ τὸν Εὔμολπον ὄντα Κορίνθιον καὶ γράψαντα νόστον τῶν Ἑλλήνων. Ἄλλως· τοῦτό φησιν ἀντὶ τοῦ μουσικοί εἰσι, παρόσον καὶ ποιηταὶ διασημότατοι ἐν Κορίνθῳ ἐγένοντο, ὧν ἦν καὶ Αἴσων, οὗ μέμνηται Σιμωνίδης· ἐν δὲ τῷ Περσικῷ πολέμῳ καὶ οὗτοι ἐστρατεύσαντο ἔχοντες ἡγεμόνα τὸν Ἀδείμαντον. — Μοῖσ' ἀδύπνοος.] Τοῦτο λέγει, ἢ ὅτι μουσικώτατοι ἦσαν Κορίνθιοι,

ἢ ὅτι ἐν Κορίνθῳ Κάλλιστοι ποιηταὶ ἐγένοντο, ὧν εἷς ἦν Αἴσων· ἀνθεῖ δὲ ἐν αὐτοῖς ὁ Ἄρης, διότι πολεμικώτατοί εἰσι καὶ ἐν τῷ Περσικῷ πολέμῳ κάλλιστα ἐξέλαμψαν.

32. Ἐν δ' Ἄρης ἀνθεῖ νέων.] Ποῦ δὲ, φησί, καὶ τὰ τοῦ πολέμου ἐμπείρως οὕτω γίνεται; τοῦτο δὲ διὰ τὰ Μηδικὰ φησιν, ὅτι ἠνδραγάθησαν ἐπὶ Ξέρξου ἡττηθέντος καὶ φυγόντος ὑπὸ Ἀθηναίων, ὅτε καὶ πεντήκοντα ναῦς τοῦ Πέρσου κατέδυσαν. Ἄλλως· τὸν Ἄρην φησὶν ἐν Κορίνθῳ λάμπειν τείνων εἰς τὰ περὶ Περσίδα, ἐν οἷς ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας ἠνδραγάθησαν οἱ Κορίνθιοι. Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας αὐτῶν εὔξασθαι τῇ Ἀφροδίτῃ ἐρωτα ἐμπεσεῖν τοῖς ἀνδράσιν αὐτῶν μάχεσθαι ὑπὲρ τῆς Ἑλλάδος τοῖς Μήδοις, εἰσελθούσας εἰς τὸ ἱερὸν τῆς Ἀφροδίτης, ὅπερ ἱδρύσασθαι τὴν Μήδειαν λέγουσιν Ἥρας προσταξάσης· εἶναι δὲ καὶ νῦν ἀναγεγραμμένον ἐλεγεῖον εἰσιόντι εἰς τὸν ναὸν τῆς ἀριστερᾶς χειρός(Ἀθήν ΙΓ' σ. 573. Δ.)

Αἶδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἀγχεμάχων πολιητᾶν
Ἕστασαν εὐχόμεναι Κύπριδι δαιμονίᾳ·
Οὐ γὰρ τοξοφόροισιν ἐβούλετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν δόμεναι.

34. Ὕπατ' εὐρὺ ἀνάσσων.] Ὦ Ζεῦ πατερ ἔξοχε, εὐρὺ, ἀντὶ τοῦ μεγάλως, κραταιῶς ἀνάσσων τῆς Ὀλυμπίας, γενοῦ κατὰ πάντα τὸν χρόνον ἀφθόνητος, ἀντὶ τοῦ οὐκ ἐὼν ἐπιτίθεσθαι φθόνον τοῖς ἔπεσι τούτοις τοῖς ἐπ' αὐτοῖς, τουτέστι τοῖς ὕμνοις· ἐπίφθονον τὸ ἔχον φθόνον, ἤτοι τὸ φθονούμενον· ἄφθονον τὸ χωρὶς φθόνου γινόμενον ἢ διδόμενον, οἷον ἄφθονος χάρις ἡ χωρὶς φθόνου γενομένη, καὶ ἄφθονος πρᾶξις ἡ χωρὶς φθόνου πραττομένη· ἀφ' οὗ ἄφθονος πλοῦτος ὁ παλὺς, καὶ ἄφθονον πλῆθος ὁμοίως ἀντὶ τοῦ πολὺ· ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος· ἐνταῦθα δὲ τὸ ἀφθόνητος ἐπὶ ἐνεργείας κεῖται· καὶ τόνδε τὸν λαὸν τοῦ Ξενοφῶντος νέμων, ἤγουν διοικῶν, ἀβλαβῆ, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐν ἀσφαλείᾳ, ἐν εὐτυχίᾳ, εὔθυνε, ἤγουν εὐόδου, τοῦ δαίμονος αὐτοῦ, ἤγουν τοῦ Θεοῦ τοῦ διοικοῦντος αὐτῷ τὸν βίον, τὸν οὖρον, τουτέστι τὸν οὔριον ἄνεμον, μεταφορικῶς ἀπὸ τῶν νεῶν ἀντὶ τοῦ εὐτυχίαν· οὖρος γὰρ ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς ἤτοι τῆς πρύμνης τῆς νεὼς ἐπιτήδειος ἄνεμος, ὃν οὔριον πεζογράφοι φασὶν, ἀφ' οὗ καὶ τὸ Ἐξ οὐρίας πλεῖν.

35. Ἀφθόνητος ἔπεσιν.] Ἐπὶ τοῖς ἔπεσι τῆς Ὀλυμπίας

καὶ τοῖς ὕμνοις οἷς λέγω περὶ αὐτῶν, μὴ νεμεσήσῃς, ὦ Ζεῦ.

37. Νέμων.] Κυβερνῶν.

38. Ξενοφῶντος εὐθυνε.] Τουτέστι τοῦ Ξενοφῶντος ἴθυνε τὴν εὐτυχίαν, οὖριον καὶ εὐδιεινὸν διδοὺς αὐτῷ τὸ δαιμόνιον· ποίει δὲ αὐτὸν, φησὶν, εὐτυχῆ καὶ εὐδαίμονα.

39. Δέξαι δὲ οἱ στεφάνων ἐγκώμιον. Καὶ πρόσδεξαι, φησὶν, ἡδέως τὸν ἐπὶ τῶν στεφάνων αὐτοῦ τεθμὸν καὶ θεσμὸν, καὶ νόμιμον ἔπαινον· λέγει δὲ τὸν ὕμνον· δέξαι δὲ οἱ, ἀντὶ τοῦ δέξαι παρ' αὐτοῦ· τεθμὸν δὲ τὸν νόμον φησὶ· νόμος γάρ ἐστιν αὗτος, Ὀλυμπιονίκας ὑμνεῖσθαι. — Δέξαι δὲ οἱ στεφάνων.] Ἀπόδεξαι δὲ τὸν νόμον τὸν ἐγκώμιον, ἀντὶ τοῦ τὸν ἐγκωμιαστικὸν τῶν στεφάνων αὐτοῦ, ὃν ἐπάγεται ἀπὸ τῶν χωρίων τῆς Πίσης νικῶν, ἐντὶ τοῦ νικήσας δύο, τὸν δρόμον τοῦ σταδίου, ἤγουν τὸ στάδιον, ἅμα τῷ πεντάθλῳ· ἐλέγετο δὲ στάδιον μὲν ὁ τόπος, ἐν ᾧ ἔτρεχον, ἦν δὲ, φασὶ, πήχεων τριακοσίων διάστημα· πένταθλον δὲ, ὃ εἶχεν ἐν ἑνὶ χρόνῳ τὰ πέντε ταῦτα, πυγμὴν, πάλην, δίαλμα, δίσκον καὶ δρόμον· οὐκ ἐπέτυχεν οὐδαμῶς πρότερόν τις ἀνὴρ θνητὸς τούτων, ἀντὶ τοῦ τούτου τοῦ πράγματος, τουτέστι τοῦ νικῆσαι ἐν μιᾷ ἡμέρᾳ ταύτας τὰς δύο νίκας. — Ἐγκώμιον τεθμόν.] Τὸν ἐγκωμιαστικὸν λόγον, ὃς ἐστιν ὕμνος τῶν νικηφόρων· τὸν ἄγει· ὄντινα ὕμνον ἐκτήσατο καὶ ἄγει, φησὶν, ἑαυτῷ, νικῶν καὶ στάδιον ὁμοῦ καὶ πένταθλον, ἐν τῷ σταδίῳ τῆς νίκης.

43. Τῶν ἀνὴρ θνατός] Ὧν εὐτυχημάτων τῶν τῆς διπλῆς νίκης οὐδέπω πρότερον εὐτύχησεν ἀνήρ. Ἄλλως· οὐδεὶς πώποτε τῶν ἀνθρώπων τὰς δύο ταύτας νίκας ἐν μιᾷ ἡμέρᾳ ἔλαβεν, εἰ μὴ μόνος αὐτός. Ἄλλως· πρῶτον καὶ μόνον φησὶ τὸν Ξενοφῶντα κατὰ τὴν αὐτὴν ἡμέραν στάδιον καὶ πένταθλον νικῆσαι Ὀλυμπίοις· λέγει δὲ καὶ ἄλλας νίκας αὐτοῦ.

45. Δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων.] Νῦν στέφανοι· ἐκ σελίνων γὰρ οἱ στέφανοι· πλόκοι δὲ παρὰ τὸ πλέκεσθαι τοῖς τὰ Ἴσθμια νικῶσιν. Ἄλλως· σημειωτέον ὅτι ἤδη ἀπεδείκνυτο Ἰσθμοῖ ὁ ἀπὸ σελίνων στέφανος ὡς ἐν Νεμέοις· ἀμφότερος γὰρ ἐπιτάφιος· ἱερὸν δὲ τὸ σέλινον τῶν καταχθονίων θεῶν· τὸ δὲ οὐκ ἀντιξοεῖ ἀντὶ τοῦ οὐκ ἐναντιοῦται· ἐνίκησε γὰρ καὶ τὰ Νέμεα· οἱ δὲ ὅτι ἀντίκειται, ἀπὸ μεταφορᾶς τῶν ξύλων τῶν ξεομένων καὶ ἀλλήλοις ἁρμοζομένων

τὰ γὰρ συναρμοζόμενα συγξέεται· ἀλλ' ἀντιξοεῖ καὶ ἀντιβαίνει πρὸς τὴν ξείσιν ἁρμοστὰ ὄντα. — Δύο δ' αὐτὸν ἤρεψαν.] Δύο δὲ στέφανοι ἀπὸ σελίνων πεπλεγμένοι ἐστεφάνωσαν αὐτὸν φανέντα, ἤγουν παῤῥησιασάμενον, ἀγωνισάμενον ἐν Ἰσθμιάδεσσιν, ἀντὶ τοῦ ἐν τῷ ἀγῶνι τῷ Ἰσθμοῖ· σημείωσαι ὅτι οὐ μόνον πίτυς ἐδίδοτο ἐν τῷ Ἰσθμῷ, ἀλλὰ καὶ σελίνου στέφανος, ὥςπερ ἐν τῇ Νεμέᾳ· πλὴν ἐν μὲν τῷ Ἰσθμῷ ἀπὸ ξηρῶν σελίνων, φασίν, ἐπλέκετο ὁ στέφανος, ἐν δὲ τῇ Νεμέᾳ ἀπὸ χλωρῶν· καὶ τὰ Νέμεα οὐκ ἀνταξοεῖ, ἤγουν οὐκ ἀντίκειται τοῦτο τῷ Ξενοφῶντι· νενίκηκε γὰρ ἐν αὐτοῖς.

48. Πατρὸς δὲ Θεσσαλοῦ.] Καὶ τοῦ πατρὸς αὐτοῦ τοῦ Θεσσαλοῦ· κύριον δὲ ὄνομα αὐτοῦ, ὁ τούτου γὰρ πῶς ὁ Ξενοφῶν· ἀνάκειται ἐν τῇ Ὀλυμπίᾳ ἡ δόξα ἡ ἐκ τοῦ ἅρμου, ἀντὶ τοῦ ἐκίνησεν. — Τοῦ πατρὸς δὲ αὐτοῦ τοῦ Ξενοφῶντος τοῦ Θεσσαλοῦ φήμη λαμπρὰ τῆς ἀρετῆς τῶν ποδῶν ἀνάκειται, ἀντὶ τοῦ ἐπικρατεῖ, παραμένει ἐπὶ τοῖς ἅρμασι τοῦ Ἀλφειοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ. Θεσσαλὸς ὁ ἀπὸ Θεσσαλίας· ἐνταῦθα δὲ ὄνομα κύριον ὁ Θεσσαλός· ἐν τῇ Πυθοῖ τε ἔσχεν ὁ Θεσσαλὸς δηλονότι κλέος νίκης σταδίου καὶ διαύλου ἡλίῳ ἀμφὶ ἑνί, ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ, καὶ ἐν τῇ Ἀττικῇ τῇ τραχείᾳ ἐπὶ τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ ἡ τοῖς ὅρμοις διαρκοῦσα, ἤγουν ἡ ἱκανῶς τοῖς ὅρμοις ἀνατεθημένη, τρία ἔργα κάλλιστα, ἀντὶ τοῦ τριῶν ἔργων καλλίστων στεφάνους ἔθηκεν ἐπὶ τῇ κεφαλῇ αὐτοῦ· τὰ δ' Ἑλλώτια δὲ, ἑορτὴ δὲ ἦν αὕτη τῆς Ἀθηνᾶς ἐν τῇ Κορίνθῳ, ἑπτάκις ἔθηκαν δηλονότι στέφανον ἐπὶ ταῖς κόμαις αὐτοῦ.

50. Πυθοῖ τ' ἔχει.] Ὡς καὶ τὰ Πύθια τοῦ Θεσσαλοῦ νενικηκότος· ὁ δὲ λόγος· κατὰ τὴν Πυθίαν δὲ διαύλου καὶ σταδίου τιμὴν ἔλαβε· λέγει δὲ Θεσσαλὸν τὸν τοῦ Ξενοφῶντος πατέρα.

51. Ἁλίῳ ἀμφ' ἑνί.] Ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ — Μηνός τε οἱ τοιοῦτου.] Κατὰ δὲ τὸν αὐτὸν μῆνα τρία ἔργα καὶ ἐν ταῖς Ἀθήναις ταῖς τραχείαις καὶ τρεῖς ἄθλους περιεποίησεν αὐτῷ ἡ ὀξύτης τῶν ποδῶν καὶ ἡ ὀξύδρομος ἡμέρα, ἔργα καὶ ἀγωνίσματα κάλλιστα, ἀφ' ὧν ἐστέφθη τὰς κόμας καὶ τὴν κεφαλήν· τρία δὲ ἔργα εἶπε δίαυλον καὶ ὁπλιτικὸν ὅρμον καὶ στάδιον.

54. Ποδαρκὴς ἡμέρα θῆκε.] Ἤτοι ἡ πρὸς τὸν δρόμον τότε ἀποκληρωθεῖσα καὶ ἐπαρκοῦσα, ἢ ἡ παρασχοῦσα αὐτῷ τὸ τάχος διαρκὲς, ἢ ἡ αὐτὴ οὖσα ὀξύπορος καὶ ὀξύπους.

56. Ἑλλώτια δ' ἑπτάκις.] Τὴν προσηγορίαν ταύτην ἐσχηκέναι φασὶ τὴν Ἀθηνᾶν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους, ἔνθα ἵδρυται. Ἄλλως. Τιμάνδρου θυγατέρες Κορινθία, Ἑλλωτίς, Εὐρυτιώνη, Χρυσῆ, Κωτυτώ· ἁλούσης τῆς πόλεως τὴν νέαν τὴν Χρυσῆν ἡ Ἑλλωτὶς ἁρπάσασα εἰσῆλθεν εἰς τὸν ναὸν τῆς Ἀθηνᾶς, ἔνθα περικατάληπτος γενομένη ἔρριψεν ἑαυτὴν εἰς τὸ πῦρ καθαρσίου οὖν ἄγεται τῇ Θεῷ, ἄτινα οἱ μετὰ Ἀλήτου ἐπιστρατήσαντες Δωριεῖς Ἑλλώτια ἐκάλεσαν. Ἄλλως. Ἑλλώτια δ' ἑπτάκις.] Ἑορτὴ τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ, ἐν ᾗ καὶ ὁ ἀγὼν τελεῖται ὁ καλούμενος λαμπαδοδρομικός, ἐν ᾧ ἔτρεχον νεανίαι λαμπάδας κρατοῦντες., οὗτη δὲ ἡ πανήγυρις εὑρέθη κατὰ μέν τινας, ἐπειδὴ τὸν ἵππον τοῦ Βελλεροφόντου ὑπέταξεν ἡ Θεὸς τὸν Πήγασον καὶ περιέθηκεν αὐτῷ τὰ χαλινά, καὶ οὕτως εἶλεν αὐτόν· ἡ διὰ τοῦτο, ἐπειδὴ Δωριεῖς οὖν τοῖς Ἡρακλείδαις ἐπιθέμενοι Πελοποννησίοις Κόρινθον χειρωσάμενοι ταύτην τῇ φλογὶ συνέφλεγον· τῶν τοίνυν γυναικῶν ἐν τῇ πορθήσει φευγουσῶν τινες ἐξ αὐτῶν ἅμα Εὐρυτιώνῃ καὶ Ἑλλωτίδι εἰς τὸν τῆς Ἀθηνᾶς εἰσελθοῦσαι νεὼν οὕτω διαφεύξασθαι τὸν κίνδυνον προσεδόκησαν· ὡς δὲ ἤσθοντο Δωριεῖς, κατὰ τούτων τὸ πῦρ ἔπεμψαν· αἱ μὲν οὖν ἄλλαι ἔφυγον, ἡ δὲ Εὐρυτιώνη καὶ ἡ Ἑλλωτὶς ἀδελφαὶ τυγχάνουσαι μετὰ παιδίου συγκατεφλέχθησαν· λοιμοῦ δὲ συμπεσόντος οὐ πρότερον τὸ νόσημα παύεσθαι ἔφη ἡ Θεὸς, πρὶν ἐξιλεώσασθαι τῶν παρθένων τὰς ψυχὰς καὶ Ἑλλωτίδος Ἀθηνᾶς ἱερὸν ἱδρύσασθαι καὶ πανήγυριν Ἑλλώτια καλουμένην· καθ' ἣν φησιν ἑπτάκις νενικηκέναι τὸν Ξενοφῶντα· Ἄλλως· ἐν Κορίνθῳ τὰ Ἑλλώτια ἄγεται τῇ Ἑλλωτίᾳ Ἀθηνᾷ· τυχεῖν δὲ αὐτὴν ταύτης τῆς προσηγορίας Κορίνθιοι μὲν λέγουσιν ἐλοῦσαν καὶ χαλινώσασαν παρ' αὐτοῖς τὸν Πήγασον· οἱ δὲ ἀπὸ τοῦ ἕλους τοῦ περὶ τὸν Μαραθῶνα, ἐν ᾧ ἵδρυται, οἱ δὲ ἀπὸ τῆς Ἑλλωτίδος παρθένου. — Ἱστορία. Ἑλλώτια ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. Δωριεῖς μετὰ Ἡρακλειδῶν ἐπιθέμενοι Κορινθίοις καὶ Κόρινθον χειρωσάμενοι ταύτην φλογὶ ἔκαιον· φυγοῦσαι οὖν αἱ Κορίνθιαι παρθένοι εἰς τὸν τῆς Ἀθηνᾶς ναὸν, ὅπως σωθεῖεν, αἰσθομένων Δωριέων καὶ πῦρ ἐμβαλόντων εἰς τὸν ναὸν, αἱ μὲν ἄλλαι τῶν παρθένων ἔφυγον, Ἑλλωτία δὲ μετὰ τῆς ἀδελφῆς Εὐρυτιώνης κατεφλέχθη· λοιμοῦ δὲ ὕστερον γενομένου ἔχρησεν Ἀθηνᾶ μὴ πρότερον παύεσθαι τὸν λοιμὸν, πρὶν τὰς τῶν κατακαει-

νῶν παρθένων ψυχὰς ἐξιλάσωνται καὶ ἱερὸν Ἀθηνᾶς Ἑλλωτίας ἱδρύσωνται· ὃ δὴ καὶ γεγένηται· ἕτεροι δέ φασι διὰ τὸ ἐλεῖν τὸν Πήγασον ἐν χαλινῷ ὑπ' Ἀθηνᾶς δοθέντι τῷ Βελλεροφόντῃ πανήγυριν καὶ ἱερὸν Ἑλλωτίας Ἀθηνᾶς ὑπ' αὐτοῦ γεγενῆσθαι· ἢ τοῦτο τὸ ὄνομα ἐσχηκέναι τὴν πανήγυριν καὶ τὸν ναὸν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους· ἔστι γὰρ ἐκεῖ ἄγαλμα Ἀθηνᾶς Ἑλλωτίας.

57. Ἐν δ' ἀμφιάλοισιν.] Ἐν δὲ τοῖς ἀγῶσι τοῖς κατὰ νόμους τελουμένοις τοῖς ἀμφιάλοις, ἤγουν τοῖς ἐν τῷ τόπῳ τῷ ἀμροτέρωθεν Θάλασσαν ἔχοντι, τουτέστι τοῖς ἐν τῷ Ἰσθμῷ, ὧν ἔφορος ὁ Ποτειδῶν, μακρότεραι, ἀντὶ τοῦ μείζονες τέρψεις καὶ καταπολὺ τίμιοι ὕμνοι ἔψονται, ἀντὶ τοῦ ἕπονται, ἤγουν ἀκολουθοῦσιν αὐτῷ δηλονότι σὺν τῷ πατρὶ αὐτοῦ τῷ Πτοιοδώρῳ· εἶτα ἀποτείνων τὸν λόγον πρὸς αὐτούς φησι· καὶ ἐν τοῖς Δελφοῖς βαθαὶ τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε· καὶ ἐν τοῖς χόρτοις τοῦ λέοντος, ἤγουν καὶ ἐν τῷ περιορίσματι, τῷ τόπῳ ἔνθα ὁ λέων ἐτράφη ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθείς, τουτέστι καὶ ἐν τῇ Νεμέᾳ· ἐν αὐτῇ γὰρ ἐτράφη οὗτος ὁ λέων· βαθαὶ δηλονότι τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε. — Ποτειδᾶνος τεθμοῖσιν.] Ἐν τοῖς Ἰσθμιακοῖς ἀγῶσιν· οὗτοι γὰρ τῷ Ποσειδῶνι νόμιμοι ἀγῶνες.

58. Πτοιοδώρῳ σὺν πατρί.] Τερψίου ἀδελφὸς Πτοιόδωρος, καὶ Τερψίου μὲν παῖδες Ἐρίτιμος καὶ Ναμερτίδας, Πτοιοδώρου δὲ Θεσσαλὸς, οὗ Ξενοφῶν· τινὲς δὲ τοῦ Ναμερτίδα Ἐρίτιμόν φασιν, Ἐριτίμου δὲ Λυτόλυκον. — Μακρότεραι τέρψιες.] Μακρότεραι τέρψιες καὶ πλείους ἀκολουθοῦσι γίναι ἐπιτερπεῖς καὶ ὕμνοι μέγιστοι· καὶ ἦδε μὲν ἡ ἐξήγησις οὕτως, εἰ τὰ τῆς γραφῆς, ὡς ἔν τισιν, ἔχει τὸν τρόπον τοῦτον· μακρότεραι τέρψιες ἕψονται ἐριτιμοί τ' ἀοιδαί· εἰ δὲ ὀνόματα λαβάνομεν τὸ Τερψίας καὶ τὸ Ἐρίτιμος, ἔσται τὰ τῆς διανοίας ὡς εἴπομεν.

59. Ἕψονται·] Ἤγουν ἠκολούθησαν αὐτῷ, τῷ Θεσσαλῷ· ἔστι δὲ τὸ ἕψονται ἀντιχρονισμὸς, ἢ τὸ μέλλον μαντευόμενος λέγει· τούτου δὲ ὄντος ζῶντα νοήσεις τὸν Πτοιόδωρον.

60. Ὅσσα τ' ἐν Δελφοῖσι.] Θαυμαστικὸν τὸ ὅσσα· ἀντὶ τοῦ πολλάκις ἐν Δελφοῖς ἐνίκησαν, ἀντὶ τοῦ τὰ Πύθια.

62. Ἠδὲ χόρτοις ἐν λέοντος.] Ἀντὶ τοῦ πόσα δὲ καὶ ἐν τῇ Νεμέᾳ, ἥτις ἐστὶ περιορισμὸς τοῦ λέοντος, ἐν ᾧ ἐτράφη ὁ λέων ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθείς. Ἄλλως· χόρταις,

ἀντὶ τοῦ περιορίσματι· τὸ γὰρ παλαιὸν χόρτους φυτεύοντες ἀντὶ φραγμῶν περιώριζον τοὺς τόπους· Ὅμηρος· (Ἰλιάδ. ω, 640.)

Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.

63. Δηρίσμαι πολέσιν.] Ἀντὶ τοῦ διαριλονεικήσω πλείστοις περὶ τῶν ὑμετέρων καλῶν, καὶ τοῖς ἄλλοις ἀξιοπρεπέσι τὰ κατορθώματα ὑμῶν ἀντιπαραθεὶς φιλονεικήσω οὐκ ἐλάττονα ὄντα ταῦτα ἀποδυκνύς· ἢ οὕτω· διαμαχεθήσομαι εἷς ὢν περὶ πλειόνων κατορθωμάτων· ἢ οὕτω· πλεῖστα μὲν οὖν περὶ ὑμῶν πρὸς πάντας καταλέγειν ἔχων σαφῶς μέντοι καὶ ἀκριβῶς οὐκ ἂν δυνηθείην πάντα εἰπεῖν, ὥσπερ οὐδὲ θαλασσίας ψηφῖδος τὸν ἀριθμόν· ἢ οὕτω· περὶ πλήθει καλῶν, τῶν ἀνδραγαθημάτων, οὕτω τὰ καλὰ πλεονάζειν ἐν ὑμῖν, ὥστε μήτε ἀριθμῆσαι σαφῶς, καθάπερ οὐδὲ τὰς παραθαλασσίους ψήφους. — Δηρίσμαι, ἤγουν μάχομαι, φορτικὸς γίνομαι πολλοῖς ἀνθρώποις δηλονότι περὶ τοῦ πλήθους τῶν ἀνδραγαθημάτων τῶν ὑμετέρων· καταπολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου, ἀντὶ τοῦ καταπολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην τὸν ἀριθμὸν αὐτῶν λέγειν, ἤγουν τῶν ὑμετέρων ἀδραγαθημάτων, ὥσπερ οὐδὲ τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων· ἔπεται δὲ, ἀντὶ τοῦ προσήκει ἐπάγεσθαι ἑκάστῳ πράγματι μέτρον, ἤγουν συμμετρίαν· τὸ νοῆσαι δὲ αὐτό, ἤγουν τὸ μέτον, καιρός ἐστιν ἄριστος, τουτέστιν εὐκαιρία, εὐστοχία ἐστὶν ἀρίστη. Τὸ δηρίσμαι πολέσι τοῦτο λέγει, ἀντὶ τοῦ ἐρίσω πρὸς τοὺς πολλοὺς περὶ τοῦ πλήθους τῶν ὑμετέρων ἀνδραγαθημάτων, καὶ οὐδένα τῶν πάντων τοσαῦτα κατωρθωκότα εὑρήτω· ἐπεὶ δὲ πλήθει ἀορίστως εἶπε, διὰ τοῦτό φησιν, Ὡς μὴν σαφὶς, τοτέστι πόσα ἐστὶ ταῦτα τῇ ἀληθείᾳ, οὐ δύναμαι λέγειν τὸν ἀριθμὸν τῆς ἄμμου· ὥστε ὥσπερ τοῦτο ἀδύνατον, οὕτω καὶ τὸ ταῦτα ἀπαριθμήσασθαι· διὸ τὸ ἄμετρον πλῆθος παραιτούμενος ὡς ἀδύνατον, τὴν συμμετρίαν αἱρεῖται καὶ φησιν· ἕπεται δὲ ἐν ἑκάστῳ μέτρον, τουτέστι πᾶν πρᾶγμα συμμετρίαν ἔχει, ὃ δὴ ποιήσει σύμμετρα ἐκλεξάμενος.

67. Ἕπεται δ' ἐν ἑκάστῳ μέτρον.] Τὸ μέτρον καιροῦ δεῖ· καὶγὼ οὖν, φησί, παύσομαι ὑπὲρ μέτρου ἐπαινῶν ὑμᾶς· ἐπεὶ μετρίως ἐντὸς τῆς ὠδῆς ἐγίνετο, θέλει ἀναλαβεῖν. Ἄλλως· οὐδὲν οὖν πλεῖον δύναμαι λέγειν, ἵνα μὴ τῷ ἀμέτρῳ λυπήσω τινάς· ἑκάστῳ γὰρ πράγματι μέτρον ἀκολουθεῖ καὶ

συμμετρία· τοῦτο δὲ αὐτὸ νοῆσαι τὸ τῆς συμμετρίας, εὐκαιρόν τέ ἐστι καὶ ἄριστον.

69. Ἐγὼ δ' ἴδιος ἐν κοινῷ σταλείς.] Ὁ νοῦς· ἐγὼ δὴ εὖν οὐχ ὡς ἀλλότριός τις ἀλλ' ὡς ἴδιος καὶ κοινὸς ἐν ὑμῖν, παρ' οἷς καὶ τὴν σύνεσιν τῶν προγόνων ὑμῶν λέγων, καὶ τὰ ἀνδραγαθήματα τῶν παρ' ὑμῖν ἡρώων τὰ κατὰ πόλεμον καὶ αὐτὰ λέγων, οὐδὲν ἀλλότριον διαψεύσομαι τῆς Κορίνθου. Ἄλλως· οὐκ ἀλλότριός τις ὑμῶν, ἀλλ' οἰκεῖος, οὐκ ἴδιος δὲ κατὰ γένος. Ἄλλως· ὡς ἴδιος, τουτέστιν ὡς εἷς ἐξ ὑμῶν ἀποσταλεὶς καὶ προκριθεὶς τὴν βούλησιν τῶν ὑμετέρων προγόνων καὶ τὸν ἡρωϊκὸν πόλεμον οὐ καταψεύσομαι περὶ τῆς Κορίνθου γαρύων, τουτέστι φωνῶν καὶ λέγων, μῆτιν δὲ παλαιγόνων ἔρχ τὴν Σισύφου· ἱστορεῖται γὰρ γεγονέναι συνετός. Ὅμηρος· (Ἰλιάδ. ζ, 153.)

Ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν. Ἄλλως· ἐν κοινῷ, ἐν ὑμῖν· ἢ οὕτως· ἐν κοινῷ ὄντος τοῦ ἐγκωμιάζειν οὐκ ἐχρησάμην τῇ κοινότητι. — Ἐγὼ δὲ ἴδιος.] Ἐγὼ δὲ ὡς ἴδιος καὶ οὐκ ἀλλότριος ὢν ἐν τῇ κοινότητι ὑμῶν παραγενόμενος τὴν φρόνησίν τε ὑμνήσων τῶν πάλαι γεγενημένων ὑμετέρων ἀνδρῶν καὶ τὸν πόλεμον τὸν ἐν ταῖς ἀρεταῖς, ταῖς ἀνδραγαθίαις ταῖς ἥρωσι προσηκούσαις, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου, τὸν Σίσυφον μὲν ὑμνῶν δηλονότι πυκνότατον παλάμαις, ἀντὶ τοῦ βουλαῖς, πράξεσι, τουτέστι συνετώτατον ὡς Θεὸν, καὶ τὴν Μήδειαν ὑμνῶν ὡς συνετωτάτην τὴν ποιήσασαν ἑαυτῇ τὸν γάμον κατ' ἐναντιότητα τῆς γνώμης τοῦ πατρὸς αὐτῆς, τὴν γενομένην σώτειραν τῆς νηὸς τῆς Ἀργοῦς καὶ τῶν προπόλων, ἀντὶ τοῦ τῶν ἐπιμελουμένων αὐτῆς· κυρίως δὲ πρόπολος ὁ νεωκόρος.

70. Μῆτίν τε.] Αὐτή ἐστιν ἡ μῆτις ἡ προκειμένη τῶν προγόνων, ἧς ὑπόδειγμα Σισυφος· τὸν μὲν Σίσυφον οὕτω, φησὶ, λέγω συνετώτατον ἐν ταῖς ἐπινοίαις γεγενῆσθαι ὡς ἂν Θεόν.

73. Πυκνότατον παλάμαις.] Συνετώτατον βουλαῖς ἢ γνώμαις. — Πυκνότατον.] Φρονιμώτατον.

74. Καὶ τὰν πατρὸς ἀντία Μήδειαν.] Καὶ τὴν Μήδειαν ὑμνῶ τὴν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς γαμηθεῖσαν· ἐγαμήθη δὲ τῷ Ἰάσονι σοφὴ οὖσα τὴν γενομένην σώτειραν καὶ βοηθὸν τῇ Ἀργοῖ· ἐβούλετο γὰρ ὁ Αἰήτης ἀνελεῖν τοὺς Ἀργοναύτας. Ἄλλως. Πατρὸς ἀντία.] Ἐπεὶ ἠναντιώθη κατὰ τὸν γάμον τῷ πατρὶ ἡ Μήδεια· ὃν γὰρ ἐκεῖνος οὐκ ἐβού-

λιτο Ἰάσονα, τούτῳ ἐγαμήθη καὶ συναπῆρεν αὐτῷ· ζητεῖται δὲ, τί ὅπποτε τὴν Μήδειαν Κολχίδα οὖσαν εἰς τοὺς περὶ Κορινθίων λόγους προσάγεται; φασὶ δὲ τὴν Κόρινθον πρῶτον κτῆμα εἶναι Μηδείας· Αἰήτη γὰρ τῷ Ἡλίου καὶ Ἀντιόπης χρησμὸν δοθῆναι πόλιν οἰκίζειν ἐν Κόλχοις ἀπ' αὐτοῦ τὴν ἐπωνυμίαν ἔχουσαν, τὴν δὲ τῶν Κορινθίων τυραννίδα παρακαταθέσθαι Βούνῳ τῷ Ἑρμοῦ ἐντειλαμένου, εἰ μὲν ἐπαναχθείη, ἀποδοῦναι αὐτῷ, εἰ δὲ μή, αὐτὸν ἔχειν· τὴν δὲ Μήδειαν ἐραθῆναι Σισύφου φησὶ Θεόπομπος. Ἄλλως· διὰ τί Μηδείας ἐμνημόνευσεν; ὅτι ἡ Κόρινθος πατρῴων αὐτῆς κτῆμα γέγονε, τούτῳ τῷ λόγῳ· Ἀλωεὺς γὰρ καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης· τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαχεν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, ὁ δὲ Αἰήτης τὴν Κόρινθον. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάττειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ· αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος ὤκησε βασιλεύων· διὸ ἀσκεῖ δὲ τοῦτο Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών·

Ἀ'λλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
Λάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἄγλαὸς υἱός·
Ἣν μὲν ἔχ' Ἀσωπὸς, ταύτην πόρε δῖω Ἀλωεῖ·
Ἣν δ' Ἐφύρη κτεάτισσ', Αἰήτῃ δῶκεν ἅπασαν.
Αἰήτης δ' ἄρ' ἑὸν Βούνῳ παρέδωκε φυλάσσειν,
Εἰρόκεν αὐτὸς ἔλοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος,
Ἢ παῖς ἢ υἱωνός· ὁ δ' ᾤχετο Κολχίδα γαῖαν.

Βούνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς. Ἄλλως· Μηδείας μέμνηται, ὅτι ἐν Κορινθῷ κατῴκει καὶ ἔπαυσε Κορινθίους λιμῷ κατεχομένους Δύσασα Δήμητρι καὶ νύμφαις Ἀημνίαις· ἐπεὶ δὲ αὐτὴς ὁ Ζεὺς ἠράσθη, οὐκ ἐπείθετο δὲ ἡ Μήδεια τὸν τῆς Ἥρας ἐκλείουσα χόλον· διὸ καὶ ἡ Ἥρα ὑπέσχετο αὐτῇ ἀθανάτους ποῆσαι τοὺς παῖδας· ἀποθανόντας δὲ τούτους τιμῶσι Κορίνθιοι, καλοῦντες μιξοβαρβάρους· — Διατί ἐμνημόνευσε τῆς Μηδείας Κολχίδος οὔσης; καὶ φαμεν, ὅτι ἡ Κόρινθος πρῶτον αὐτῆς ἦν κτῆμα, οὕτως· Ἀλωεὺς καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης· τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαχεν Ἀλωεὺς μὲν τὴν Ἀρκαδίαν, τὴν δὲ Κόρινθον Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ μέν τινι

ΗΒ ΟΗΥ ΙΜΕΙ.Γ.ΒΟΟΚΣ

Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος καὶ κατασχὼν ἐκεῖ χώραν τινὰ ἐβασίλευεν. Ἰασων οὖν ἐλθὼν εἰς αὐτὸν διὰ τὸ χρυσόμαλλον θέρας ἠράσθη παρὰ Μηδείας, ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον θέρας συναπῆρεν αὐτῷ πρὸς τὴν Ἑλλάδα ἄκοντος Λήτου· εἰρήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει.

75. Μήδειαν.] Ἱστέον δὲ ὅτι τὸ χρυσόμαλλον θέρας ἦν τοῦ κριοῦ, ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπέρασεν· ἐπεὶ δὲ τοῦτο, ὥς φασι, Φυξίῳ Διὶ ἔθυσαν καὶ ἐπιτρέμασαν ἐν Ἄρεος ἄλσει, καὶ ἐρύλασσε τοῦτο δράκων ὅσον πεντηκόντορος ναῦς μῆκει τε πάχει τε, ὥς φησι Πίνδαρος. (Πυθ. δ', 245.)

77. Προπόλοις.] Τοῖς ἐυπρηύσυσιν· λέγει δὲ τοὺς Ἀργοναύτας. — Προπόλοις.] Ναύταις. — Ἱστέον ὅτι τέκτων ὁ κατασκευάσας τὴν τοῦ Ἰάσονος ναῦν ὠνομάζετο Ἄργος, ὅθεν καὶ ἡ ναῦς ἐκαλεῖτο Ἀργώ, καὶ κλίνεται τῆς Ἄργους καὶ Ἀργοῦς, τῇ Ἀργοῖ καὶ Ἀργοῖ· ἀπὸ τούτου καὶ Ἀργοναυτικὰ Ἀπολλωνίου.

78. Τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ.] Καὶ τά ποτε δὲ, λείπει γένη, διὰ ἰδίας ἀνδρείας δόξαντα διατεμεῖν καὶ πέρας ἐπιτιθέναι τῇ μάχῃ ἐξ ἀμφοτέρων τῶν μερῶν, τουτέστιν Ἑλλήνων τε καὶ Τρώων· ἀπὸ κοινοῦ τὸ γαρύων τε καὶ ὑμνῶν. Ἄλλως· λείπει τὰ γένη· οἱ Κορίνθιοι, φησίν, ἐπ' ἀμφότερα τὰ μέρη ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι, Τρωσὶ μὲν Γλαῦκος τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ Πολυείδου τοῦ μάντεως· τοῦτο δὲ καὶ Σιμωνίδης εἶπε· Κορινθίοισιν οὐ μανίει τὸ Ἴλιον, οὐδὲ Δαναοί· ἀμφότεροι γὰρ σύμμαχοι ἐγένοντο. — Τὸ ποτὲ πρὸς τὸ ἐδόκησαν συναπτέον, τὸ δὲ τὰ δὲ πρὸς τὸ ἀλκᾷ, οὕτω· τὰ δὲ ἐν ἀλκῇ ἐδόκησάν ποτε οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι· Τρωσὶ μὲν Γλαῦκος τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ ὁ Πολυείδου τοῦ μάντεως· ὅτι δὲ Εὐχήνωρ Κορινθίος ἦν, καὶ Ὅμηρος (Ἰλιάδ. ν, 663.) μαρτυρεῖ λέγων·

Ἦν δέ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱὸς,
Ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων.

Τὰ δὲ καί ποτε.] Τὰ δὲ ἀντὶ τοῦ κατὰ τὸ δὲ, τουτέστι καὶ κατὰ τὸ ἕτερον μέρος, ἤγουν καὶ κατὰ τὸν πόλεμον

δὲ πρὸ τῶν τειχῶν τοῦ Ἰλίου ποτὲ, ἦτοι πάλαι ἔδοξαν οἱ Κορίνθιοι ἐπ' ἀμφότερα τὰ μέρη τῶν πολεμίων ἐν ἰσχύϊ τέμνειν τέλος, ἀντὶ τοῦ ἔχειν τὸ ἔξοχον· οἱ μὲν, οἱ περὶ τὸν Εὐχήνορα ὀηλονότι τὸν τῷ γένει τοῦ Ἀτρέως τῷ προσφιλεῖ αὐτῷ, ὀηλονότι τῷ Ἀτρεῖ, τουτέστι σὺν τοῖς παισὶ τοῦ Ἀτρέως τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ, τὴν Ἑλένην κομίζοντες, ἀντὶ τοῦ ζητοῦντες κομίσασθαι· οἱ δὲ, ἦγουν οἱ περὶ τὸν Γλαῦκον, ἀπείργοντες, τουτέστι κωλύοντες πάμπαν· ἐκ γὰρ τῆς Λυκίας γὰρ τὸν Γλαῦκον ἐλθόντα σύμμαχον τοῖς Τρωσὶν ἔτρεμον οἱ Ἕλληνες· τούτοις μὲν, ἦγουν τοῖς Λυκίοις, ὑπῆρχετο, τουτέστι ὑπηγεῖτο φιλοτιμούμενος ἐν τῇ πόλει τῆς Πειρήνης τῆς πηγῆς, ἤτοι ἐν τῇ Κορίνθῳ εἶναι τὴν βασιλείαν τοῦ σφετέρου πατρὸς, ἀντὶ τοῦ τοῦ ἑοῦ, ἦγουν τοῦ ἑαυτοῦ πάππου, τουτέστι τοῦ Βελλεροφόντου, καὶ μεγάλην κληρονομίαν καὶ μέγαρον, ἤτοι οἶκον, καθέδραν. Ἄστυ Πειρήνης λέγει τὴν Κόρινθον ἀπό τινος γυναικὸς οὕτω καλουμένης· ἡ τοῦ Προίτου γυνὴ ἐρασθεῖσα Βελλεροφόντου ὡς οὐκ ἔσχεν αὐτὸν πειθόμενον, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον καὶ ὃς πρὸς τὸν τῆς Λυκίας βασιλέα κηδιστὴν ὄντα αὐτοῦ Ἰόβατον ἀποστέλλει ὑπ' αὐτοῦ τεθνηξόμενον. Ἰόβατος οὖν ἐκπέμπει αὐτὸν κατὰ τῆς Χιμαίρας, ὑπ' αὐτῆς νομίζων αὐτὸν διαφθαρήσεσθαι. Βελλεροφόντης δὲ θέλων μετὰ τοῦ Πηγάσου ἵππου τὸν πρὸς τὴν Χίμαιραν ἐργάσασθαι πόλεμον, ἐπεὶ πολλὰ παθὼν οὐκ οἶδ' ἢ αὐτὸν ὑποτάξαι, καθ' ὕπνους εἶδε τὴν Ἀθηνᾶν ἐγχειρίζουσαν αὐτῷ χαλινὸν, καὶ ἀναστὰς ὑπαρ εὗρε τὸ ὄναρ· ὅθεν χαλινώσας τὸν Πήγασον καὶ καταπολεμήσας Χίμαιραν ἔλαβεν ἄθλον τὴν θυγατέρα τοῦ Ἰοβάτου, ἀφ' ἧς ἔσχεν Ἱππόλοχον τὸν τοῦ Γλαύκου πατέρα.

81. Τοὶ μὲν γένει φίλῳ.] Οἱ μὲν γὰρ περὶ τὸν Εὐχήνορα Κορίνθιος δὲ ὁ ἀνὴρ, ἅμα τοῖς Ἀτρεΐδαις ἐβούλοντο τὴν Ἑλένην ἀνακομίσασθαι ἁρπασθεῖσαν ὑπὸ Ἀλεξάνδρου τοῦ Ἰλιώτου· ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρός φησιν. (Ἰλιάδ. ν, 663.)

Ἦν δὲ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱὸς,
Ἀγρυιεὺς τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων.

82. Οἱ δ' ἄπο πάμπαν ἔεργον.] Οἱ δὲ ἀπεκώλυον καὶ ἀνθίστασαν παντελῶς οἱ περὶ τὸν Γλαῦκον· λέγεται δὲ καὶ οὗτος Κορίνθιος· πῶς δὲ Κορίνθιος; ὅτι τὸ γένος ἐξ ἀρχῆς Αἰολικὸν ἔσχε καὶ ἐκ τῆς Κορίνθου ὁ Γλαῦκος· πῶς δὲ;

ὁ γὰρ Γλαῦκος γίνεται τοῦ Ἱππολόχου τοῦ Βελλεροφόντου τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός· βούλεται οὖν δεῖξαι, ὅτι οἱ παρ' Ἕλλησιν ἄριστοι καὶ οἱ παρὰ Τρωσὶν ἔξοχοι κατὰ τὸ ἀληθὲς Κορίνθιοι ἐτύγχανον· πῶς δὲ ὁ Γλαῦκος γέγονε Λύκιος; ὅτι ὁ Βελλεροφόντης πεμφθεὶς εἰς Λυκίαν Κορίνθιος ὢν ἀπὸ τοῦ Προίτου, ὡς ὀρείλων ἐπιβουλευθῆναι διὰ τὴν ἐπεψευσμένην μοιχείαν παρὰ τῆς γυναικὸς ἠρίστευτέ τε τὰ μέγιστα καὶ τὸν προσοκώμενον αὐτῷ ἔσεσθαι φονέα τὸν βασιλέα τῶν Λυκίων τὸν πενθερὸν τοῦ Προίτου, καὶ αὐτὸς πενθερὸν ἔσχε γαμήσας τὴν αὐτοῦ θυγατέρα Ἀντίκλειαν· ἐξ οὗ Λυκίαν οἰκοῦντος, ὡς βασιλέως υἱὸς γέγονεν Ἱππόλοχος, οὗ Γλαῦκος, οὗτος ἄρα Κορίνθιος γέγονε Γλαῦκος τὸ γένος· ὄνομα δὲ τῷ Λυκίων βασιλεῖ Ἰόβατος· καὶ Ὅμηρος (Ἰλιάδ. ζ, 191.) τούτοις μαρτυρεῖ·

Ἀλλ' ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἦν ἐόντα.

οὐ μόνον ἡ τοῦ Εὐχήνορος ἀνδρεία τοῦ συστρατεύσαντος τοῖς Ἀτρείδαις διὰ τὴν Ἑλένην, ἀλλὰ καὶ ἡ τοῦ Γλαύκου, ὃς ἀντεστράτευε καὶ ἀνθίστατο αὐτοῖς.

83. Ἐκ Λυκίας δέ.] Ὁ δὲ σύνδεσμος ἀντὶ τοῦ γὰρ κεῖται, καὶ ἔστιν· ἐτρόμευον γὰρ οἱ Ἕλληνες τὸν Λύκιον Γλαῦκον.

85. Τοῖσι μὲν ἐξεύχετο.] Παρὰ τοῖς Τρωσὶ, φησὶν, ηὔχει καὶ ὑηγεῖτο, ὅτι ἐν τῇ τῆς Πειρήνης ἄστει τῇ Κορίνθῳ τοῦ πατρὸς αὐτοῦ ἔχει τὴν ἀρχὴν καὶ τὸ γένος καὶ τὴν βασιλείαν καὶ τὴν περιουσίαν· καὶ ἦτοι τοῖς Λυκίοις ηὔχει καὶ ὑηγεῖτο ἢ τοῖς Τρωσίν· ἀπὸ Λυκίων δὲ τοὺς Τρῶας δεῖ νοεῖν.

86. Πειρανας.] Πειρήνη κρήνη ἐν Κορίνθῳ. — Ἑρμέτερον πατρός.] Ἀντὶ τοῦ προγόνου· οὐ γὰρ ὁ πατὴρ αὐτοῦ Ἱππόλοχος ἡγεμονίαν εἶχεν εἰς Κόρινθον, ἀλλ' ὁ πρόγονος αὐτοῦ Σίσυφος.

89. Ὃς τᾶς ὀρτώθεος.] Ὅστις τῆς Γοργόνος τῆς ὀρτώδους, λεγομένης εἶναι τὸν υἱὸν Πήγασον, ἵππον ὄντα πτερωτὸν, θέλων ὑποζεύξαι τῷ χαλινῷ, ἀληθῶς πλεῖστα ἔπαθε καὶ ὑπέστη παρὰ τοῖς Κρουνοῖς καὶ ῥεύμασι τῆς Πειρήνης, λέγει δὲ ἐν Κορίνθῳ, πρὸ τοῦ κομῆσαι αὐτῷ τὴν Ἀθηνᾶν χρυσόδετον χαλινὸν παραστᾶσαν καθεύδοντι· ὃ οὖν εἶδεν ὕναρ, τοῦτο διανοστὰς ἐκ τοῦ ὕπνου δι' ἔργων εὗρεν. Ἄλλως· ὅστις πρόγονος αὐτοῦ καὶ πρὸς πατρὸς ὢν πάππος· λέγει δὲ τὸν Βελλεροφόντην· ὅτι δὲ τῆς Γοργόνος ἀποτμηθείσης τὴν κεφαλὴν

ὑπὸ τοῦ Περσέως ἀνεδύθη ὁ Πήγασος ἵππος, καὶ Ἡσίοδος (Θεογ. 280) μαρτυρεῖ.

Τῆς ὅτε δὴ κεφαλὴν Περσεὺς ἀπεδειροτόμησεν
Ἐξέθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.

— Ὃς τᾶς ὀριώδεος.] Ὅς, ἤγουν ὁ Βελλεροφόντης, πάλαι τὸν Πήγασον ἵππον τὸν υἱὸν τῆς Γοργόνος τῆς ὀφιώδους, τουτέστιν τῆς ὁμοίαν τινὰ ὄφεως ἐχούσης, ποθῶν ζεῦξαι, ἀντὶ τοῦ ὑπαγαγεῖν, τῷ χαλινῷ ὑποτάξαι, οὕτω πολλὰ ἔπαθεν ἐπὶ τοῖς ῥεύμασι τῆς Πειρήνης, ὀλισθάνοντι τῆς ἐν Κορίνθῳ πηγῆς, ἕως ἐνεγκοῦσα ἔδωκεν αὐτῷ ἡ παρθένος ἡ Ἀθηνᾶ χαλινὸν χρυσάμπυκα, ἀντὶ τοῦ χουσᾶ φάλαρα ἔχοντα, ἐν ὕπνῳ ὀλισθάνοντι, ἐπάγεται γάρ· ἐξ ὀνείρου δὲ αὐτίκα ἦν ὕπαρ, τουτέστιν ἦν δὲ ἡ δόσις αὐτίκα ἐκ τοῦ ὀνείρου ἐν τῷ φανερῷ ἐφώνησε δὲ ἡ Ἀθηνᾶ τῷ Βελλεροφόντῃ ἐν τῷ ὕπνῳ ὀλισθάνοντι· καθεύδεις, ἤγουν ὑπνώττεις, ὦ Αἰολίδη βασιλεῦ· τουτέστιν ἀπόγονε τοῦ Αἰόλου· ἄγε δέχου τόδε τὸ φίλτρον τὸ τῶν ἵππων, ἤγουν τὸ φάρμακον τὸ παῦτικὸν τῶν ἵππων, καὶ τῷ πατρί σῷ τῷ Ποσειδῶνι τῷ δαμαστικῷ τῶν ἵππων, ἤγουν τῷ ἱππικῷ, δεῖξον αὐτό, θύων αὐτῷ ταῦρον περιφανῆ, εὐτραφῆ.

91. Ζεῦξαι ποθέων ἔπαθεν.] Ὃς πολλὰ ἔπαθε χαλινῶσαι καὶ ζεῦξαι τὸν Πήγασον βουλόμενος παρὰ τοῖς κρουνοῖς τῆς Πειρήνης, ὅ ἐστι τῇ Πειρήνῃ· υἱὸς δὲ τῆς Μεδούσης ὁ Πήγασος.

93. Ἥνεγκ'.] Ἤνεγκεν αὐτῷ τῷ κοιμομένῳ.

94. Ἐξ ὀνείρου δ' αὐτίκα.] Τοῦτο εἶπεν ὡς καθεύδοντι αὐτῷ τῆς Ἀθηνᾶς ἐνηνοχυίας τὸν χαλινόν, ᾧ ἔμελλε χαλινῶσαι τὸν Πήγασον· εἶπε δέ, φησί, παραστᾶσα κατ' ὄναρ αὐτῷ ἡ Θεός· Κοιμᾷ σὺ, ὦ βασιλεῦ, ὃς κατάγεις τὸ γένος ἀπὸ Αἰόλου; μὴ πρότερον δὲ καταζεῦξαι, πρὶν μαντεύσασθαι αὐτῷ Πολυΐδου τὸ δύνασθαι τόνδε τὸν χαλινὸν αὐτῷ Ποσειδῶνι παρασχεῖν.

97. Ἄγε φίλτρον τόδε.] Ἵππειον φίλτρον τὸν χαλινόν φησιν, ὅτι τούτῳ οἱ ἵπποι πείθονται· πιρότερον δὲ τῇ μεταφορᾷ· ὁ δὲ νοῦς· ἄγε δὴ οὖν δέχου τοῦτον τὸν χαλινὸν, ὅς ἐστι πεῖσμα καὶ φίλτρου αἴτιος τοῖς ἵπποις, καὶ τῷ δαμάζοντι Ποσειδῶνι τῷ πατρί σου θύων ταῦρον εὐθαλῆ καὶ μέγαν οὕτως ἐπίδειξον αὐτόν. — Φίλτρον ἵππειον λέγει τὸν χαλινὸν τὸν διὰ μικρὸν ἔθος ὡς καὶ προσφιλῆ τοῖς ἵπποις ὄντα,

ἢ τὸν ποθούμενον ὑπὸ σοῦ καὶ φιλούμενον· ζητεῖς γὰρ εὑρεῖν ἱππικὸν δεσμὸν τὸν κατὰ τοῦ Ὑκγάσου.

98. Καὶ Δαμαίῳ.] Τῷ δαμαστικῷ· ἵππειος γὰρ ὁ Θεός· ἢ Δαμάτιος λέγεται Ποσειδῶν ἐν Κορίνθῳ ἀπὸ τῆς τῶν ἵππων δαμάσεως· ἀργᾶντα δὲ νῦν, τὸν ἐκδηλον τῷ μεγέθει πατρὶ δέ, τῷ Ποσειδῶνι· τῷ μὲν γὰο λόγῳ ὁ Βελλεροφόντης Γλαύκου ἐστὶ τοῦ Σισύφου, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος, ὥσπερ Ἡσαλλὴς Ἀμφιτρύωνος. Ἄλλως ἐπιλαμβάνονται τινες τοῦ ἐπιθέτου, ἐπειδὴ ταῦρον εἶπε Θύειν Ποσειδῶνι ἀργήεντα, ὅπερ δηλοῖ λευκὸν, τοῦ Ὁμήρου (Ὀδυσ. γ, 6.) εἰπόντος, ὅτε χρὴ Θύειν Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ· ἀλλὰ βοηθεῖται τὸ ἀργᾶντα· οὐ γὰρ λευκὸν τῇ χρείᾳ βούλεται λέγειν, ἀλλὰ τὸν ἐλλάμποντα τῷ μεγέθει καὶ ἐπιφανῆ ἐν τῇ ἀγέλῃ.

99. Πατρὶ δείξον.] Ὅτι τῇ ἀληθείᾳ Βελλεροφόντης Ποσειδῶνος ἦν υἱὸς, δολῶν εἶναι Γλαύκου. — Λεγόν.] Λιπαρόν.

100. Κυναιγίς ἐν ὄρφνᾳ.] Ἀντὶ τοῦ μέλαιναν καὶ φοβερὰν αἰγίδα ἔχουσα· αἰγὶς δὲ τὸ ὅπλον· νοήσαντι δὲ, καθεύδοντι· ὁ δὲ νοῦς, τοσαῦτα ἔδοξεν ἐν τῷ ὀνείρατι διαλέγεσθαι αὐτῷ τὴν Ἀθηνᾶν· δύναιτο δ' ἂν τις ταῦτα ἡγεῖσθαι τῶν παρ' αὐτῆς αὐτῶν ῥηθέντων κατ' ὄναρ· οὐκ ἔστι δὲ, ἀλλ' ἐκείνη βελτίων ἡ ἔκδοχὴ λαμβανομένη ἀπὸ τοῦ ποιητικοῦ προσώπου. — Κυναιγὶς ἐν ὄρφνᾳ.] Τοσαῦτα ἔδοξεν εἰπεῖν αὐτῷ ἐν νυκτὶ ὑπνώττοντι ἡ παρθένος, τουτέστιν ἡ Ἀθηνᾶ, ἡ κυαναιγὶς, ἤγουν ἡ μέλαιναν ἔχουσα αἰγίδα· ἀνεπήδησε δὲ ὁ Βελλεροφόντης γενόμενος διηνοότι ἐν ὁρθῷ ποδὶ· παρ' ἑαυτῷ δὲ κείμενον εὑρὼν τέρας, ἤτοι θαῦμα, τουτέστι τὸν χαλινὸν οὕτω θαυμασίως φανέντα, τὸν ἐπιχώριον μάντιν τον Πολύειδον τον υἱὸν τοῦ Κοιράνου ζητήσας εὗρεν ἀσμένως, ἤγουν μετὰ περιχαρείας, καὶ ἔδειξεν, ἀντὶ τοῦ ἐδήλωσεν αὐτῷ πᾶσαν τὴν τελευτὴν, ἤγουν τὴν ἀποβασιν τοῦ πράγματος, ὅπως τε ἐν τῷ ναῷ τῆς Θεᾶς, ἤτοι τῆς Ἀθηνᾶς, ὕπνωσε κατὰ τὴν νύκτα μετὰ τὴν μαντείαν ἐκείνου· ἐκεῖνος γὰρ, ὡς ἔοικεν, ἔχρισεν αὐτῷ ἀμηχανοῦντι περὶ τῆς καταχθέσεως τοῦ Πηγάσου ἀπελθεῖν καὶ καθευδῆσαι ἐκεῖ· ὅπως τε παρέσχεν αὐτῷ τὸν χαλινὸν τὸν δαμάζοντα τὰ φρονήματα τῶν ἵππων αὐτὴ ἡ παῖς τοῦ Διὸς τοῦ τῷ κεραυνῷ ὡς ἔγχει χρωμένου, ἤγουν ἡ Ἀθηνᾶ· ἐκέλευσε γὰρ αὐτὸν ὁ μάντις πεισθῆναι τῷ ἐνυπνίῳ ὅτι τάχιστα.

102. Ἀνὰ δ' ἕπλατ' ὀρθῷ ποδί.] Λοιπὸν ὁ ποιητὴς ταῦτά φησιν· ἀνήλατο δὲ ἐκ τῆς κοίτης καὶ ἔστη ἄσμενος, περιχαρὴς ὢν· τέρας δὲ τὸν χαλινὸν εἶπεν, ὅτι ὅπαρ φανεὶς ὕπαρ ἄρθη· παρακείμενον δὲ εὑρὼν τὸν χαλινὸν καὶ ἀναρπάσας αὐτὸν πρὸς τὸν μάντιν ἦλθεν εὐθέως τὸν ἐπιχώριον.

104· Ἄσμενος.] Χαίρων.

105. Σύναπτε τὸ Κοιρανίδᾳ πρὸς τὸ μάντιν.] Ὁ γὰρ Πολύειδος οὗτος μάντις Κοιράνου υἱὸς ἦν, ὃς καὶ προϋπέθετο Βελλεροφόντῃ καταδαρθεῖν παρὰ τῷ τῆς Ἀθηνᾶς βωμῷ, ὡς ἐκεῖθεν ἐομένης αὐτῷ τῆς τοῦ ζητουμένου λύσεως.

106. Ὡς τ' ἀνὰ βωμῷ.] Ὅπως, εἶπεν, ἐπὶ τῷ βωμῷ τῆς Ἀθηνᾶς ἐκαθεύδησεν ἐκ τῆς τοῦ Πολυείδου προμαντείας καὶ συμβουλῆς, ὡς αὐτοῦ συμβουλεύσαντος αὐτῷ διὰ μαντείας ἀγαπᾶν περὶ τῆς κατοχῆς τοῦ ἵππου, καὶ ὅπως αὐτὴ ἡ Θεὸς αὐτῷ παρέσχε τὸν χαλινὸν, ἡ Θυγάτηρ τοῦ ἐγχειρεραύνου Διός· δαμασίῤῥονα δὲ εἶπε χρυσὸν, ἴν' ᾖ τὸν τίμιον, ἢ ὅτι διάχρυσος ἦν τῇ κατασκευῇ ὁ χαλινὸς, δαμάζοντα δὲ τὸ φρόνημα τὸ ἄγριον τῶν ἵππων καὶ ἥμερα φρονεῖν ἀναγκάζοντα· καὶ αὐτὸς δὲ ὁ χρυσὸς δαμασίῤῥων, ἐπεὶ ἱκανὸς ἀπατῆσαι. Κοιρανίδαν, τὸν Κοιράνου παῖδα Πολύειδον ἐλθὼν οὖν πρὸς τὸν μάντιν ἔδειξε καὶ διεσαφήνισεν αὐτῷ τὴν ὅλην ὑπόθεσιν τοῦ πράγματος καὶ κατάστασιν.

107. Κοιτάξατο.] Ἐκοιμήθη.

110. Ἔπορε.] Ἐχάρισεν

111. Δαμασίῤῥονα λέγει ὃν πράσθεν εἶπε χρυσάμπυκα χαλινὸν, ὡς τὰς φρένας τῶν ἵππων δαμάζοντα καὶ εὐπειθεῖς ἐργαζόμενον. — Ἐνυπνίῳ δὲ τάχιστα.] Τοῦ Βελλεροφόντου δὲ τὸ ὄναρ διηγησαμένου εἶπεν ὁ Πολύειδος ὡς τάχιστα καὶ ἀνυπερθέτως πείθεσθαι τῷ ἐνυπνίῳ· καὶ ταῦτα αὐτῷ εἰπόντος τοῦ μάντεως, ὡς ἡνίκα ἂν τὸν ταῦρον θύῃ τῷ Ποτειδῶνι, τότε δὴ τῇ ἱππικωτάτῃ Ἀθηνᾷ ἱδρύσασθαι βωμὸν, ἤτοι ἄγαλμα· κραταίποδα δὲ τὸν ταῦρόν φησιν οὕτω δὲ Δελφαὶ ἰδίως ἐκάλουν· οὐρύη δὲ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, ὡς Ὅμηρος· (Ἰλιάδ. α, 459) Αὖ ἅρυσαν μὲν πρῶτα.

113. Ὅταν δ' εὐρυσθενεῖ.] Ὅταν δὲ ἀνρύῃ, ἀντὶ τοῦ ἀνερύς, ἅγαν ἀνατρέπῃ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, τὸν κραταιὸν τοὺς πόδας ταῦρον τῷ

Ποσειδῶνι τῷ συνέχοντι τὴν γῆν, τῷ καταπολὺ ἰσχυρῷ, ἐκέλευσεν αὐτέκα ποιῆσαι τῇ Ἀθηνᾷ τῇ ἱππίᾳ, ἤγουν τῇ πολεμικῇ, ναόν· πληροῖ δὲ ἡ δύναμις τῶν Θεῶν κούφοις, τουτέστιν εὐχερῶς τὴν κτίσιν, ἀντὶ τοῦ τὴν πρᾶξιν καὶ τὴν παρ' ὅρκον, ἤγουν τὴν μὴ θεομένην βεβαιώσεως ὅρκων εἰς τὸ μὴ πραχθῆναι, ὡς ἀνέλπιστον δηλονότι οὖσαν καὶ ἀδύνατον, καὶ τὴν παρὰ ἐλπίδα, τουτέστι καὶ ἣν οὐκ ἄν τις ἐλπίσαι ποτὲ πρᾶξιν· Θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα ῥᾷστα ποιοῦσι, περὶ ὧν ἄν τις καὶ δι' ὅρκου ἀπαγορεύσειεν ὡς οὐχ οἷά τε γενέσθαι· ἔστι δὲ τὸ παρ' ἐλπίδα καὶ τὸ παρ' ὅρκον ταυτόν· τὰ γὰρ ἀδύνατα καὶ ἀνέλπιστα.

116. Τελεῖ δὲ Θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον.] Ἐπιτελοῦσι δὲ καὶ παρέχουσιν οἱ Θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα, περὶ ὧν ἄν τις καὶ τὴν ἐλπίδα ἀπαγορεύσῃ. Ἄλλως· οὐχὶ τὴν ἐξ ἐπιορκίας, ἀλλὰ καὶ εὐόρκως ἀπελπισθεῖσαν· ἡ οὕτω δύναται δὲ Θεὸς τελέσαι καὶ τὸ μεθ' ὅρκου ἀδύνατον νομιζόμενον εἰς περίκτησιν οἷον εὐχερές· τοῦτο δὲ γνωμολογεῖ, ὅτι δὴ καὶ Βελλεροφόντης ὁ μέγας μηδέποτε ζευχθήσεσθαι τὸν Πήγασον δι' ἐπιορκίας θέμενος δι' Ἀθηνᾶς ὑπὸ ζυγὸν ἐποίησεν· ὁ δὲ νοῦς· καὶ δὴ ἐκ τούτων ὁ γενναῖος Βελλεροφόντης μετὰ σπουδῆς ἔλαβε τὸν χαλινὸν, καὶ τὸν πτερωτὸν ἵππον Πήγασον ἐχαλίνωσε· τοῦτο γάρ ἐστι τὸ Τείνων ἀμφὶ γένυσιν· φάρμακον πραῦ τείνων ἀμφὶ γένυσι πραΰνοντα καὶ ἡμεροῦντα, ὡς ἀντιφάρμακον ἰατρικόν· λέγει δὲ τὸν χαλινόν. — Διὰ τὸ μέτρον πληροῖ γράφε, οὐ τελεῖ.

118. Ἤτοι καὶ ὁ καρτερός.] Τὸ ἤτοι, ἀντὶ τοῦ δὴ, ἤγουν καὶ δὴ καὶ ὁ ἰσχυρὸς Βελλεροφόντης ὁρμαίνων ἤτοι προθυμούμενος, ἔλαβεν ἵππον ἱππόπτερον, τουτέστι τὸν Πήγασον, φάρμακον πραΰ, ἀντὶ τοῦ πραϋντικὸν, ἤγουν τὸν παρὰ τῆς Ἀθηνᾶς χαλινὸν, τεύνων, ἀντὶ τοῦ ἐφαπλώσας, ἐπενεγκὼν ἀμφὶ τῇ γένυϊ, ἀντὶ τοῦ περὶ τῇ γένυϊ, τουτέστιν ἐπὶ τῷ στόματι αὐτοῦ δηλονότι· ἀναβὰς δ' εὐθὺς ἐπ' αὐτὸν ἐπαιζεν ἐνόπλιον παιδιὰν χαλκωθεὶς, ἤτοι ὁπλισάμενος. Κραταιὸς καινὸν, κρατερὸς ποιητικὸν τὸ αὐτὸ, καὶ κατὰ μετάθεσιν τοῦ ρ καρτερός. Σὺν ἐκείνῳ δὲ, ἤτοι τῷ Πηγάσῳ ποτὲ ἐρύσευσε καὶ τὸν στρατὸν τὸν γυναικεῖον τῶν Ἀμαζόνων τὸν τοξότην, βάλλων αὐτὸν, τουτέστι βολαῖς ἐπιτεθέμενος αὐτῷ ἄνωθεν ἀπὸ τῶν καιλωμάτων τῆς αἰθέρος τῆς ψυχρᾶς, ἀντὶ τοῦ τοῦ ἀέρος τοῦ ψυχροῦ, τοῦ ἐρήμου,

ἤγουν ἐφ' ᾧ οὐ διατρίβει πτηνὰ διὰ τὴν ψυχρότητα, καὶ τὴν Χίμαιραν τὴν πνέουσαν πῦρ καὶ τοὺς Σολύμους ἔθνος δὲ ἦσαν οἱ Σόλυμοι μεταξὺ Λυκίας καὶ Παμφυλίας πολεμικώτατον.

119. Ὀρμαίνων.] Προθυμούμενος.

123. Χαλκωθείς.] Ἤτοι χαλκοῦν περιθέμενος θώρακα, ἢ ὅπλα ἐνδὺς χαλκᾶ. — Ἔπαιξεν.] Ἤτοι ἐπειράτο, ἐγυμνάζετο εὐκόλως, ὥσπερ παιδιᾶς τρόπον· ἢ ἐπιτέρπετο· ἢ ἐνόπλιον ὄρχησιν ἐποιεῖτο· ἢ σὺν τοῖς ὅπλοις εὐχερῶς ἐμάχετο.

124. Σὺν δ' ἐκείνῳ.] Μετὰ δὲ τοῦ ἵππου ὢν ἡ σὺν αὐτῷ ποτε καὶ τὸν στρατὸν τῶν Ἀμαζόνων τὸ ἐκ τοῦ ἀέρος τοῦ ἐρήμου καὶ τῶν ψυχροτάτων τόπων τῶν Ὑπερβορέων ἐνίκησεν· ἤτοι τῶν ἐν Σκυθίᾳ.

125. Αἰθέρος ψυχρᾶς.] Τῇ ἐν Σκυθίᾳ· κρυώδης γὰρ καὶ δυσχείμερος μετέωρος γὰρ ὢν ἀνήρει καὶ ἐνίκα. — Αἰθέρος εἶπε Θηλυκῶς ὁ ποιητής· ψυχρᾶς δὲ ἐπεὶ καὶ ὁ ἀὴρ αἰθὴρ λέγεται, ψυχρότερον δὲ τὸ βόρειον μέρος, ἔνθα οἰκοῦσιν αἱ Ἀμαζόνες ἐρήμου δὲ διὰ τὸ τοῦ ἀέρος κενόν· λέγει δὲ, ὡς σὺν τῷ Πηγάσῳ τὰς ἀπὸ τοῦ ὑπερβορέου κλίματος Ἀμαζόνας καὶ τοὺς Σολύμους ἔθνος ἀπώλεσεν.

128. Καὶ Χίμαιραν πῦρ πνέουσαν.] Ἐνίκησε δὲ σὺν αὐτῷ καὶ τὴν πυριπνοῦν Χίμαιραν καὶ τοὺς Σολύμους ἀνεῖλε. Σόλυμοι δὲ ἔθνος πρὸς τῇ Λυκίᾳ, μεταξὺ Λυκίας καὶ Παμφυλίας, πολεμικώτατον εἶπε δὲ ταῦτα καὶ Ὅμηρος. (Ἰλιάδ. ζ, 155.) περὶ τοῦ Βελλεροφόντου.

130. Διασωπάσομαί οἱ μόρον ἐγώ.] Τουτέστι τὸν θάνατον αὐτοῦ σιγήσομαι· ὑποστέλλεται γὰρ τὸ κατὰ τὴν τελευτὴν ἐνθεθηκὸς αὐτῷ εἰπεῖν, ὅτι πεσὼν ἐκ τοῦ Πηγάσου χωλὸς ἐγένετο. Ἄλλως· τὸν θάνατον αὐτοῦ ἐγὼ σιωπήσω· ὑποστέλλεται τὸ κατὰ τὴν τελευτὴν ἐνθεθηκὸς αὐτῷ κακόν· λέγεται γὰρ, ὅτι ἀναπτῆναι βουληθεὶς, τῷ Πηγάσῳ κούφως παρακινδυνεύσας, κατὰ βούλησιν τοῦ Διὸς οἰστρωθέντος τοῦ Πηγάσου ἐκπίπτει καὶ χωλοῦται, καὶ πλανᾶται κατὰ τὸ Ἀλήϊον χωλὸς, ὡς Ὁμηρός φησιν· (Ἰλιάδ. ζ, 201.)

Ἤτοι ὁ καπέδιον τὸ Ἀλήϊον οἷος ἀλᾶτο
Ὃν θυμὸν κατέδων.

Ἄλλως· καταβαλὼν γὰρ τὸν Βελλεροφόντην ὁ Πήγασος ἀπεκόστησεν εἰς τὸν οὐρανὸν, τοῦτον δὲ αἱ οὐράνιαι φάτναι τοῦ Διὸς ὑπεδέξαντο· κατηστερίσθη γάρ· καὶ Ἄρατος μέμνηται, ὅτι εἰσὶ φάτναι ἐν οὐρανῷ καὶ ὄνοι καλούμενοι ἀστέρες.

— Τὸ διαστιγάτομαι εἶπε διὰ τὸ συμβὰν αὐτῷ ἐν τῇ τελευτῇ κακόν· οὐ γὰρ ἄξιον πολλοὺς καὶ μεγάλους ἐπαίνους ὑπὲρ αὐτοῦ διόντα καὶ τῶν συμβάντων αὐτῷ μνησθῆναι κακῶν φασί, γὰρ ὡς βουληθεὶς ποὸς οὐρανὸν ἀναπτῆναι εὐν τῷ Πηγάσῳ ἐξοιστρωθέντος τοῦ ἵππου παρὰ τοῦ Διὸς κπτει καὶ χωλοῦται, κατὰ δέ τινας καὶ τυφλοῦται, καὶ ἐπλανᾶτκι κατὰ τὸ Ἀλήϊον χωλός· φησὶ δὲ καὶ Ὅμηρος (Ἰλιάδ ζ, 201.) περὶ αὐτοῦ.

Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἷος ἀλᾶτο

Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἐλεείνων.

Διαστιγάσομαι, ἤγουν σιγήσω τὸν θάνατον αὐτοῦ, τοῦ Βελλεροφόντου δηλονότι· τοῦτο δέ φησιν, ἐπεὶ δυστυχὴς αὐτῷ τὸ τέλος ἐγένετο πεσόντι ἀπὸ τοῦ ἵππου καὶ χωλωθέντι· τόνδε, ἤγουν τὸν ἵππον, αἱ φάτναι τοῦ Διὸς αἱ ἀρχαῖαι ἐδέξαντο ἐν οὐρανῷ· ἄστρα γὰο λέγουσιν εἶναι ἐν οὐρανῷ ἀρχῆθεν φάτναι καλούμενα καὶ ὄνοι· ἐμὲ δὲ χρὴ ἑέντα, ἤγουν βάλλοντα ῥόμβον, ἀντὶ τοῦ βολὴν ἀκόντων εὐθεῖαν, οὐκ ἔξω τοῦ σκοποῦ ἐρείδειν τὰ πλείω βέλη διὰ τῶν χειρῶν· συμβολικὸς ὁ λόγος ἀντὶ τοῦ ἐμὲ δὲ χρὴ προσήκουσαν κοιοῦμενον τὴν ὁρμὴν τῶν λόγων, τουτέστι διὰ τὸ κατὰ τὸ πρωτον ποιεῖσθαι τὴν ὁρμὴν τῶν λόγων οὐκ ἔξω τῆς προσηκούσης ὑποθέτεως ποιεῖσθαι τοὺς πλείστους λόγους.

133. Ἐμὲ δ' εὐθὺν ἀκόντων ἑέντα ῥόμβον.] Ἀλλ' ὁ μέν φησιν οὕτως· ἐμὲ δὲ οὐ χρὴ παρὰ σκοπὸν τὰ βέλη μου τὰ πολλὰ ταῖς χερσὶν ἰσχυρῶς ἔχειν, ἀλλ' ὀξύν τινα τὸν ἀκοντιτὴν αὐτῶν ποιεῖσθαι· τὸ δὲ ἑξῆς· ἐμὲ δὲ ἑέντα πολλὰ παρὰ σκοπὸν βέλη οὐ χρὴ ῥόμβον, τουτέστι ῥίψιν καὶ ὁρμὴν ποιεῖσθαι· λέγει δὲ, ὅτι οὐ χρὴ περιττολογεῖν περὶ ἄλλων καὶ ἐκτραπῆναι τοῦ προκειμένου· τὸ δὲ ἀκόντων ῥόμβον τὴν δίνησιν καὶ τὴν βολὴν τῶν ἀκοντίων λέγει, τροπικῶς δὲ τῶν ἐγκωμιαστικῶν λόγων, ὡς καὶ ἐν ἄλλοις. (Ὀλυμπ. 6', 89.) Πολλά μοι ὑπ' ἀγῶνος ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας· ἀλληγορικῶς οὖν φησιν, ὅτι οὐ χρὴ με περὶ ἄλλων σκοπεῖν καὶ πολυλογεῖν ἑάσαντα τὸν προκείμενον ἔπαινον· ἀφέμενος γὰρ τοῦ νικηφόρου εἰς τὰ πάτρια ἀναβραμὼν, πλείονι τῇ παρεκβάσει κέχρηται, διὸ καὶ ἐπιστρέφει ἑαυτόν. — Ἐμὲ δ' εὐθύν.] Τὰ μὲν τοῦ Βελλεροφόντου καὶ τοῦ Πηγάσου οὕτως ἔσχεν· ἐμὲ δὲ ἑέντα εὐθὺν ῥόμβον ἀκόντων, ἤγουν σκοπὸν θέμενον ἐπαινεῖν Ξενοφῶντα, οὐ χρὴ κρατύνειν τὰ πολλὰ βέλη ἐν ταῖν χερσὶν

παρὰ σκοπὸν, ἤγουν οὐ δεῖ παρεκβάτει πολλῇ χρῆσθαι καὶ τοὺς πλείους τῶν ἐπαίνων εἰς ἑτέρους ἀναλίσκειν. — Εὐθύν.] Εὔκολον. — Ἀκόντων.] Κονταρίων. — Ἱέντα.] Τοξεύοντα. — Ῥόμβον.] Πέμψιν. — Ῥόμβος ἡ κοινῶς στροῦμβα, ἥτις καὶ βέμβιξ (Ἡσύχ. Τ,Δ΄ σελ. 719) λέγεται καὶ στρόμβος, ἀφ' οὗ καὶ τὸ στρομβηδὸν· ἐντοῦθα δὲ ῥόμβον λέγει ἀντὶ τοῦ στρόμβησιν, λέγει δὲ οὕτω τὴν βολὴν τῶν ἀκόντων διὰ τὸ μετὰ δίνησεως αὐτὴν γίνεσθαι.

135. Κρατύνειν.] Πέμπειν, ἐρείδειν.

136. Μοίσαισι γὰρ ἀγλαοθρόνοις ἔκων.] Οὐ γὰρ ἦλθον, φησί, δι' ἄλλο τι, ἀλλὰ ταῖς Μούσαις ἐπίκουρος καὶ ὑπηρέτης, ἵνα τοὺς Κορινθίους τούτους τοὺς ἀπὸ τῆς φατρίας τῆς Ὀλιγαιθίδος καλουμένης ὄντας ἐπαινέσω καὶ τὰ πραχθέντα ὑπ' αὐτῶν ἐν τῷ Ἰσθμῷ καὶ ἐν τῇ Νεμέᾳ· οἱ γὰρ περὶ τὸν Ξενοφῶντα τοῦτον τὸν ἐπαινούμενον Ὀλιγαιθίδαι καλοῦνται κατὰ φατρίαν, ὡς τὸ ἀνέκαθεν ὄντες ἀπὸ Ὀλιγαίθου τινὸς ἀρχαίου. — Μοίσαις γὰρ ἀγλαοθρόνοις.] Ταῖς Μούσαις γὰρ ταῖς ἐπὶ λαμπρῶν θρόνων ἱδρυμέναις ἦγουν ταῖς τιμίαις καὶ ἐνδόξῳ τάξει τεταγμέναις, ἔκων, ἤτοι ὑπείκων, ὑπηρετῶν, ἦλθον ἐπίκουρος, ἀντὶ τοῦ ὑμνητὴς τοῖς Ὀλιγαιθίδαις, τουτέστι τῇ φατρίᾳ τοῦ Ξενοφῶντος, ἀντὶ τοῦ τοῖς Κορινθίοις, διὰ τὰ ἐν Ἰσθμῷ αὐτῶν ἔργα καὶ διὰ τὰ ἐν Νεμέᾳ· ἐν βραχεῖ δὲ λόγῳ ποιήσω φανερὰ ὁμοῦ πολλὰ, καὶ ὅρκος ἔσται ἐμοὶ ἐπὶ τούτοις ἀληθής. ἑξηκοντάκις γὰρ ἀμφοτέρωθεν, ἤγουν ἀπὸ τῆς Ἰσθμοῦ καὶ τῆς Νεμέας, βολὴ κήρυκος ἀγαθοῦ, κατὰ τὸ κηρύττειν δηλονότι, ἠδύρωνος ἀνεκήρυξεν, αὐτοὺς δηλουότι· ἠδύγλωσσον δὲ λέγει τὴν βολὴν οὐ διὰ τὸ ἐμμελὲς αὐτῆς, ἀλλὰ διὰ τὸ τερπνὴν παρέχειν τὴν ἀνακήρυξιν τοῖς ἀνακηρυττομένοις· τὰ δὲ ἔργα αὐτῶν τὰ ἐν Ὀλυμπίᾳ, τουτέστιν αἱ νῖκαι δὲ αὐτῶν αἱ ἐν Ὀλυμπίᾳ δοκοῦσιν ἤδη πρότερον εἰρῆσθαι· ἔφη γὰρ αὐτοὺς ἐν τῇ ἀρχῇ τρὶς νενικηκέναι ἐν τῇ Ὀλυμπίᾳ· καὶ τὰ ἑξόμενα, ἤγουν καὶ τὰς ἑτομένας αὐτοῖς νίκας τότε ἂν, ὅτε ἔσονται δηλονότι, φαίην σαφῶς· νῦν δ' ἐν ἐλπίσιν ἔχω τὸ τέλος τῆς νίκης αὐτῶν ὁμως ἐν τῷ Ἠεῖ. — Ἔκων.] Ὑποτασσόμενος.

137. Ὀλιγαιθίδαισιν.] Τοῖς παισὶ τοῦ Ὀλιγαίθου. — Ὀλιγαιθίδαι φατρία ἐν Κορίνθῳ ἀπό τινος Ὀλιγαίθου, ἧς ἦν Ξενοφῶν. — Ἐπίκουρος.] Ἦγουν βοηθός· βοήθεια γὰρ τῶν ἀγαθῶν ἔργων τὰ ἔπη οὐκ ἐῶντα τοῦ λοιποῦ λήθην αὐτῶν κατακαυχήσασθαι.

138. Παύρῳ δ' ἔπει θήσω.] Ἀντὶ τοῦ ἐν ὀλίγῳ καὶ συντάμῳ λόγῳ διαθήλα καὶ φανερὰ πλεῖστα πράγματα καὶ ἀθρόα ποιήσω. Ἄλλως· ἀντὶ τοῦ ἐν ὀλίγῳ τὰ πολλὰ φανερὰ ποιήσω, ἀληθῆς δὲ περὶ τούτων καὶ ἐξαίρετος ὅρκος ἔσται· ὀμνύειν δὲ βούλεται ὡς ἀληθεύων ἐν τοῖς ἐπαίνοις. Ἄλλως· ἰδίως ἔρη ἔξορκος, ἢ ἀντίορκος· ὁμόσω οὖν αὐτὸς, φησί, τοὺς ἀπὸ τῆς φατρίας Ὀλιγαιθίδος ἑξηκοντάκις νενικηκέναι ἀμφοτέρωθεν, τουτέστιν ἔν τε Ἰσθμῷ καὶ Νεμέᾳ κεκηρύχθαι αὐτούς.

140. Ἀλαθὴς τέ μοι ἔξορκος.] Ἤγουν εἰ ὅρκῳ χρήσομαι ὡς κατὰ ἀλήθειαν καὶ οὐ πρὸς χάριν ἐπαινῶ αὐτὸν, ἀληθεύων.

143. Βαὶ κάρυκος ἐσλοῦ.] Λείπει τὸ Ἀνεκήρυξεν αὐτοὺς, ἡ τοῦ κήρυκος γλῶσσα ἑξηκοστὸν νικήσαντας· ἑξηκοντάκις γὰρ ἀμφοτέροις τοῖς ἀγῶσιν, Ἰσθμίοις καὶ Νεμέοις, ἀνεκηρύχθησαν οἱ Ὀλιγαιθίδαι, ἐν ἑκάστῳ ἀγῶνι τριάκοντα.

144. Τὰ δ' Ὀλυμπία αὐτῶν ἔοικεν ἤδη πάροιθε λελέχθαι.] Εἶπε γὰρ ἐν ἀρχῇ τοῦ ὕμνου οὕτω, πρὶς Ὀλυμπιονίκαν· ὁ δὲ νοῦς· τὰ δὲ ἐν τῇ Ὀλυμπίᾳ αὐτῶν νικητήρια ἤδη, ὡς ἔοικε, προείρηται ἐν τοῖς ἔμπροσθεν λόγοις, τὰ δὲ μέλλοντα, φησὶ, τουτέστιν ἐὰν δὲ πάλιν νικήσῃ Ὀλύμπια, αὖθις σαφέστερον ἐπαινέσω αὐτόν· νῦν δὲ ἐγὼ ἐλπίζω καὶ προσδοκῶ νικῆσαι αὐτόν· ἐν δὲ τῷ κρείττονι τὸ τοιοῦτον τὴν προσδοκίαν δοῦναι.

148. Εἰ δὲ δαίμων ὁ γενέθλιος ἕρποι.] Εἰ δὲ τὸ συγκληρωθὲν δαιμόνιον καὶ ἡ τύχη ἐπὶ τὸ πλεῖστον προΐοι νικητὰς αὐτοὺς μηνῶν, ἀναθήσομαι τὸ τοιοῦτον εὐεργέτημα τῷ τε Διὶ καὶ τῷ Ἄρει· διατὶ δέ φησι τῷ τε Διὶ καὶ τῷ Ἐνυαλίῳ ἐπιτρέψειν; ὅτι ὁ μὲν Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε καὶ Ὀλύμπια τοῦ Διὸς ἱερὰ, τὸν δὲ Ξενορῶντα οὐ μόνον ἀθλητὴν γεγενῆσθαί φασιν ἀλλὰ καὶ τὰ πολεμικὰ ἀγαθὸν, ἢ ὅτι τοῦ Οἰνομάου πατήρ ἐστιν ὁ Ἄρης καὶ μετέχει τῆς Ὀλυμπίας. Ἄλλως· τῷ μὲν Διὶ, ὅτι ὁ ἀγὼν αὐτῷ ἀνάκειται καὶ τελεῖται· τῷ δὲ Ἄρει, ἐπειδὴ ἐπιχώριος καὶ παρῴκιος τῶν Ἠλείων ὁ Ἄρης· μιχθεὶς γὰρ Ἀρπίνῃ θυγατρὶ Ἀσωποῦ τοῦ Θηβαίου ποταμοῦ ἐτέκνωσε τὸν Οἰνόμαον ὁ Ἄρης, ὃς ἦν βασιλεὺς τῶν τόπων· εἰς χάριν οὖν τοῦ παιδὸς προΐσταται ἴσως τῆς χώρας τῶν Ἠλείων. — Ἕρποι.] Ἐξαπλοῖ τὴν χάριν αὐτοῦ. — Εἰ δὲ δαίμων γενέθλιος.] Εἰ δὲ ὁ δαίμων ὁ γενέθλιος, ἤγουν ὁ θεὸς ὁ διοικῶν τοῦ Ξε-

νοφῶντος τὸν βίον ἀπὸ γενέσεως, ἕρποι, τουτέστι προκόπτοι, ἐπιδοίη τῷ Διΐ καὶ τῷ Ἐνυαλίῳ, ἤγουν τῷ Ἄρει, δώσομεν πράττειν τοῦτο· τῷ μὲν Διΐ ὅτι ὁ ἀγὼν ἦν αὐτῷ ἀνατεθειμένος, τῷ δὲ Ἄρει ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης· τὰ δὲ ἐπὶ τῇ ὀφρύϊ, ἀντὶ τοῦ τῇ ἐξοχῇ τοῦ Παρνασοῦ, τουτέστιν ἐν τοῖς Πυθίοις ἔργα αὐτοῦ, καὶ τὰ ἐπὶ τῷ Ἄργει, ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια· ἐδίδοτο δὲ τῷ νικήσαντι ἀσπὶς χαλκῇ· καὶ τὰ ἐν ταῖς Θήβαις, ἔνθα ἤγετο τὰ Ἡράκλεια τὰ καὶ Ἰολάϊα, βαβαὶ τοῦ πλήθους ὅσα ἐστί· καὶ ἐν τοῖς Ἀρκάσιν ἀνάσσων, ἤγουν νικῶν, φεῦ τοῦ πλήθους ὅσα ἐστὶν ἔργα αὐτοῦ.—Μαρτυρήσει Λυκαίου.] Μαρτυρήσει τὰ ἔργα αὐτοῦ ὁ βωμὸς τοῦ Λυκαίου Διὸς ὁ ἄναξ ὁ ἐν Ἀρκαδίᾳ, καὶ ἡ Πελλήνη· πόλις δὲ ἦν αὕτη Ἀργοῦς ἡ τῆς Ἀχαΐας, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· καὶ ἡ Σικυὼν, ἔνθα ἤγετο τὰ Πύθια· τῆς Βοιωτίας δὲ ἦν αὕτη πόλις· καὶ τὰ Μέγαρα, ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια, καὶ τὸ ἄλσος, ἀντὶ τοῦ καὶ ἡ καθέδρα τῶν Αἰακιδῶν ἡ καλῶς τῇ θαλάττῃ περιειλημμένη, ἤγουν ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο τὰ Αἰάκια· μαρτυρήσει καὶ ἡ Ἐλευσὶς τὰ ἔργα αὐτοῦ ἔνθα ἤγετο τὰ Δημήτρια τὰ καὶ Ἐλευσίνια, καὶ ἡ πλουσία Μαραθὼν, ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια· ἦν δὲ τὸ ἆθλον ἀργυρᾶ φιάλη· καὶ αἱ πόλεις αἱ καλλίπλουτοι, ἤγουν αἱ πλούτῳ κομῶσαι αἱ ὑποκάτω τῆς Αἴτνης τῆς ὑψηλὴν ἐχούσης κορυφὴν, τουτέστιν αἱ Συράκουσαι, ἔνθα ἐτελεῖτο ἀγὼν Ἰσθμιὰ καλούμενος· καὶ ἡ Εὔβοια μαρτυρήσει αὐτοῦ τὰ κατορθώματα, καὶ κατὰ πᾶσαν τὴν Ἑλλάδα ἐρευνῶν εὑρήσεις αὐτῶν ἔργα μείζονα ἢ ὡς ἰδεῖν, ἀντὶ τοῦ νοῆσαι· ἀλλὰ ὦ Ζεῦ τέλει, ἤγουν ποίει ἐκνεῦσαί με. ἤτοι ἐξελθεῖν ἀνύσαντα ἤδη τὸν ὕμνον ἐλαφροῖς ποσὶ, τουτέστιν ἀνεπαχθῶς, ἐλαφρῶς, ὑπ' οὐδενὸς βαρούμενον, αἰδῶ διδοὺς, ἀντὶ τοῦ δύναμιν αἰδέσιμον, καὶ εὐτυχίαν ἡδέων γλυκεῖαν.

150. Τὰ δ' ἐπ' ὀφρύϊ Παρνασίᾳ.] Ἀντὶ τοῦ τὰ δὲ ἐν Δελφοῖς Πύθια· ἐκ τοῦ παρακειμένου ὅρους λέγει· ὅ ἐστι Πύθια· ὅσα τ' ἐν Ἄργει δὲ καὶ ἐν Θήβαις ἄλλα· καὶ ἐν Ἀρκαδίᾳ δὲ ὅπως δεσπότης γέγονε τοῦ στεφάνου, ὁ βωμός ἐστι μάρτυς ὁ τοῦ Λυκαίου Διὸς καὶ ἡ ἐκεῖ ἀγομένη πανήγυρις· ἐκεῖ γὰρ νικήσας ἐστέφθη.

155. Πελλάνα τε καὶ Σικυῶνι.] Ἐν Σικυῶνι Πύθια ἄγεται ἡ δὲ Πελλήνη τῆς Ἀχαΐας πόλις, ὅπου τὰ Φιλοξένια, καὶ αἱ

χλαῖναι δίδονται· καὶ ἐν Αἰγίνῃ τὰ Δελφίνια καὶ Αἰάκεια, ἐν δὲ Μεγάροις τὰ Διόκλεια καὶ Πύθια καὶ ἐν Ἐλευσῖνι τὰ Δημήτρια ἡ Ἐλευσίνια· εὐερκὴς δὲ ἅλσος φησὶ διὰ τὸ κύκλῳ ὑπὸ Θαλάσσης ὥσπερ ὑπὸ ἕρκους καὶ τείχους περιβεβλῆσθαι· ἢ διὰ τὴν φιλοξενίαν.

156. Εὐερκὲς ἅλσος.] Χωρίον τὸ ἔχον καλὸν ἕρκος.

158. Ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου.] Καὶ αἱ ὑπὸ τὴν Αἴτναν τὸ Σικελικὸν ὄρος πόλεις, πόλεις δὲ λέγει τὰς Συρακούσας, μαρτυροῦσιν αὐτοῦ τῇ ἀνδρείᾳ. Ἰσθμια γὰρ καὶ ἐν αὐταῖς τελεῖται, ἃ καὶ ἐνίκησε Ξενοφῶν. Ἄλλως. Ὑπ' Αἴτνας.] Τῆς Σικελίας πόλις· ἐκεῖ γὰρ ἄγεται ἀγὼν Νέμεα καλούμενος· ἡ οὗτως· ἐν Συρακούσαις ἄγεται, φασίν, Ἴσθμια ὡς καὶ ἐν Κορίνθῳ· ἄποικοι γὰρ Κορινθίων Συρακούσιοι.

159. Ἅ τ' Εὔβοια.] Καὶ ἐν τῇ Εὐβοίᾳ δὲ πάσῃ, φησί, καὶ τῇ Ἑλλάδι ζητῶν εὑρήσεις τινὰ μείζονα λόγου παντὸς καὶ πάσης γνώσεως νικητήρια· ὑπερβολικῶς δὲ εἶπεν. Ἄλλως. ἐν Εὐβοίᾳ Γεραίστια ὑπὸ πάντων Γεραιστίων ἄγεται Ποσειδῶνι διὰ τὸν συμβάντα χειμῶνα ἐν Γεραιστῷ, καὶ ἐν Ἀμαρύνθῳ τῆς Εὐβοίας Ἀμαρύνθια νενικήκασιν· ὁ δὲ νοῦς· καὶ πᾶσαν τὴν Ἑλλάδα ἐπιπορευόμενος εὑρήσεις μείζονα ἔργα πεποιηκότα αὐτὸν, ἢ ὡς δύνασαι ἰδεῖν· ἢ οὕτω· τὸ πλῆθος τῶν στεφάνων· φησίν, ἐπέρευγε τὴν τῆς ὁράσεως μετάληψιν.

163. Ἀλλὰ κούροισιν ἐκεῦσαι ποσίν.] Εἶπε τοῦτο πρὸς ἑαυτὸν παρακελευόμενος ἐκδραμεῖν ἀπὸ τούτων καὶ καταπαῦσαι τὸν ὕμνον· ἢ οὕτως· ἐπαύσατο τῶν ἐπαίνων, καὶ περὶ ἑαυτοῦ λέγει, ὅτι χρὴ ἀποστῆναι κούροισι ποσὶν ἀνεπαχθῆ φανέντα· δίδου οὖν μοι, φησίν, ὦ Ζεῦ, τελεστικωτάτην τὴν παρὰ σοῦ αἰδῶ τε καὶ εὐτυχίαν, ἐξ ἧς ἐστι τέρπεσθαι καὶ ἥδεσθαι· ἀντὶ τοῦ αἰδέσιμόν με ποιεῖ καὶ τῆς τιμῆς ἄξιον· ἢ οὕτως· αἰδεστικούς τε καὶ αἰδεσίμους αὐτοὺς ποιεῖ ἐπιμελῶς προαρξάμενος.

164. Μὴ δίδοι γράφε, ἀλλὰ δίδουσ· οὕτω γὰρ κάλλιον.

Περὶ τῶν κώλων τοῦ τεσσαρεσκαιδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τὸ τεσσαρεσκαιδέκατον εἶδος μονοστροφικόν ἐστι κώλων ιή καὶ ιζ'. Τὸ ά Σαπφικὸν ἐννεασύλλαβον. Τὸ β' Φαλαίκειον. Τὸ γ' ἐκ χοριάμβου, διϊάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον. Τὸ δ' Φερεκράτειον ἀτελές. Τὸ ε ἐπιωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. Τὸ ς' δακτυλικὴ διποδία, ἑξασύλλαβον. Τὸ ζ' ἐκ παιωνικῆς διποδίας καὶ ἀντισπαστικοῦ πενθημιμεροῦς. Τὸ ή τροχαϊκὸν ἑφθημιμερές. Τὸ θ' ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ πενθημιμεροῦς. Τὸ ι ἐξ ἀντισπάστου ἑξατήμου καὶ τροχαϊκῆς κατακλείδος. Τὸ ια Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάττονος καὶ τροχαίου πενθημιμεροῦς. Τὸ ιε Ἰωνικὸν ἀπ' ἐλάττονος ἑφθημιμερές. Τὸ ις' ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάττονος καὶ ἰαμβικοῦ ἡμιολίου ἀτάκτου. Τὸ ιζ' ἐκ χοριάμβου καὶ ἰάμβικοῦ πενθημιμεροῦς. Τὸ ιή ἰαμβικὸν ἑφθημιμερές.

Τὰ δὲ λοιπὰ ἑπτακαίδεκα οὕτω. Τὸ ά Φαλαίκειον. Τὸ β' ἐκ χοριάμβου καὶ ἰάμβου ἑφθημιμεροῦς. Τὸ γ' Ἀλκμανίωνιον δεκασύλλαβον. Τὸ δ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ε ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς βάσεως. Τὸ ς' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ' ἐξ ἀντισπαστικοῦ καὶ τροχαϊκῆς καταλλείδος. Τὸ ή ἐκ χοριαμβικοῦ εἰς ἀντισπαστικόν. Τὸ θ' ἐξ ἀναπαίστου ἡμιολίου καὶ ἰαμβικοῦ ἡμιολίου. Τὸ ι Ἀσκληπιάδειον. Τὸ ια δακτυλικὴ τριποδία. Τὸ ιβ' ἰαμβικὸν ἑφθημιμερές. Τὸ ιγ' ἐξ ἀντισπάστου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. Τὸ ιδ' Γλυκώνειον. Τὸ ιε ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιστ' ἐκ χοριάμβου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. Τὸ ιζ' ἰαμβικὸν πενθημιμερές.

Περὶ τῶν κώλων τῆς πρώτης μονοστρόφου στροφῆς τοῦ ιδ'. εἴδους τῶν Ὀλυμπίων. Πλαιών.

Τὸ τεσσαρακαιδέκατον εἶδος τῶν Ὀλυμπίων οὐκ ἔστιν ἐπῳδικὸν ὡς τὰ λοιπά, ἀλλὰ δύο ἐστὶ στροφῶν μονο

στρόφων· οὔτε ἀντιστροφὰς γὰρ ἔχουσιν οὔτε ἐπῳδούς, ἀλλὰ μονότροποί εἰσιν ὡς εἴρηται· ἔστι δὲ τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα τῆ. Τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ πρώτου ποδὸς ἐπιτρίτου τρίτου, τοῦ δευτέρου παίωνος τρίτου καὶ συλλαβῆς· καλεῖται δὲ Σαπφικὸν ἢ Ἱππωνάκτειον· εὕρημα γὰρ ἔστι Σαπφοῦς, ὁ δὲ Ἱππώναξ πολλάκις ἐχρήσατο· ἔστι δὲ ἐννεασύλλαβον. Τὸ δεύτερον ἐπιωνικὸν τρίμετρον καταληκτικόν, τοῦ πρώτου ποδὸς ἐπιτρίτου τρίτου τοῦ δευτέρου παίωνος τρίτου ἀντὶ Ἰωνικοῦ, τοῦ δὲ τρίτου χοριάμβου καταληκτικοῦ, ὃς γίνεται δακτυλος. Τὸ τρίτον ἀντισπαστικὸν διπλοῦν Φερεκράτειον· σύγκειται γὰρ ἐκ δύο κώλων Φερεκρατείων, ὧν τὸ δεύτερον ἀτελές· τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν, ἤτοι ἑξημιμερὲς, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα δεύτερον ἔχον. Τὸ δ' ἐπιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος τετάρτου καὶ ἀναπαίστου. Τὸ ε' ἐπιωνικὸν τρίμετρον καταληκτικὸν, τῆς πρώτης συζυγίας ἰαμβικῆς, τῆς δευτέρας Ἰωνικῆς ἀπ' ἐλάσσονος ἤτοι παίωνος τρίτου ἀντὶ Ἰωνικοῦ, τῆς δὲ τρίτης τροχαϊκῆς καταληκτικῆς. Τὸ στ' ἑξασύλλαβον· δακτυλικὴ διποδία ἤτοι δακτυλικὸν δίμετρον· ὡς δ' ἐμοὶ δοκεῖ, παιωνικόν ἐστε Κρητικὸν λεγόμενον δίμετρον ἀκατάληκτον ἐκ δύο Κρητικῶν. Τὸ ζ', ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ Κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὁ καλεῖται ὀχμιακὸν, τὸ ἀντισπαστικὸν ὀλονότε· εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διϊάμβου καὶ παίωνος πρώτου διὰ τὴν ἀδιάφορον. Τὸ ἡ τροχαϊκὸν ἑφθημιμερὲς, ἤτοι Εὐριπίδειον ἢ ληκύθιον· Τὸ θ' ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας ἤτοι διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ πενθημιμεροῦς. Τὸ ι' ἀντισπαστικὸν ἑφθημιμερὲς Φερεκράτειον ἐξ ἀντισπάστου ἑξασήμου ἢ ἑπτασήμου καὶ τροχαϊκῆς κατακλείδος. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές· Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπ' ἐλάσσονος ἐξ Ἰωνικῆς καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς· ἃ δὲ καὶ περὶ τούτου καὶ τῶν ἄνω κώλων φασὶν, οὐκ ὀρθῶς ἔχει. Τὸ ιε' Ἰωνικὸν ἀπ' ἐλάσσονος ἑφθημιμερὲς τῆς πρώτης συζυγίας τροχαϊκῆς, ἤτοι ἐπιτρίτου δευτέρου τῆς δὲ δευτέρας Ἰωνικῆς καταληκτικῆς.

Τὸ ις', ὡς ἐμοὶ δοκεῖ ἀντισπαστικόν ἐστι δίμετρον ἀκατάληκτον· εὕρηται γὰρ τοῦ Ἀπόλλωνος τὸ ἄ καὶ μακρόν· εἰ δὲ βούλει, ἔστω ὁ δεύτερος ποὺς τρίβραχυς· οἰκεῖος γὰρ τῷ μέτρῳ τοῦτο καὶ Ἰωνικὸν γένοιτ' ἂν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν, παίωνος τρίτου ἀναχρόμενου ἀντὶ Ἰωνικοῦ· ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ ις' ἐκ χοριάμβου καὶ ἰαμβικῆς συζυγίας· ἤτοι ἑφθημιμερὲς χοριαμβικόν· ἐμοὶ δὲ δοκεῖ καὶ τροχαϊκὸν εἶναι δίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς δακτύλου· τὸ γὰρ ἄκυρον μακρὸν ἔχει τὸ ἄ, ὡς καὶ τὸ Ἀέναοι Νεφέλαι παρ' Ἀριστοφάνει. (Νεφ. 276). Τὸ ιή ἰαμβικὸν ἑφθημιμερές. Ἐπὶ τῷ τέλει παράγραφος.

Περὶ τῶν κώλων τῆς β' μονοστρόφου στροφῆς.

Ἡ δὲ δευτέρα τοῦ αὐτοῦ ἐπινικίου μονόστροφος στροφὴ κώλων ις'. Τὸ πρῶτον ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Φαλαίκειον, τῆς πρώτης συζυγίας τροχαϊκῆς, τῶν ἄλλων δὲ ἰαμβικῶν. Τὸ β' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δύο ἰαμβικῶν συζυγιῶν. Τὸ τρίτον Ἀλκμαιώνειον δεκασύλλαβον· σύγκειται δὲ ἐξ ἰάμβων δύο καὶ δακτύλων δύο, καὶ ἔστι τοῦ Ἀλκμαίωνος εὕρημα. Τὸ δ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας μεμιγμένον. Τὸ ε χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ς' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπαστου καὶ τροχαϊκῆς κατακλείδος. Τὸ ή προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὡς ἐμοὶ δοκεῖ· ἃ δὲ καὶ περὶ τούτου λέγουσιν οὐ καλά. Τὸ Θ' ἐκ δύο σύγκειται ἡμιολίων, τοῦ πρώτου ἀναπαιστικοῦ, τοῦ δευτέρου δὲ ἰαμβικοῦ· τρεῖς γάρ εἰσιν ἀνάπαιστοι καὶ τρεῖς ἴαμβοι· τὸ γὰρ ἡμιόλιον, ὡς οἶσθα, ἡμισύ ἐστι καὶ ὅλον. Τὸ ι ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον Ἀσκληπιάδειον, ἐκ τροχαϊκῆς καὶ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ια δακτυλικὴ τριποδία ἤτοι δακτυλικὸν τρίμετρον· ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ιβ' ἰαμβικὸν ἑφθημιμερὲς, ἐμοὶ δὲ χοριαμβικὸν δοκεῖ ἑφθημιμερές. Τὸ ιγ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, τῆς πρώτης συζυγίας τροχαϊκῆς ἤτοι παίωνος τρίτου, τῶν δὲ

ἓξῆς ἰαμβικῶν· ἐμοὶ δὲ δοκεῖ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ιέ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ σπονδείων καὶ δακτύλων· ἐμοὶ δὲ καὶ Ἰωνικὸν δοκεῖ ἀπὸ μείζονος τρίμετρον βακχυκατάληκτον, τῆς πρώτης συζυγίας Ἰωνικῆς τῆς δευτέρας δὲ τροχαικῆς ἤτοι ἐπιτρίτου, καὶ δύο συλλαβῶν. Τὸ ις' χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας καὶ βακχείου. Τὸ ιζ' ἰαμβικὸν πενθημιμερές. Ἐπὶ τῷ τέλει τῆς δευτέρας ταύτης στροφῆς κορωνὶς μόνη.

Ἀσωπίχῳ Ὀρχομενίῳ.] Οὗτος ἐνίκησε τὴν ος' Ὀλυμπιάδα σταδίῳ. Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ υἱὸς πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος, διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ· δύο δὲ Ὀρχομενοί, ὁ μὲν Μινύειος ἐν Βοιωτίᾳ ὁ δὲ πολύμηλος ἐν Ἀρκαδίᾳ· τοῦ δὲ Μινυείου νῦν μέμνηται.

Γέγραπται ὁ ὕμνος Ἀσωπίχῳ τῷ ἀπὸ Ὀρχομενοῦ νικήσαντι τὴν ἑβδομηκοστὴν καὶ ἕκτην Ὀλυμπιάδα· ὁ λόγος πρὸς τὰς Χάριτας· ἐπιβὰς δὲ ὁ μὲν Ἀσώπιχος Ὀρχομένιός ἐστιν, ὁ δὲ Κηφισὸς ποταμὸς περὶ τὴν Ὀρχομενὸν, ἐν ᾧ ποταμῷ τιμῶνται αἱ Χάριτες, εἰκότως ἄρα ὁ ποιητὴς προσφωνεῖ πρῶτον ταῖς Χάρισι· δύο δὲ Ὀρχομενοί εἰσιν· ἡ μὲν ἐν Ἀρκαδίᾳ πολύμηλος καλουμένη, ἡ δὲ ἐν Βοιωτίᾳ Μινύειος, ἀπὸ Μινυοῦ τοῦ Θετταλοῦ Καλλιρόης καὶ Ποσειδῶνος υἱοῦ, ἀφ' οὗ καὶ τὸ γένος τῶν Ἀργοναυτῶν· Μινύειοι γὰρ οὗτοι λέγονται Ὀρχομενὸς καὶ ἐπὶ ἀρτεμικοῦ καὶ Θηλυκοῦ εὕρηται.

1. Καρισίων ὑδάτων λαχοῖσαι.] Ἐπειδὴ χαριέντως ὑπέδη τοῦ ἀγῶνος τὸ ἐπιχείρημα, προσφωνεῖ ταῖς Χάρισι τιμωμέναις κατὰ τὸν Βοιωτικὸν Ὀρχομενὸν, αἷς λέγεται πρῶτος Ἐτέοκλος ὁ Κηφισοῦ παῖς τεθυκέναι· ὁ δὲ Κηφισὸς τοῦ Ὀρχομενοῦ ποταμός· ὁ δὲ νοῦς· ὦ ἀοίδιμοι βασίλειαι Χάριτες, αἳ τὰ τοῦ Κηφισοῦ ὕδατα ἐλληρώσασθε καὶ κατοικεῖτε τὴν εὔγειον Ὀρχομενὸν, τυγχάνουσαι καὶ τοῦ τῶν Μινυῶν γένους ἐπίσκοποι ἐπακούσατέ μου νῦν εὐχομένου — Καρισίων ὑδάτων.] Ω Χάριτες ἀοίδιμοι, ἦγουν περιδόξοι βασίλειαι

τῆς πλουσίας Ὀρχομενοῦ, ἔφροι τῶν Μινυῶν τῶν ἀρχαίων τὴν γένεσιν, αἵτινες οἰκεῖτε ἕδραν, ἥτις καθέδραν, τόπον καλλίπωλον, τουτέστιν ἵπποις κομῶντα, ἢ καλλίβωλον, ἥτις εὔγεων, τῶν τοῦ Κηφισοῦ τοῦ ποταμοῦ ὑδάτων τὸν κλῆρον ἐσχηκυῖαι· τοῦτο γὰρ δύναται τὸ λαχοῦσαι κλῦτε, ἀντὶ τοῦ ἐπακούσατε ἐμοῦ δηλονότι· ἐπεὶ εὔχομαι ὑμῖν, ἤγουν ἐπικαλοῦμαι ὑμᾶς· σὺν ὑμῖν γὰρ, ἀντὶ τοῦ δι' ὑμῶν γίνεται τοῖς ἀνθρώποις πάντα τὰ τερπνὰ καὶ τὰ γλυκέα, λέγω εἴτις ἀνὴρ ἐστι σοφὸς, ἤγουν φρόνιμος καὶ ψυχικὴν ἀρετὴν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ περπνὸν τῆς φρονήσεως· εἴτις ἐστὶ καλὸς ἢ εὔμορφος καὶ σωματικῇ ἀρετῇ χρῆται, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τοῦ κάλλους· εἴτις ἐστὶν ἀγλαὸς, τουτέστι λαμπρὸς, περιφανὴς τὰ ἐκτὸς καὶ εὐδοξίαν ἔχων, δι' ὑμῶν ἐστὶν αὐτῷ τὸ τερπνὸν τῆς λαμπρότητος· καὶ γὰρ καὶ οἱ θεοὶ χωρὶς τῶν σεβασμίων Χαρίτων οὔτε χοροὺς κοιρανοῦσιν, ἀντὶ τοῦ θεσπίζοντες διατάττουσι· χοροὺς δὲ λέγει οὓς οἱ ἄνθρωποι αὐτοῖς παλοῦσιν· οὔτε δαῖτας ἤγουν ἑορτὰς θυσίας, ἀνθρώπων δηλονότι ἐπ' αὐτοὺς θεσπίζοντες διατάττουσιν. — Δαχοῖσαι] Εἰς κληρονομίαν λαβοῦσαι.

2. Λῖτε ναίεται.] Ἱππικοὶ λέγονται οἱ Ὀρχομένιοι. Ἐργῖνος γὰρ ἵππων νικήσας Θηβαίους φόρου ὑποτελεῖς ἔσχεν, ἄχρις οὗ Ἡρακλῆς αὐτοὺς ἠλευθέρωσεν.

5. Παλαιγόνων Μινυᾶν.] Τὸ τῶν Μινυῶν γένος ἀρχαῖον ἀπὸ Μινύου τοῦ Θετταλοῦ, Μινύας δὲ ἐκ Καλλιρρόης τῆς Ὠκεανοῦ καὶ Ποσειδῶνος καὶ τοῦ γένους τῶν Ἀργοναυτῶν πλησιόχωροι δὲ καὶ γείτονες οὗτοι οἱ Μινυῆται Ὀρχομενίων· ὁ δὲ Μινύας πρῶτος ἦρξεν Ὀρχομενίων.

7. Σὺν γὰρ ὑμῖν τὰ τερπνά.] Μεθ' ὑμῶν γὰρ, ὦ Χάριτες τὰ ἐπιτρεπῆ καὶ ἡδέα γίνεται καὶ συμβαίνει τοῖς ἀνθρώποις, καὶ εἴτε σοφὸς, ὡς Ὅμηρος, δι' ὑμᾶς· οἱ γὰρ ἐπιχαρεῖς δι' ὑμᾶς πᾶσι μόνιμοι διὰ παντός· εἴτε ἀγλαὸς ἢ ἀνδρεῖος· αἱ γὰρ τρεῖς ἀρεταὶ δι' ὑμᾶς, ἡ σοφία, τὸ κάλλος καὶ ἡ ἀνδρεία. — Σὺν γὰρ ὑμῖν δι' ὑμῶν ἐστιν αὐτοῖς τὰ προτερήματα πάντα.

12. Κοιρανέοντε χορούς.] Ἤτοι ὑπὸ τὴν ἐξουσίαν ἔχουσι τοὺς χορούς ἢ βασιλεύουσι τῶν χορῶν· ἵνα πτῶσις ἀντὶ πτώσεως, αἰτιατικὴ ἀντὶ γενικῆς· τὸ δὲ Οὔτε δαῖτας ἀντὶ τοῦ οὔτε τῶν εὐωχιῶν καὶ θυσιῶν· ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ πάντων προστατοῦσι καὶ κρατοῦσιν αἱ Χάριτες. — Κοιρανέοντι] Δυναστεύουσιν.

13. Ἀλλὰ πάντων ταμίαι ἔργων.] Ἀλλὰ πάντων τῶν ἔργων ταμίαι, ἦγουν διεξαγωγεῖς, αἱ Χάριτες οὖσαι δηλονότι, τὴν ἀίδιον τιμὴν τοῦ πατρὸς αὐτῶν τοῦ οὐρανίου, ἤγουν τοῦ Διὸς σέβουσιν, ἀντὶ τοῦ δοξάζουσιν ἐν οὐρανῷ, Θέμεναι, ἤγουν Θεῖσαι τοὺς ἑαυτῶν θρόνους πλησίον τοῦ Ἀπόλλωνος τοῦ χρυσοτόξου τοῦ ἐν τῷ Πυθῶνι τιμωμένου· ἔκει γάρ, φασίν, ἥσαν αὗται ἱδρυμέναι ἐν τοῖς ἑξῆς τοῦ Ἀπόλλωνος· ταῦτα εἰσι τῶν τριῶν Χαρίτων τὰ ὀνόματα· Ἀγλαΐα, Εὐφροσύνη καὶ Θαλία, ποιεῖται δὲ πρῶτον τὸν λόγον πρὸς τὰς δύο, ἔπειτα πρὸς τὴν Θαλίαν.

14. Ταμίαι.] Κυβερνῆται βασίλειαι.

16. Παρὰ Πύθιον Ἀπόλλωνα.] Παρὰ τῷ Ἀπόλλωνι φησι καθέζεσθαι τὰς Χάριτας διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα· ἐν γοῦν Δελφοῖς ἐπὶ τῆς ἑξῆς εἰσιν ἱδρυμέναι τοῦ Ἀπόλλωνος· ὁ δὲ νοῦς πλησίον γὰρ τοῦ χρυσοτόξου Ἀπόλλωνος ἀποθέμεναι τοὺς ἑαυτῶν θρόνους καὶ ἐγγὺς αὐτοῦ ἱδρυμέναι ἀέναον καὶ ἄφθαρτον οὖσαν τὴν τοῦ πατρὸς αὐτῶν τιμὴν Διὸς σέβουσιν· ἀέναον δέ, κυρίως μὲν τὸ ἀεὶ ἐν τῷ ῥεῖν καὶ γίνεσθαι ὄν, νῦν δὲ τὸ αἰώνιον· ἢ ἀντὶ τοῦ ἀνελλιπῶς καὶ αἰωνίως παρὰ τῷ πατρὶ Διὶ τιμῶνται τῷ ἐν οὐρανῷ ὄντι.

19. Πότνι' Ἀγλαΐα.] Ἀπὸ τοῦ περὶ αὐτῶν λόγου μετῆλθεν ἐπὶ τὸν πρὸς αὐτάς· ὁ δὲ λόγος· ὦ σεμνὴ καὶ τιμία Ἀγλαΐα καὶ Εὐφροσύνη ἡ τοῖς ὑμνοις χαίρουσα τοῦ τῶν Θεῶν κρατίστου παῖδες Διός. — Πότνι' Ἀγλαΐα.] Ὦ σεβασμία Ἀγλαΐα καὶ ὦ Εὐφροσύνη ἡ φίλη τῶν μολπῶν, θυγατέρες τοῦ κρατίστου τῶν Θεῶν, ἤγουν τοῦ Διός, ἐπήκοοι νῦν γένεσθε δηλονότι· καὶ ὦ Θαλία ἐρασιμολπε, ἤγουν τῶν μολπῶν ἐρῶσα, ἐπήκοος γενοῦ ἰδοῦσα τόν σε τὸν κῶμον ἀντιστρόφως ἀντὶ τοῦ ἐπήκοος γενομένη ἐπίστευε ταῦτον τὸν σὺν ὕμνῳ χορὸν τὸν μετεώρως στρεφόμενον ἐπὶ μοίρᾳ εὐμενεῖ, ἤγουν ἀγαθῇ φρονούσῃ· τὸν Ἀσωπίχον γὰρ ἦλθον ἀείδων, ἀντὶ τοῦ ᾄσων, ἤγουν ὑμνήσων, ἐν τρόπῳ Λυδίῳ, τουτέστι ῥυθμῷ Λυδίῳ, καὶ ἐν μελέταις, ἀντὶ τοῦ συνθήκαις εἰπών, ὅτι· Ὀλυμπιόνικος ἐγένετο δηλονότι ἡ τῶν Μινυῶν πόλις, τουτέστιν ἡ Ὀρχομενὸς ἡ πατρὶς τοῦ Ἀσωπίχου, σοῦ χάριν, ὦ Θαλία· Ἃ Μινύεια Ὀλυμπιόνικος γέγονε δηλονότι· δέον δὲ καὶ ἡ Μινύεια εἰπεῖν, ἀσυνδέτως εἶπεν.

20. Κρατίστου παῖδες.] Οὐχ ὅτι κρατίστους ἔχουσι παῖδας, ἀλλ' ὅτι αὐταὶ κράτισται παῖδες εἰσι· νέαι γάρ· αἱ κράτισται τῶν παίδων τῶν Θεῶν ἢ τῶν κρατίστων Θεῶν.

ἐπήκοοι, γίγνεσθε ὀηλονότι· τοῦτο γὰρ λείπει ἐπὶ εὐμοιρίᾳ καὶ εὐδαιμονίᾳ· Θάλεια δὲ ἡ Χάρις παρὰ τὸ τεθηλέναι τὴν μνήμην τῶν εὖ πεποιηθότων· τὸ δὲ ἰδοῖσα κοινὸν ἐπὶ ὅλων· ἰδοῦσα ὦ Εὐφροσύνη, ἰδοῦσα ὦ Θάλεια, ἰδοῦσα ὦ Ἀγλαΐα, θεασάμεναι τοῦτον τὸν χορὸν σὺν εὐμενεῖ τύχῃ εὐκόλως χορεύοντα ἀπὸ κοινοῦ ἐπήκοοι γίνεσθε· ἔνιοι δὲ φασι πρὸς τὴν τρίτην Θάλειαν τοῦτο λέγεσθαι· ὅτι δὲ τρεῖς εἰσι, καὶ Ἡσίοδος ἐν Θεογονίᾳ λέγει· τὰ δὲ ὀνόματα τῶν τριῶν καταλέγει Ἡσίοδος· (Θεογ. 906. 908.)

Τρεῖς δὲ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν.

26. Ἓν μελέταισι τ' ἄειδον.] Ἦτοι ἐπιμελείας· ἔνθεν καὶ ἡ μέλιστα, τὸ ζῶον ἐπιμελέστατον· ἤθελον οὖν, φησίν, ὑμνῆσαι τὸν Ἀσώπιχον εὐμελῶς καὶ ἡδέως· ὁ δὲ Ἀρίσταρχος, ἰδίως, φησί, προτάξας τὰ ὀνόματα τῶν Χαρίτων ἐνικῶς ἐρώνησε· σὺ ἕκατι, ὦ Χάρι· προτρωνοῦσι δὲ οἱ ποιηταὶ τοὺς χορεύοντας ἐνικῶς· βεβιασμένον οὖν νυνὶ προτάξαντα τὰ ὀνόματα λέγειν Ἕκατι σοῦ ἐνικῶς· ἢ ὅτι πρὸς αὐτὸν λέγει τὸν νικηφόρον· ὁ δὲ νοῦς διότι τούτου ὁρμήσαντος ἔδοξεν Ὀλυμπιόνικος ἀναγορεύεσθαι ἡ τῶν Μινυῶν πόλις· τὸ δὲ Σοῦ ἔνεκεν, ὡς πρὸς ἑκάστην ἰδίᾳ, καὶ τοῦτο οὖν κοινὸν ὅλων· ἔνιοι δὲ τὸ σεῦ ἕκατι ἀντὶ τοῦ σοῦ ἕνεκεν, ὦ νικηφόρε· ἢ πρὸς μίαν τῶν Χαρίτων ἀπὸ τοῦ πλήθους μετῆλθε.

28. Μελαντειχέα νῦν δόμον Περσεφόνας ἴθι Ἀχοῖ.] Ἀραγενοῦ νῦν, φησί, πρὸς τὸν σκοτεινὸν τῆς Περσεφόνης οἶκον, ὦ Φήμη καὶ Ἠχώ, διηγησομένη καὶ ἀγγελοῦσα τὴν καλλίστην ἀγγελίαν τῷ πατρὶ Ἀσωπίχου Κλεοδάμῳ περὶ τοῦ υἱοῦ αὐτοῦ, ὅτι ὁ υἱὸς αὐτοῦ ἐστεφάνωτε τὴν χαίτην, τουτέστιν, ἵν' εἴπῃς αὐτῷ τὸν υἱὸν αὐτοῦ νενικηκέναι, καὶ νεώτερον ὄντα δὲ ἐν τῇ ἐνδοξοτάτῃ Ὀλυμπιάδι ἐστέφθαι τοῖς τῆς ἀθλήσεως στέμμασι τὰς κόμας τὰς νεωτέρας αὐτοῦ· ἀπὸ μέρους δὲ τὸ τῆς ἡλικίας νέον λέγει οἰκείως τὸν ὁρόμον τῆς Περσεφόνης μελαντειχέα εἶπεν. — Μελαντειχέα νῦν δόμον.] Νῦν, ὦ Ἠχοῖ, τουτέστι φῆμι, ἄπιθι εἰς τὴν καθεδραν τῆς Περσεφόνης τὴν μέλανα τεῖχα ἔχουσαν ἤγουν εἰς τὸν Ἅιδην, φέρουσα ἀγγελίαν περιαδομένην τῷ τοῦ Ἀσωπίχου πατρὶ τῷ Κλεοδάμῳ, ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδαμον εἴπῃς τὸν υἱὸν αὐτοῦ ὅτι ἐστεφάνωσε τὴν χαίτην, ἀντὶ τοῦ τὴν κόμην αὐτοῦ παρὰ ταῖς κολάκι

τῆς ἐνδόξου Πίσης, ἤγουν ἐν τῇ ἐνδόξῳ Ὀλυμπίᾳ, πτεροῖς ἐνδόξων ἀγώνων ἀντὶ τοῦ στεφάνοις ἐπαίρουσι καὶ οἷον πτεροῦσι τοὺς στεφανουμένους· ἐπὶ τοῦ πράγματος δὲ ὀφείλων θεῖναι τὸ εἴπῃς, ἵν' ᾖ ὁ λόγος οὕτως· ὅπως ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς, ὅτι ὁ υἱὸς αὐτοῦ τὴν νέαν κόμην αὐτοῦ ἐν τῇ Ὀλυμπίᾳ ἐστεφάνωσεν· ὁ δὲ ἐπὶ τοῦ ὀνόματος αὐτὸ τίθησιν, εἶτα ἐπάγει τὸ πρᾶγμα, καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ· (Εὐρ. Ἑκάβ. 986.) Εἰπέ μοι τὸν Πολυδωρον εἰ ζῇ· κατ' αἰτιατικὴν δὲ λέγεται ἐν τούτοις τὸ ὄνομα· τὸ γὰρ λέγειν αἰτιατικὴν ἀεὶ λαμβάνει, ὅτε πρὸς τὸ λεγόμενον ἀποτείνει

29. Ἴθι.] Πορεύου.

31. Τὸ Κλεόδαμον πρὸς τὸ ἰδοῦσα, τὸ δὲ υἱὸν πρὸς τὸ εἴπῃς, οὕτως· ἵνα ἰδοῦσα Κλεόδημον εἴπῃς αὐτῷ τὸν υἱὸν ὅτι ἐστεφάνωσεν οὗτος ὁ Ἀσώπιχος τὴν νέαν αὐτοῦ χαίτην, ἤτοι τὴν κεφαλὴν ἐν τοῖς κόλποις τῆς Πίσης, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, ἐν τοῖς πτεροῖς τῶν κυδίμων ἀέθλων, τοῖς δίκην πτερῶν αἴρουσι τὸν νικήσαντα· τοιαύτη δὲ καὶ ἡ παρὰ Ἀριστοφάνει (Νεφ. 95) σύνταξις.

Οἳ τὸν οὐρανόν
Λέγοντες ἀναπείθουσιν, ὥς ἐστι πνιγεύς
Κἄστι περὶ ἡμᾶς.

καὶ πάλιν (Νεφ. 145)

Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
Ψύλλαν, ὁπόσους ἄλλοιτο τοὺς αὑτῆς πόδας.

ἄλλοι δέ τινες οὕτω συντάσσουσιν· ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον εἴπῃς διὰ τὸν υἱὸν αὐτοῦ τὸν Ἀσώπιχον, ὅτι ἐστεφάνωσεν αὐτὸς τὴν αὑτοῦ χαίτην τὴν νέαν παρὰ τοῖς κόλποις τῆς ἐνδόξου Πίσης πτεροῖς, ἤτοι στεφάνοις ἐπαίρουσι τοὺς στεφανουμένους, οἷα πτεροῖς κυδίμων ἀεθλων.

GLOSSAE INTERLINEARES AD OLYMP. XIV.

1. Τῶν κληρωσάμεναι. 2. οἰκεῖτε· τουτέστι τοῖς ἵπποις κομῶντα. 3. τῆς πλουσίας περιβόητοι βασίλειαι. 4. ὦ Χάριτες ἀοίδιμοι τοῦ. 5. τῶν ἀρχαίων τὴν γένεσιν· ἔφοροι. 6. ἐπακούσατε ἐμοῦ δή. 7. ἀντὶ δι' ὑμῶν γὰρ γίνεται τὰ γλυκέα. 9. εἴτις ἀνὴρ γίνεται σοφὸς ἢ φρόνιμος ἤτοι εὔμορφος. 10. καὶ γὰρ οἱ. 11. Τῶν σεβασμίων Χα-

НБ ОНУ імені І.І. Мечникова

ρίτων χωρίς. 12. ἀντὶ δεσπόζοντες· ἡ ἑορτὰς, θυσίας. 13. εὐωχίας· τῶν ἔργων. 14. οἰκονόμοι ἐν τῷ. 15. τοῦ χρυσοτόξου· ἡ θείσαι τοὺς ἑαυτοῦ θρόνους. 16. πλησίον τοῦ τιμωμένου Πυθῶνι τοῦ Ἀπόλλωνος. 17. τὴν αἰθέριον· ἀντὶ δοξάζουσι αὐτοῦ. 18. τοῦ οὐρανίου τιμήν· ἐκεῖ γάρ, φασίν, αὗται ἱδρυμέναι ἐν τοῖς δικτυοῖς τοῦ Ἀπόλλωνος. 19. ὦ σεβασμία· ὦ εὐφροσύνης καὶ μόλπου φίλη. 20. τῶν Διὸς θυγατέρες. 21. ἐπήκοοι γένεσθε δή, καὶ ὦ Θαλία. 22. ἡ τῶν μολπῶν ἐρᾶσα· ἀντιστρόφως· ἀντὶ ἐπήκοος γενομένη. 23. τὸν ὕμνον, τὸν σὺν ὕμνῳ χορὸν ἐπὶ μοίρᾳ ἀγαθῇ. 24. τὸν μετεώρως στρεφόμενον. 25. τὸν γὰρ ἦλθον τουτέστι ῥυθμῷ Λυδίῳ. 26. ἀντὶ συνθήκαις ἐπῶν· ἡ ὑμνήσων. 27 ἦλθον, διότι Ὀλυμπιόνικος ἐγένετο δὴ ἡ τῶν Μινυῶν πόλις, τουτέστι ἡ Ὀρχομενὸς ἡ πατρὶς τοῦ Ἀσωπίχου. 28. σοῦ χάριν, ὦ Θαλία· τὴν μέλαιναν τύχην ἔχουσαν. 29. ἄπιθι, ὦ Ἴηχοι, τουτέστι φήμη. 30. τῷ πατρὶ τοῦ Ἀσωπίχου περιαδομένην. 31. τὸν ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον. 32. εἴπῃς ὅτι ἐστεφάνωσε τὸν υἱὸν αὐτοῦ τὴν νέαν χαίτην ἀντὶ τὴν κόμην. 33 παρὰ ταῖς κοιλάσι τῆς εὐδόξου· τῇ εὐδόξῳ Ὀλυμπίᾳ. 34. εὐδόξων ἀγώνων. 35. πτεροῖς ἀντὶ στεφάνοις.

Specimen glossarum codicis Pal. C. vs. 1.—10.

1. Ἐπὶ τῶν· ἤγουν εἰς τὴν Ὀρχομενόν· οἰκεῖν. 2. οἰκεῖτε. 3. πόλιν πλουσίας. 4. ὦ τῆς. 5. ἀρχαίων· ὡς ἀπὸ Μινύου· αἱ. 6. ἀκούσατε. 7. ἐν ἡ σὺ ὑμῶν. 8. ἔρχεται, ὑπάρχει· ἔν. 9. 10. καὶ ἀνὴρ ὑπάρχει σοφὸς, εἴτις καλὸς, εἴτις λαμπρὸς, δι' ὑμῶν γίνεται.

ΤΕΛΟΣ

ΤΟΥ Α'. ΤΟΜΟΥ.

НБ ОНУ імені І.І. Мечникова
1948
472078

Наукова бібліотека
ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА

НБ ОНУ імені І.І.Мечникова

02/09/25
902440
НБ ОНУ

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

1/2

НБ ОНУ імені І.І.Мечникова

нет
СК

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова